Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

98 A 53

Indian Institute, Oxford.

THE MALAN LIBRARY

PRESENTED

BY THE REV. S. C. MALAN, D.D.,

*VICAR OF BROADWINDSOR,*

**January, 1885.**

29

# QUINTI SMYRNAEI
# TRYPHIODORI
# IOANNIS TZETZAE
ET
# COLUTHI
# C A R M I N A
DE
REBUS TROIANIS
AD
OPTIMORUM LIBRORUM
FIDEM EXHIBITA.

---

EDITIO STEREOTYPA.

---

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1829.

---

Ladenpreis 8 Groschen.

BODLEIAN LIBRARY
14 JAN 1928
OXFORD

# QVINTI SMYRNAEI

# POSTHOMERICORVM

## LIBRI XIV.

---

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Α.

Εὖθ' ὑπὸ Πηλείωνι δάμη θεοείκελος Ἕκτωρ,
καί ἑ πυρὴ κατέδαψε καὶ ὀστέα γαῖα κέκευθε·
δὴ τότε Τρῶες ἔμιμνον ἀνὰ Πριάμου πτολίεθρον,
δειδιότες μένος ἠῢ θρασύφρονος Αἰακίδαο.
Ἠΰτ' ἐνὶ ξυλόχοισι βόες βλοσυροῖο λέοντος
ἐλθέμεν οὐκ ἐθέλουσιν ἐναντίαι, ἀλλὰ φέβονται
ἰληδὸν, πτώσσουσαι ἀνὰ ῥωπήϊα πυκνά·
ὣς οἳ ἀνὰ πτολίεθρον ὑπέτρεσαν ὄβριμον ἄνδρα,
μνησάμενοι προτέρων, ὁπόσων ἀπέταμνε κάρηνα,
θύων Ἰδαίοιο περὶ προχοῇσι Σκαμάνδρου,
ἠδ' ὅσσους φεύγοντας ὑπαὶ μέγα τεῖχος ὄλεσσεν,
Ἕκτορά θ' ὡς ἐδάμασσε, καὶ ἀμφ' εἴρυσσε πόληϊ,
ἄλλους θ' ὡς ἐδάϊξε δι' ἀκαμάτοιο θαλάσσης,
ὁππότε δὴ ταπρῶτα φέρε Τρώεσσιν ὄλεθρον·
τῶν οἵγε μνησθέντες, ἀνὰ πτολίεθρον ἔμιμνον·
ἀμφὶ δ' ἄρα σφίσι πένθος ἀνιηρὸν πεπότητο,
ὡς ἤδη στονόεντι καταιθομένης πυρὶ Τροίης.
Καὶ τότε Θερμώδοντος ἀπ' εὐρυπόροιο ῥοάων
ἤλυθε Πενθεσίλεια, θεῶν ἐπιειμένη εἶδος,

ἄμφω, καὶ στονόεντος ἐελδομένη πολέμοιο,
καὶ μέγ' ἀλευαμένη στυγερὴν καὶ ἀεικέα φήμην,
μή τίς ἑ ὃν κατὰ δῆμον ἐλεγχείῃσι χαλέψῃ
ἀμφὶ κασιγνήτης, ἧς εἵνεκα πένθος ἄεξεν,
Ἱππολύτης· τὴν γάρ ῥα κατέκτανε δουρὶ κραταιῷ,
οὐ μὲν δή τό γ' ἑκοῦσα, τιτυσκομένη δ' ἐλάφοιο.
τοὔνεκ' ἄρα Τροίης ἐρικυδέος ἵκετο γαῖαν.
πρὸς δ' ἔτι οἱ τόδε θυμὸς ἀρήϊος ὡρμαίνεσκεν,
ὄφρα καθηραμένη περὶ λύματα λυγρὰ φόνοιο,
σμερδαλέας θυέεσσιν Ἐριννύας ἱλάσηται,
αἵ οἱ ἀδελφειῆς κεχολωμέναι αὐτίχ' ἕποντο
ἄφραστοι· κεῖναι γὰρ ἀεὶ περὶ ποσσὶν ἀλιτρῶν
στρωφῶντ', οὐδέ νυ ἐστὶ θεὰς ἀλιτόνθ' ὑπαλύξαι.
σὺν δέ οἱ ἄλλαι ἕποντο δυώδεκα, πᾶσαι ἀγαυαὶ,
πᾶσαι ἐελδόμεναι πόλεμον καὶ ἀεικέα χάρμην,
αἵ οἱ δμωΐδες ἔσκον, ἀγακλειταί περ ἐοῦσαι·
ἀλλ' ἄρα πασάων μέγ' ὑπείρεχε Πενθεσίλεια.
ὡς δ' ὅτ' ἀν' οὐρανὸν εὐρὺν ἐν ἄστρασι δῖα σελήνη
ἐκπρέπει, ἐν πάντεσσιν ἀρίζηλος γεγαυῖα,
αἰθέρος ἀμφιραγέντος ὑπαὶ νεφέων ἐριδούπων,
εὖτ' ἀνέμων εὕδῃσι μένος μέγα, λάβρον ἀέντων·
ὣς ἥ γ' ἐν πάσῃσι μετέπρεπεν ἐσσυμένῃσιν.
ἔνθ' ἄρ' ἔην Κλονίη, Πολεμοῦσά τε, Δηριάνη τε,
Εὐάνδρη τε, καὶ Ἀντάνδρη, καὶ δῖα Βρέμουσα,
ἠδὲ καὶ Ἱπποθόη, μετὰ δ' Ἁρμοθόη κυανῶπις,
Ἀλκιβίη τε, καὶ Ἀντιβρότη, καὶ Δηριμάχεια,
ταῖς δ' ἐπὶ Θερμώδοσσα μέγ' ἔγχεϊ κυδιόωσα.
τόσσαι ἄρ' ἀμφιέποντο δαΐφρονι Πενθεσιλείῃ.
δ' ἀκαμάτοιο κατέρχεται Οὐλύμποιο

Ἠὼς, μαρμαρέοισιν ἀγαλλομένη φρένας ἵπποις,
Ὡράων μετ' ἐϋπλοκάμων, μετὰ δέ σφισι πάσαις
ἐκπρέπει ἀγλαὸν εἶδος, ἀμωμήτοις περ ἐούσαις·
τοίη Πενθεσίλεια μόλεν ποτὶ Τρώϊον ἄστυ,
ἔξοχος ἐν πάσῃσιν Ἀμαζόσιν. ἀμφὶ δὲ Τρῶες,
πάντοθεν ἐσσύμενοι, μέγ' ἐθάμβεον, εὖτ' ἐσίδοντο
Ἄρεος ἀκαμάτοιο βαθυκνήμιδα θύγατρα,
εἰδομένην μακάρεσσιν, ἐπεί ῥά οἱ ἀμφὶ προσώπῳ,
ἄμφω, σμερδαλέον τε καὶ ἀγλαὸν εἶδος ὀρώρει,
μειδιόωσ' ἐρατεινὸν, ὑπ' ὀφρύσι δ' ἱμερόεντες
ὀφθαλμοὶ μάρμαιρον ἀλίγκιον ἀκτίνεσσιν·
αἰδὼς δ' ἀμφερύθηνε παρήϊα, τῶν δ' ἐφύπερθεν
θεσπεσίη ἐπέκειτο χάρις, καταειμένη ἀλκήν·
λαοὶ δ' ἀμφεγάνυντο, καὶ ἀχνύμενοι τοπάροιθεν.
Ὡς δ' ὁπότ' ἀθρήσαντες ἀπ' οὔρεος ἀγροιῶται
Ἶριν ἀνεγρομένην ἐξ εὐρυπόροιο θαλάττης,
ὄμβρου ὅτ' ἰσχανόωσι θεουδέος, ὁππότ' ἀλωαὶ
ἤδη ἀπαυαίνονται, ἐελδόμεναι Διὸς ὕδωρ,
ὀψὲ δ' ὑπαχλύνθη μέγας οὐρανὸς, οἱ δ' ἐσιδόντες
ἐσθλὸν σῆμ' ἀνέμοιο, καὶ ὑετοῦ ἐγγὺς ἐόντος,
χαίρουσι, τοπάροιθεν ἐπιστενάχοντες ἀρούραις·
ὣς ἄρα Τρώϊοι υἷες ὅτ' ἔδρακον ἔνδοθι πάτρης
δεινὴν Πενθεσίλειαν, ἐπὶ πτόλεμον μεμαυῖαν,
γήθεον. ἐλπωρὴ γὰρ ὅτ' ἐς φρένας ἀνδρὸς ἵκηται
ἀμφ' ἀγαθοῦ, στονόεσσαν ἀμαλδύνει κακότητα.
τοὔνεκα καὶ Πριάμοιο νόος πολέα στενάχοντος,
καὶ μέγ' ἀκηχεμένοιο, περὶ φρεσὶ τυτθὸν ἰάνθη.
ὡς δ' ὅτ' ἀνὴρ ἀλαοῖσιν ἐπ' ὄμμασι πολλὰ μογήσας,
ἱμείρων ἰδέειν ἱερὸν φάος ἢ θανέεσθαι,

ἢ πόνῳ ἰητῆρος ἀμύμονος, ἠὲ θεοῖο
ὄμματ' ἀπαχλύσαντος, ἴδῃ φάος ἠριγενείης,
οὐ μὲν ὅσον τοπάροιθεν, ὅμως δ' ἄρα βαιὸν ἰάνθη
πολλῆς ἐκ κακότητος, ἔχει δ' ἔτι πήματος ἄλγος
αἰνὸν ὑπὸ βλεφάροισι λελειμμένον· ὣς ἄρα δεινὴν
υἱὸς Λαομέδοντος ἐσέδρακε Πενθεσίλειαν.
παῦρον μὲν γήθησε, τὸ δὲ πλέον εἰσέτι παίδων
ἄχνυτ' ἀποκταμένων, ἄγε δ' εἰς ἑὰ δώματ' ἄνασσαν·
καί μιν προφρονέως τίεν ἔμπεδον, ὥστε θύγατρα,
τηλόθε νοστήσασαν ἐεικοστῷ λυκάβαντι·
καί οἱ δόρπον ἔτευξε πανείδατον, οἷον ἔδουσι
κυδάλιμοι βασιλῆες, ὅτ', ἔθνεα δηώσαντες,
δαίνυντ' ἐν θαλίῃσιν, ἀγαλλόμενοι περὶ νίκης.
δῶρα δέ οἱ πόρε καλὰ, καὶ ὄλβια, πολλὰ δ' ὑπέστη
δωσέμεν, ἢν Τρώεσσι δαϊζομένοις ἐπαμύνῃ·
ἣ δ' ἄρ' ὑπέσχετο ἔργον, ὃ οὔποτε θνητὸς ἐώλπει,
δηώσειν Ἀχιλῆα, καὶ εὐρέα λαὸν ὀλέσσειν
Ἀργείων, νῆας δὲ πυρὸς καθύπερθε βαλέσθαι.
νηπίη, οὐδέ τι ᾔδη ἐϋμμελίην Ἀχιλῆα,
ὅσσον ὑπέρτατος ἦεν ἐνὶ φθισήνορι χάρμῃ.
Τῆσδ' ὡς οὖν ἐσάκουσεν ἐῢς πάϊς Ἠετίωνος,
Ἀνδρομάχη, μάλα τοῖα ἑῷ προσελέξατο θυμῷ·
Ἆ δειλὴ, τί νυ τόσσα μέγα φρονέουσ' ἀγορεύεις;
οὐ γάρ τοι σθένος ἐστὶν ἀταρβέϊ Πηλείωνι
μάρνασθ', ἀλλά σοι ὦκα φόνον, καὶ λοιγὸν ἐφήσει.
λευγαλέη, τί μέμηνας ἀνὰ φρένας; ἦ νυ τοι ἄγχι
ἕστηκεν θανάτοιο τέλος, καὶ δαίμονος αἶσα.
Ἕκτωρ γάρ σέο πολλὸν ὑπέρτερος ἔπλετο δουρί·
ἀλλ' ἐδάμη κρατερός περ ἐὼν, μέγα δ' ἤκαχε Τρῶας.

οἵ ἑ θεὸν ὣς πάντες ἀνὰ πτόλιν εἰσορόωντο·
καί μοι ἔην μέγα κῦδος, ἰδ᾽ ἀντιθέοις τοκέεσσιν,
ζωὸς ἐών· ὡς εἴ με χυτὴ κατὰ γαῖα κεκεύθει,
πρίν σφε δι᾽ ἀνθερεῶνος ὑπ᾽ ἔγχεϊ θυμὸν ὀλέσσαι.
νῦν δ᾽ ἄρ᾽ ἀάσπετον ἄλγος ὀϊζυρῶς ἐσάθρησα,
κεῖνον ὅτ᾽ ἀμφὶ πόληα ποδώκεες εἴρυον ἵπποι
ἀργαλέως Ἀχιλῆος, ὅ μ᾽ ἀνέρος εὖνιν ἔθηκε
κουριδίου, τό μοι αἰνὸν ἄχος πέλει ἤματα πάντα.
Ὣς φάθ᾽ ἐὸν κατὰ θυμὸν ἐΰσφυρος Ἠετιώνη,
μνησαμένη πόσιος· μάλα γὰρ μέγα πένθος ἀέξει
ἀνδρὸς ἀποφθιμένοιο σαόφροσι θηλυτέρῃσιν.
Ἠέλιος δὲ θοῇσιν ἑλισσόμενος περὶ δίνῃς,
δύσατ᾽ ἐς ὠκεανοῖο βαθὺν ῥόον, ἤνυτο δ᾽ ἠώς.
οἱ δ᾽ ὅτε δὴ παύσαντο ποτοῦ δαιτός τ᾽ ἐρατεινῆς,
δὴ τότε που δμωαὶ στόρεσαν θυμήρεα λέκτρα,
ἐν Πριάμοιο δόμοισι, θρασύφρονι Πενθεσιλείῃ·
ἡ δὲ κιοῦσ᾽ εὕδεσκεν, ὕπνος δέ οἱ ὄσσ᾽ ἐκάλυψεν
νήδυμος ἀμφιπεσών. μόλε δ᾽ αἰθέρος ἐξ ὑπάτοιο,
Παλλάδος ἐννεσίῃσι, μένος δολόεντος Ὀνείρου,
ὅππως μιν λεύσσουσα, κακὸν Τρώεσσι γένηται,
οἷ τ᾽ αὐτῇ, μεμαυῖα ποτὶ πτολέμοιο φάλαγγας.
καὶ τὰ μὲν ὣς ὥρμαινε δαΐφρων Τριτογένεια.
τῇ δ᾽ ἄρα λυγρὸς Ὄνειρος ἐφίστατο, πατρὶ ἐοικώς,
καί μιν ἐποτρύνεσκε ποδάρκεος ἄντ᾽ Ἀχιλῆος
θαρσαλέως μάρνασθαι ἐναντίον· ἡ δ᾽ ἀΐουσα,
γήθεεν ἐν φρεσὶ πάμπαν· ὀΐσσατο γὰρ μέγα ἔργον
ἐκτελέσειν αὐτῆμαρ ἀνὰ μόθον ὀκρυόεντα·
νηπίη, ἣ ῥ᾽ ἐπίθησεν ὀϊζυρῷ περ Ὀνείρῳ
ἑσπερίῳ, ὃς φῦλα πολυτλήτων ἀνθρώπων

θέλγει ἐν λεχέεσσιν ἄδην ἐπικέρτομα βάζων·
ὅς μιν ἄρ' ἐξαπάφησεν, ἐποτρύνων πονέεσθαι.
Ἀλλ' ὅτε δή ῥ' ἐπόρουσε ῥοδόσφυρος Ἠριγένεια,
δὴ τότε Πενθεσίλεια μέγ' ἐνθεμένη φρεσὶ κάρτος,
ἐξ εὐνῆς ἀνέπαλτο, καὶ ἀμφ' ὤμοισιν ἔδυνε
τεύχεα δαιδαλόεντα, τά οἱ θεὸς ὤπασεν Ἄρης.
πρῶτα μὲν ἂρ κνήμῃσιν ἐπ' ἀργυρέῃσιν ἔθηκε
κνημῖδας χρυσέας, αἵ οἱ ἔσαν εὖ ἀραρυῖαι·
ἕσσατο δ' αὖ θώρηκα παναίολον· ἀμφὶ δ' ἄρ' ὤμοις
θήκατο κυδιόωσα μέγα ξίφος, ᾧ πέρι πάντη
κουλεὸς εὖ ἤσκητο δι' ἀργύρου ἠδ' ἐλέφαντος·
ἂν δ' ἔθετ' ἀσπίδα δῖαν, ἀλίγκιον ἄντυγι μήνης,
ἥ θ' ὑπὲρ ὠκεανοῖο βαθυῤῥόου ἀντέλλῃσιν,
ἥμισυ πεπληθυῖα περὶ γναμπτῇσι κεραίῃς,
τοίη μαρμαίρεσκεν ἀάσπετον· ἀμφὶ δὲ κρατὶ
θῆκε κόρυν κομόωσαν ἐθείρῃσι χρυσέῃσιν.
ὥς ἡ μὲν μορόεντα περὶ χροῒ θήκατο τεύχη·
ἀστεροπῇ δ' ἀτάλαντος ἐείδετο, τὴν ἀπ' Ὀλύμπου
ἐς γαῖαν προΐησι Διὸς μένος ἀκαμάτοιο,
δεικνὺς ἀνθρώποισι μένος βαρυηχέος ὄμβρου,
ἠὲ πολυῤῥοίζων ἀνέμων ἄλληκτον ἰωήν.
αὐτίκα δ', ἐγκονέουσα δι' ἐκ μεγάροιο νέεσθαι,
δοιοὺς εἵλετ' ἄκοντας ὑπ ἀσπίδα· δεξιτερῇ δὲ,
ἀμφίτυπον βουπλῆγα, τόν οἱ Ἔρις ὤπασε δεινὴ,
θυμοβόρου πολέμοιο πελώριον ἔμμεναι ἄλκαρ·
τῷ ἐπικαγχαλόωσα, τάχ' ἤλυθεν ἔκτοθι πύργων,
Τρῶας ἐποτρύνουσα μάχην ἐς κυδιάνειραν
ἐλθέμεναι· οἱ δ' ὦκα συναγρόμενοι πεπίθοντο,
ἄνδρες ἀριστῆες, καίπερ πάρος οὐκ ἐθέλοντες

στήμεναι ἄντ᾽ Ἀχιλῆος· ὃ γὰρ περὶ δάμνατο πάντας.
ἡ δ᾽ ἄρα κυδιάασκεν ἀάσχετα. ἕζετο δ᾽ ἵππῳ
καλῷ τ᾽, ὠκυτάτῳ τε, τόν οἱ ἄλοχος Βορέαο
ὤπασεν Ὠρείθυια πάρος, Θρῄκηνδε κιοῦσα,
ξείνιον, ὅς τε θοῇσι μετέπρεπεν Ἁρπυίῃσι·
τῷ ῥα τόθ᾽ ἑζομένη, λίπεν ἄστεος αἰπὰ μέλαθρα
ἐσθλὴ Πενθεσίλεια· λυγραὶ δέ μιν ὠτρύνεσκον
Κῆρες, ὅμως πρώτην τε καὶ ὑστατίην ἐπὶ δῆριν
ἐλθέμεν· ἀμφὶ δὲ Τρῶες ἀνοστήτοισι πόδεσσι
πολλοὶ ἕποντ᾽ ἐπὶ δῆριν ἀναιδέα τλήμονι κούρῃ
ἰλαδὸν, ἠΰτε μῆλα μετὰ κτίλον, ὅς θ᾽ ἅμα πάντων
νισσομένων προθέῃσι, δαημοσύνῃσι νομῆος·
ὣς ἄρα τῇ γ᾽ ἐφέποντο βίῃ μέγα μαιμώοντες
Τρῶες ἐϋσθενέες, καὶ Ἀμαζόνες ὀβριμόθυμοι.
ἡ δ᾽ οἵη Τριτωνὶς, ὅτ᾽ ἤλυθεν ἄντα Γιγάντων,
ἢ Ἔρις ἐγρεκύδοιμος, ἀνὰ στρατὸν ἀΐσσουσα·
τοίη ἐνὶ Τρώεσσι θοὴ πέλε Πενθεσίλεια.

Καὶ τότε δὴ Κρονίωνι πολυτλήτους ἀναείρας
χεῖρας Λαομέδοντος ἐῢς γόνος ἀφνειοῖο,
εὔχετ᾽ ἐς ἱερὸν ἠῢ τετραμμένος Ἰδαίοιο
Ζηνὸς, ὃς Ἴλιον αἰὲν ἑοῖς ἐπιδέρκεται ὄσσοις·
Κλῦθι, πάτερ, καὶ λαὸν Ἀχαιϊκὸν ἤματι τῷδε
δὸς πεσέειν ὑπὸ χερσὶν Ἀρηϊάδος βασιλείης,
καὶ δή μιν παλίνορσον ἐμὸν ποτὶ δῶμα σάωσον,
ἀζόμενος τεὸν υἷα, πελώριον, ὄβριμον Ἄρην,
αὐτήν θ᾽, οὕνεκ᾽ ἔοικεν ἐπουρανίῃσι θεῇσιν·
ἐκπάγλως δ᾽ ἣ σεῖο, θεοῦ γένος, ἐστὶ γενέθλης·
αἴδεσσαι δ᾽ ἐμὸν ἦτορ, ἐπεὶ κακὰ πολλὰ τέτληκα,
παίδων ὀλλυμένων, οὕς μοι περὶ κῆρες ἔμαρψαν,

Ἀργείων παλάμῃσι, κατὰ στόμα δηϊοτῆτος·
αἴδεο δ᾽, ὡς ἔτι παῦροι ἀφ᾽ αἵματος ἐσμὲν ἀγαυοῦ
Δαρδάνου, ὡς ἀδάϊκτος ἔτι πτόλις, ὄφρα καὶ ἡμεῖς
ἐκ φόνου ἀργαλέοιο καὶ Ἄρεος ἀμπνεύσωμεν.
Ἦ ῥα μέγ᾽ εὐχόμενος· τῷ δ᾽ αἰετὸς, ὀξὺ κεκληγὼς,
ἤδη ἀποπνείουσαν ἔχων ὀνύχεσσι πέλειαν,
ἐσσυμένως οἴμησεν ἀριστερός· ἀμφὶ δὲ θυμῷ
τάρβησε Πριάμοιο νόος, φάτο δ᾽ οὐκ ἔτ᾽ ἀθρήσειν
ζωὴν Πενθεσίλειαν, ἀπὸ πτολέμοιο κιοῦσαν·
καὶ τὸ μὲν ὣς ἤμελλον ἐτήτυμον ἤματι κείνῳ
Κῆρες ὑπεκτελέειν. ὁ δ᾽ ἄρ᾽ ἄχνυτο θυμὸν ἐαγώς.
Ἀργεῖοι δ᾽ ἀπάνευθεν ἐθάμβεον, εὖτ᾽ ἐσίδοντο
Τρῶας ἐπεσσυμένους, καὶ Ἀρηΐδα Πενθεσίλειαν,
τοὺς μὲν δὴ θήρεσσιν ἐοικότας, οἵ τ᾽ ἐν ὄρεσσιν
ποίμνῃς εἰροπόκοισι φόνον στονόεντα φέρουσι,
τὴν δὲ πυρὸς ῥιπῇ ἐναλίγκιον, ἥ τ᾽ ἐπὶ θάμνοις
μαίνεται ἀζαλέοισιν, ἐπειγομένου ἀνέμοιο·
καί τις ἅμ᾽ ἀγρομένοισιν ἔπος ποτὶ τοῖον ἔειπεν·
Τίς δὴ Τρῶας ἄγειρε μεθ᾽ Ἕκτορα δῃωθέντα,
οὓς φαμὲν οὐκ ἔτι νῶϊν ὑπαντιάσειν μεμαῶτας;
νῦν δ᾽ ἄφαρ ἀΐσσουσι λιλαιόμενοι μέγα χάρμης.
καί νύ τις ἐν μέσσοισιν ἐποτρύνει πονέεσθαι·
φαίης κεν θεὸν ἔμμεν᾽, ἐπεὶ μέγα μήδεται ἔργον.
ἀλλ᾽ ἄγε θάρσος ἄατον ἐνὶ στέρνοισι λαβόντες,
ἀλκῆς μνησώμεσθα δαΐφρονος· οὐδὲ γὰρ ἡμεῖς
νόσφι θεῶν Τρώεσσι μαχησόμεθ᾽ ἤματι τῷδε.
Ὣς φάτο. τοὶ δὲ φαεινὰ περὶ σφίσι τεύχεα θέντες,
νηῶν ἐξεχέοντο, μένος καταειμένοι ὤμοις·
σὺν δ᾽ ἔβαλον θήρεσσιν ἐοικότες ὠμοβόροισι,

δῆριν ἐς αἱματόεσσαν, ὁμοῦ δ' ἔχον ἔντεα καλὰ,
ἔγχεα, καὶ θώρηκας, ἐϋσθενέας τε βοείας,
καὶ κόρυθας βριαρὰς, ἕτερος δ' ἑτέρου χρόα χαλκῷ
τύπτον ἀπηλεγέως· τὸ δ' ἐρεύθετο Τρώϊον οὖδας.
ἔνθ' ἕλε Πενθεσίλεια Μόλωνά τε, Περσίνοόν τε,
Εἴλισσόν τε, καὶ Ἀντίθεον, καὶ ἀγήνορα Λέρνον,
Ἵππαλμόν τε, καὶ Αἱμονίδην, κρατερόν τ' Ἐλάσιππον.
Δηριόνη δ' ἕλε Λαογόνον· Κλονίη δὲ Μένιππον,
ὅς ῥα πάρος Φυλακῆθεν ἐπέσπετο Πρωτεσιλάῳ,
ὅππως κεν Τρώεσσιν ἐϋσθενέεσσι μάχοιτο·
τοῦ δ' ἄρ' ἀποφθιμένοιο, Ποδάρκεϊ θυμὸς ὀρίνθη
Ἰφικληϊάδῃ· τὸν γάρ μέγα φίλαθ' ἑταίρων·
αἶψα δ' ὅγ' ἀντιθέην Κλονίην βάλε· τῆς δὲ διὰ πρὸ
ἦλθε δόρυ στιβαρὸν κατὰ νηδύος· ἐκ δέ οἱ ὦκα
δουρὶ χύθη μέλαν αἷμα· συνέσπετο δ' ἔγκατα πάντα.
τῆς δ' ἄρα Πενθεσίλεια χολώσατο, καί ῥα Ποδάρκεα
οὔτασεν ἐς μυῶνα παχὺν, περιμήκεϊ δουρὶ,
χειρὸς δεξιτερῆς, διὰ δὲ φλέβας αἱματοέσσας
κέρσε· μέλαν δέ οἱ αἷμα δι' ἕλκεος οὐταμένοιο
ἔβλυσεν ἐσσυμένως· ὁ δ' ἄρα, στενάχων, ἀπόρουσεν
εἰσοπίσω· μάλα γάρ οἱ ἐδάμνατο θυμὸν ἀνίη.
τοῦ δ' ἄρ' ἀπεσσυμένοιο, ποθὴ Φυλάκεσσιν ἐτύχθη
ἄσπετος· ὅς δ' ἄρα, βαιὸν ἀπὸ πτολέμοιο λιασθεὶς,
κάτθανε καρπαλίμως σφετέρων ἐν χερσὶν ἑταίρων.
Ἰδομενεὺς δὲ Βρέμουσαν ἐνήρατο δούρατι μακρῷ,
δεξιτερὸν παρὰ μαζόν· ἄφαρ δέ οἱ ἦτορ ἔλυσεν.
ἡ δ' ἔπεσεν, μελίῃ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
δρυτόμοι τέμνουσιν ὑπείροχον· ἡ δ' ἀλεγεινὸν
ῥοῖζον ὁμῶς καὶ δοῦπον ἐρειπομένη προΐησιν·

ὣς ἡ ἀνοιμώξασα πέσεν, τῆς δ' ἅψεα πάντα
λῦσε μόρος, ψυχὴ δ' ἐμίγη πολυαέσιν αὔραις.
Εὐάνδρην δ' ἄρα Μηριόνης, ἰδὲ Θερμώδουσαν
εἷλεν ἐπεσσυμένας ὀλοὴν ἀνὰ δηϊοτῆτα·
τῇ μὲν ἄρ' ἐς κραδίην ἐλάσας δόρυ, τῇ δ' ὑπὸ νηδὺν
φάσγανον ἐγχρίμψας· τὰς δ' ἐσσυμένως λίπεν ἦτορ.
Δηριόνην δ' ἐδάμασσεν Ὀϊλέος ὄβριμος υἱός,
ἔγχεϊ ὀκρυόεντι διὰ κληῖδα τυχήσας.
Ἀλκιβίης δ' ἄρα Τυδείδης, καὶ Δηριμαχείης,
ἄμφω κρᾶτ' ἀπέκοψε σὺν αὐχέσιν, ἄχρις ἐπ' ὤμους,
ἄορι λευγαλέῳ· ταὶ δ', ἠΰτε πόρτιες, ἄμφω
κάππεσον, ἅς τ' αἰζηὸς ἄφαρ ψυχῆς ἀπαμέρσῃ,
κόψας αὐχενίους στιβαρῷ βουπλῆγι τένοντας·
ὣς αἱ Τυδείδαο πέσον παλάμῃσι δαμεῖσαι,
Τρώων ἂμ πεδίον, σφετέρων ἀπὸ νόσφι καρήνων.
τῇσι δ' ἐπὶ Σθένελος κρατερὸν κατέπεφνε Κάβειρον,
ὅς κίεν ἐκ Σηστοῖο, λιλαιόμενος πολεμίζειν
Ἀργείοις, οὐδ' αὖθις ἑὴν νοστήσατο πάτρην.
τοῦ δὲ Πάρις κραδίην ἐχολώσατο δηωθέντος,
καί ῥ' ἔβαλε Σθενέλοιο καταντίον· οὐδ' ἄρα τόν γε
οὔτασεν, ἐσσύμενός περ, ἀπεπλάγχθη γὰρ ὀϊστὸς
ἄλλῃ, ὅπῃ μιν Κῆρες ἀμείλιχοι ἰθύνεσκον·
κτεῖνε γὰρ ἐσσυμένως Εὐήνορα χαλκεομίτρην,
ὅς ῥ' ἐκ Δουλιχίοιο κίεν Τρώεσσι μάχεσθαι.
Τοῦ δ' ἄρ' ἀποφθιμένοιο, πάϊς Φυλῆος ἀγαυὸς
ὠρίνθη· μάλα δ' ὦκα, λέων ὣς πώεσι μήλων,
ἔνθορε· τοὶ δ' ἄρα πάντες ὑπέτρεσαν ὄβριμον ἄνδρα.
Κτεῖνε γὰρ Ἰτυμονῆα, καὶ Ἱππασίδην Ἀγέλαον,
οἵ ῥ' ἀπὸ Μιλήτοιο φέρον Δαναοῖσιν ὁμοκλήν,

Νάστῃ ἅμ' ἀντιθέῳ, καὶ ὑπ' Ἀμφιμάχῳ μεγαθύμῳ,
οἳ Μυκάλην ἐνέμοντο, Λάτμοιό τε λευκὰ κάρηνα,
Βράγχου τ' ἄγκεα μακρὰ, καὶ ἠϊόεντα Πάνορμον,
Μαιάνδρου τε ῥέεθρα βαθυῤῥόου, ὅς ῥ' ἐπὶ γαῖαν
Καρῶν ἀμπελόεσσαν ἀπὸ Φρυγίης πολυμήλου
εἶσι, πολυγνάμπτῃσιν ἑλισσόμενος προχοῇσιν.
καὶ τοὺς μὲν κατέπεφνε Μέγης ἐν δηϊοτῆτι·
ἄλλους δ' αὖτ' ἐδάμασσεν, ὅσους κίχε δουρὶ κελαινῷ·
ἐν γάρ οἱ στέρνοισι θράσος βάλε Τριτογένεια,
ὄφρα γε δυσμενέεσσιν ὀλέθριον ἦμαρ ἐφείη.
Δρησαῖον δ' ἐδάμασσεν ἀρηΐφιλος Πολυποίτης,
τὸν τέκε δῖα Νέαιρα περίφρονι Θειοδάμαντι
μιχθεῖσ' ἐν λεχέεσσιν, ὑπαὶ Σιπύλῳ νιφόεντι,
ἧχι θεοὶ Νιόβην λᾶαν θέσαν, ἧς ἔτι δάκρυ
πουλὺ μάλα στυφελῆς καταλείβεται ὑψόθι πέτρης,
καί οἱ συστοναχοῦσι ῥοαὶ πολυηχέος Ἕρμου,
καὶ κορυφαὶ Σιπύλου περιμήκεες, ὧν καθύπερθεν
ἐχθρὴ μηλονόμοισιν ἀεὶ περιΐπταὶ ὀμίχλη·
ἡ δὲ πέλει μέγα θαῦμα παρεσσυμένοισι βροτοῖσιν,
οὕνεκ' ἔοικε γυναικὶ πολυστόνῳ, ἥτ', ἐπὶ λυγρῷ
πένθεϊ μυρομένη, μάλα μυρία δάκρυα χεύει·
καὶ τὸ μὲν ἀτρεκέως φῇς ἔμμεναι, ὁππότ' ἄρ' αὐτὴν
τηλόθεν ἀθρήσειας· ἐπὴν δέ οἱ ἐγγὺς ἵκηαι,
φαίνεται αἰπήεσσα πέτρη, Σιπύλοιο τ' ἀποῤῥώξ.
ἀλλ' ἡ μὲν, μακάρων ὀλοὸν χόλον ἐκτελέουσα,
μύρεται ἐν πέτρῃσιν, ἔτ' ἀχνυμένῃ εἰκυῖα.
Ἄλλοι δ' ἀμφ' ἄλλοισι φόνον καὶ κῆρ' ἐτίθεντο
ἀργαλέον. δεινὸς γὰρ ἐνεστρωφᾶτο κυδοιμὸς
λαοῖς ἐν μέσσοισιν· ἀταρτηρὸν δέ οἱ ἄγχι

εἱστήκει θανάτοιο τέλος· περὶ δέ σφισι Κῆρες
λευγαλέαι στρωφῶντο, φόνον στονόεντα φέρουσαι.
πολλῶν δ' ἐν κονίῃσι λύθη κέαρ ἤματι κείνῳ
Τρώων, Ἀργείων τε· πολὺς δ' ἀλαλητὸς ὀρώρει·
οὐ γάρ πως ἀπέληγε μένος μέγα Πενθεσιλείης,
ἀλλ' ὥς τίς τε βόεσσι κατ' οὔρεα μακρὰ λέαινα
ἐνθόρῃ, ἀΐξασα βαθυσκοπέλου διὰ βήσσης,
αἵματος ἱμείρουσα, τὸ οἱ μάλα θυμὸν ἰαίνει·
ὣς τῆμος Δαναοῖσιν Ἀρηϊὰς ἔνθορε κούρη.
οἱ δ' ὀπίσω χάζοντο, τεθηπότα θυμὸν ἔχοντες,
ἡ δ' ἕπετ', ἠΰτε κῦμα βαρυγδούποιο θαλάσσης
νήεσιν ὠκείῃσιν, ὅθ' ἱστία λευκὰ πετάσσῃ
οὖρος ἐπειγόμενος· βοόωσι δὲ πάντοθεν ἄκραι
πόντου ἐρευγομένοιο ποτὶ χθονὸς ἠόνα μακρήν.
ὣς ἥ γ' ἑσπομένη Δαναῶν ἐδάϊζε φάλαγγας,
καί σφιν ἐπηπείλησε, μέγα φρεσὶ κυδιόωσα·
Ὦ κύνες, οἳ Πριάμοιο κακὴν ἀποτίσετε λώβην
σήμερον· οὐ γάρ πώ τις, ἐμὸν σθένος ἐξυπαλύξας,
χάρμα φίλοις τοκέεσσι, καὶ υἱάσιν, ἠδ' ἀλόχοισιν
οἴσεται· οἰωνοῖς δὲ βόσις καὶ θηρσὶ θανόντες
κείσεσθ'· οὐδέ τι τύμβος ἐφ' ὑμέας ἵξεται αἴης.
πῆ νῦν Τυδείδαο βίη, πῆ δ' Αἰακίδαο,
ποῦ δ' Αἴαντος ἔβη; τοὺς γὰρ φάτις ἔμμεν' ἀρίστους·
ἀλλ' ἐμοὶ οὐ τλήσονται ἐναντία δηριάασθαι,
μή σφιν ἀπὸ μελέων ψυχὰς φθιμένοισι κεδάσσω.
Ἦ ῥα· καὶ Ἀργείοισι μέγα φρονέουσ' ἐνόρουσε,
Κηρὶ βίην εἰκυῖα· πολὺν δ' ὑπεδάμνατο λαόν,
ἄλλοτε μὲν βουπλῆγι βαθυστόμῳ, ἄλλοτε δ' αὖτε
πάλλουσ' ὀξὺν ἄκοντα· φέρεν δέ οἱ αἰόλος ἵππος

ἰοδόκον, καὶ τόξον ἀμείλιχον, εἴ που ἄρ' αὐτῇ
χρειὼ ἂν αἱματόεντα μόθον βελέων ἀλεγεινῶν
καὶ τόξοιο πέλοιτο· θοοὶ δέ μιν ἄνδρες ἕποντο,
Ἕκτορος ἀγχεμάχοιο κασίγνητοί τε, φίλοι τε,
ὄβριμον ἐν στέρνοισιν ἀναπνείοντες Ἄρηα,
οἳ Δαναοὺς ἐδάϊζον ἐϋξέστῃς μελίῃσιν·
τοὶ δὲ, θοοῖς φύλλοισιν ἐοικότες ἢ ψεκάδεσσιν,
πίπτον ἐπασσύτεροι· μέγα δ' ἔστενεν ἄσπετος αἶα,
αἵματι δευομένη νεκύεσσί τε πεπληθυῖα.
ἵπποι δ', ἀμφὶ βέλεσσι πεπαρμένοι, ἢ μελίῃσιν,
ὑστάτιον χρεμέτιζον, ἑὸν μένος ἐκπνείοντες.
οἱ δὲ, κόνιν δραγμοῖσι δεδραγμένοι, ἀσπαίρεσκον·
τοὺς δ' ἄρα Τρώϊοι ἵπποι, ἐπεσσύμενοι μετόπισθεν,
ἄντλον ὅπως, στείβεσκον ὁμοῦ κταμένοισι πεσόντας.
Καί τις ἐνὶ Τρώεσσιν ἀγάσσατο μακρὰ γεγηθὼς,
ὡς ἴδε Πενθεσίλειαν ἀνὰ στρατὸν ἀΐσσουσαν,
λαίλαπι κυανέῃ ἐναλίγκιον, ἥτ' ἐνὶ πόντῳ
μαίνεθ', ὅτ' αἰγοκερῆϊ συνέρχεται ἠελίου ἴς·
καί ῥ' ὅγε μαψιδίῃσιν ἐπ' ἐλπωρῇσιν ἔειπεν·
Ὦ φίλοι, ὡς ἀναφανδὸν ἀπ' οὐρανοῦ εἰλήλουθε
σήμερον ἀθανάτων τις, ἵν' Ἀργείοισι μάχηται,
ἡμῖν ἦρα φέρουσα, Διὸς κρατερόφρονι βουλῇ,
ὃς τάχα που μέμνηται ἐϋσθενέος Πριάμοιο,
ὅς ῥά οἱ εὔχεται εἶναι ἀφ' αἵματος ἀθανάτοιο.
οὐ γὰρ τήνδε γυναῖκά γ' ὀΐομαι εἰσοράασθαι
αὔτως θαρσαλέην τε καὶ ἀγλαὰ τεύχε' ἔχουσαν,
ἀλλ' ἄρ' Ἀθηναίην, ἢ καρτερόθυμον Ἐνυὼ,
ἢ Ἔριδ', ἢ κλειτὴν Λητωΐδα· καί μιν ὀΐω
σήμερον Ἀργείοισι φόνον στονόεντα βαλέσθαι,

νῆάς τ' ἐμπρήσειν ὀλοῷ πυρὶ, τῇσι πάροιθεν
ἤλυθον ἐς Τροίην, νῶϊν κακὰ πολλὰ φέροντες.
ἤλυθον ἄσχετον ἄμμιν ἐπ' Ἄρεϊ πῆμα φέροντες·
ἀλλ' οὐ μὰν παλίνορσοι ἐς Ἑλλάδα νοστήσαντες,
πάτρην εὐφρανέουσιν, ἐπεὶ θεὸς ἄμμιν ἀρήγει.
Ὣς ἄρ' ἔφη Τρώων τις, ἐνὶ φρεσὶ πάγχυ γεγηθώς·
νήπιος· οὐδ' ἄρ' ἐφράσσατ' ἐπεσσύμενον βαρὺ πῆμα
οἷ αὐτῷ, καὶ Τρωσὶ, καὶ αὐτῇ Πενθεσιλείῃ·
οὐ γάρ πώ τι μόθοιο δυσηχέος ἀμφὶ πέπυστο
Αἴας ὀβριμόθυμος, ἰδὲ πτολίπορθος Ἀχιλλεὺς,
ἀλλ' ἄμφω περὶ σῆμα Μενοιτιάδαο κέχυντο,
μνησάμενοι ἑτάροιο· γόος δ' ἔχεν ἄλλυδις ἄλλον.
τοὺς γὰρ δὴ μακάρων τις ἐρήτυε νόσφι κυδοιμοῦ,
ὄφρ' ἀλεγεινὸν ὄλεθρον ἀναπλήσωσι δαμέντες
πολλοὶ ὑπὸ Τρώεσσι, καὶ ἐσθλῇ Πενθεσιλείῃ·
ἣ σφιν ἐπεσσυμένη κακὰ μήδετο· καί οἱ ἄεξεν
ἀλκὴ ὁμῶς καὶ θάρσος ἐπιπλέον· οὐδέ οἱ αἰχμὴ
μαψιδίη ποτὲ θῦνεν, ἀεὶ δ' ἢ νῶτα δάϊξε
φευγόντων, ἢ στέρνα καταντίον ἀϊσσόντων·
θερμῷ δ' αἵματι πάμπαν ἐδεύετο, γυῖα δ' ἐλαφρὰ
ἔπλετ' ἐπεσσυμένης· κάματος δ' οὐ δάμνατο θυμὸν
ἄτρομον, ἀλλ' ἀδάμαντος ἔχεν μένος· εἰσέτι γάρ μιν
Αἶσα λυγρὴ κύδαινεν, ἀπόπροθι δ' ἑστηυῖα
χάρμης, κυδιάασκεν ὀλέθριον, οὕνεκ' ἔμελλε
κούρην οὐ μετὰ δηρὸν ὑπ' Αἰακίδαο χέρεσσι
δάμνασθ'. ἀμφὶ δέ μιν ζόφος ἔκρυφε· τὴν δ' ὀρόθυνεν
αἰὲν ἄϊστος ἐοῦσα, καὶ ἐς κακὸν ἦγεν ὄλεθρον
ὕστατα κυδαίνουσ'· ἡ δ' ἄλλοθεν ἄλλον ἔναιρεν·
ὡς δ' ὁπότ' ἐρσήεντος ἔσω κήποιο θοροῦσα,

ποίης ἐλδομένη θυμηδέος εἴαρι, πόρτις,
ἀνέρος οὐ παρέοντος, ἐπέσσυται ἄλλοθεν ἄλλη,
σινομένη φυτὰ πάντα, νέον μάλα τηλεθόωντα,
καὶ τὰ μὲν ἂρ κατέδαψε, τὰ δ' ἐν ποσὶν ἠμάλδυνεν·
ὣς ἄρ' Ἀχαιῶν υἷας ἐπεσσυμένη καθ' ὅμιλον
κούρη Ἐνυαλίη, τοὺς μὲν κτάνε, τοὺς δ' ἐφόβησε.
Τρωϊάδες δ' ἀπάνευθεν Ἀρήϊα ἔργα γυναικὸς
θαύμαζον, πολέμοιο δ' ἔρως λάβεν Ἱπποδάμειαν,
Ἀντιμάχοιο θύγατρα, μενεπτολέμοιο δ' ἄκοιτιν
Τισιφόνου· κρατερῇσι δ' ὑπὸ φρεσὶν ἐμμεμαυῖα,
θαρσαλέον φάτο μῦθον, ὁμήλικας ὀτρύνουσα
δῆριν ἐπὶ στονόεσσαν· ἔγειρε δέ οἱ θράσος ἀλκήν·
Ὦ φίλαι, ἄλκιμον ἦτορ ἐπὶ στέρνοισι βαλοῦσαι
ἀνδράσιν ἡμετέροισιν ὁμοῖιον, οἳ περὶ πάτρης
δυσμενέσιν μάρνανται, ὑπὲρ τεκέων τε, καὶ ἡμῶν,
οὔποτ' ἀναπνείοντες ὀϊζύος — ἀλλὰ καὶ αὐταὶ
παρθέμεναι φρεσὶ θυμὸν, ἴσης μνησώμεθα χάρμης.
οὐ γὰρ ἀπόπροθεν εἰμὲν ἐϋσθενέων αἰζηῶν,
ἀλλ' οἷον κείνοισι πέλει μένος, ἔστι καὶ ἡμῖν·
ἶσοι δ' ὀφθαλμοὶ, καὶ γούνατα, πάντα δ' ὁμοῖα·
ξυνὸν δ' αὖ πάντεσσι φάος, καὶ νήχυτος ἀήρ·
φορβὴ δ' οὐχ ἑτέρη· τί δ' ἐπ' ἀνδράσι λώϊον ἄλλο
θῆκε θεός; τῷ μή τι φεβώμεθα δηϊοτῆτος.
ἦ οὐχ ὁρᾶατε γυναῖκα, μέγ' αἰζηῶν προφέρουσαν
ἀγχεμάχων; τῆς δ' οὔ τι πέλει σχεδὸν, οὔτε γενέθλη,
οὔτ' ἄρ' ἑὸν πτολίεθρον· ὑπὲρ ξείνοιο δ' ἄνακτος
μάρναται ἐκ θυμοῖο, καὶ οὐκ ἐμπάζεται ἀνδρῶν,
ἐνθεμένη φρεσὶ θάρσος, ἀταρτηρόν τε νόημα·
ἡμῖν δ' ἄλλοθεν ἄλλα παραὶ ποσὶν ἄλγεα κεῖται·

τῇ μὲν γὰρ φίλα τέκνα, καὶ ἀνέρες ἀμφὶ πόληϊ
ὄλλυνθ᾽, αἱ δὲ τοκῆας ὀδυρόμεθ᾽ οὐκ ἔτ᾽ ἐόντας·
ἄλλαι δ᾽ αὖτ᾽ ἀκάχηνται ἀδελφειῶν ἐπ᾽ ὀλέθρῳ
καὶ πηῶν· οὐ γάρ τις ὀϊζυρῆς κακότητος
ἄμμορος· ἐλπωρὴ δὲ πέλει, καὶ δούλιον ἦμαρ
εἰσιδέειν. τῷ μή τις ἔτ᾽ ἀμβολίη πολέμοιο
εἴη τειρομένῃσιν· ἔοικε γὰρ ἐν δαῒ μᾶλλον
τεθνάμεν, ἢ μετόπισθεν ὑπ᾽ ἀλλοδαποῖσιν ἄγεσθαι,
νηπιάχοις ἅμα παισὶν, ἀνιηρῇ ἐπ᾽ ἀνάγκῃ,
ἄστεος αἰθομένοιο, καὶ ἀνδρῶν οὐκ ἔτ᾽ ἐόντων.
Ὣς ἄρ᾽ ἔφη· πάσῃσι δ᾽ ἔρως στυγεροῖο μόθοιο
ἔμπεσεν· ἐσσυμένως δὲ πρὸ τείχεος ὡρμαίνεσκον
βήμεναι ἐν τεύχεσσιν, ἀρηγέμεναι μεμαυῖαι
ἄστεϊ, καὶ λαοῖσιν· ὀρίνετο δέ σφισι θυμός.
ὡς δ᾽ ὅτ᾽ ἔσω σίμβλοιο μέγ᾽ ἰΰζωσι μέλισσαι,
χείματος οὐκ ἔτ᾽ ἐόντος, ὅτ᾽ ἐς νομὸν ἐντύνονται
ἐλθέμεν, οὐδ᾽ ἄρα τῇσι φίλον πέλει ἔνδοθι μίμνειν,
ἄλλη δ᾽ αὖ ἑτέρην προκαλίζεται ἐκτὸς ἄγεσθαι·
ὣς ἄρα Τρωϊάδες ποτὶ φύλοπιν ἐγκονέουσαι,
ἀλλήλας ὄτρυνον· ἀπόπροθι δ᾽ εἴρια θέντο,
καὶ ταλάρους· ἀλεγεινὰ δ᾽ ἐπ᾽ ἔντεα χεῖρας ἴαλλον.
Καί νύ κεν ἄστεος ἐκτὸς ἅμα σφετέροισιν ὄλοντο
ἀνδράσι, καὶ σθεναρῇσιν Ἀμαζόσιν, ἐν δαῒ, κεῖναι,
εἰ μὴ σφέας κατέρυξε πύκα φρονέουσα Θεανὼ
ἐσσυμένας, πινυτοῖσι παραυδήσασ᾽ ἐπέεσσιν·
Τίπτε ποτὶ κλόνον αἰνὸν, ἐελδόμεναι πονέεσθαι,
σχέτλιαι, οὔτι πάροιθε πονησάμεναι περὶ χάρμης,
ἀλλ᾽ ἄρα νήϊδες, ἔργον ἐπ᾽ ἄτλητον μεμαυῖαι,
ὄρνυσθ᾽ ἀφραδέως; οὐ γὰρ σθένος ἔσσεται ἶσον

ὑμῖν, καὶ Δαναοῖσιν ἐπισταμένοισι μάχεσθαι.
αὐτὰρ Ἀμαζόσι δῆρις ἀμείλιχος ἱππασίαι τε
εὔαδον ἐξαρχῆς, καὶ ὅσ᾽ ἀνέρος ἔργα πέλονται·
τοὔνεκ᾽ ἄρα σφίσι θυμὸς Ἀρήϊος αἰὲν ὄρωρεν,
οὐδ᾽ ἀνδρῶν δεύονται, ἐπεὶ πόνος εἰς μέγα κάρτος
θυμὸν ἀνηέξησε, καὶ ἄτρομα γούνατ᾽ ἔθηκε.
τὴν δὲ φάτις καὶ, Ἄρηος ἔμεν κρατεροῖο θύγατρα·
τῷ οἱ θηλυτέρην τιν᾽ ἐριζέμεν οὔτι ἔοικεν·
ἠὲ τάχ᾽ ἀθανάτων τις ἐπήλυθεν εὐχομένοισιν.
πᾶσι δ᾽ ἄρ᾽ ἀνθρώποισιν ὁμὸν γένος· ἀλλ᾽ ἐπὶ ἔργα
στρωφῶντ᾽, ἄλλος ἐπ᾽ ἄλλα· πέλει δ᾽ ἄρα κεῖνο φέριστον
ἔργον, ὅ, τι φρεσὶν ᾗσιν ἐπιστάμενος πονέηται·
τοὔνεκα δηϊοτῆτος ἀποσχόμεναι κελαδεινῆς,
ἱστὸν ἐπεντύνεσθε ἑῶν ἔντοσθι μελάθρων·
ἀνδράσι δ᾽ ἡμετέροισι περὶ πτολέμοιο μελήσει.
ἐλπωρὴ δ᾽ ἀγαθοῖο τάχ᾽ ἔσσεται, οὕνεκ᾽ Ἀχαιοὺς
δερκόμεθ᾽ ὀλλυμένους· μέγα δὲ κράτος ὄρνυται ἀνδρῶν
ἡμετέρων. οὐδ᾽ ἔστι κακῶν δέος· οὔτι γὰρ ἄστυ
δήϊοι ἀμφὶς ἔχουσιν ἀνηλέες, οὔτ᾽ ἀλεγεινὴ
γίγνετ᾽ ἀναγκαίη καὶ θηλυτέρῃσι μάχεσθαι.
Ὣς φάτο· ταὶ δ᾽ ἐπίθοντο παλαιοτέρῃ περ ἐούσῃ·
ὑσμίνην δ᾽ ἀπάνευθεν ἐσέδρακον. ἡ δ᾽ ἔτι λαοὺς
δάμνατο Πενθεσίλεια, περιτρομέοντο δ᾽ Ἀχαιοὶ,
οὐδέ σφιν θανάτοιο πέλε στονόεντος ἄλυξις·
ἀλλ᾽ ἅτε μηκάδες αἶγες ὑπὸ βλοσυρῇσι γένυσσι
παρδάλιος κτείνοντο, ποθὴ δ᾽ ἔχεν οὐκ ἔτι χάρμης
ἀνέρας, ἀλλὰ φόβοιο, καὶ ἄλλυδις ἤϊεν ἄλλος,
οἱ μὲν ἀποῤῥίψαντες ἐπὶ χθόνα τεύχε᾽ ἀπ᾽ ὤμων,
οἱ δ᾽ ἄρα σὺν τεύχεσσι· καὶ ἡνιόχων ἀπάνευθεν

ἵπποι ἔσαν φεύγοντες· ἐπεσσυμένοις δ' ἄρα χάρμα
ἔπλετ', ἀπολλυμένων δὲ πολὺς στόνος· οὐδέ τις ἀλκὴ
γίγνετο τειρομένοισι· μινυνθάδιοι δὲ πέλοντο
πάντες, ὅσους ἐκίχανεν ἀνὰ κρυερὸν στόμα χάρμης.
ὡς δ' ὅτ' ἐπιβρίσασα μέγα στονόεσσα θύελλα,
ἄλλα μὲν ἐκ ῥιζῶν χαμάδις βάλε δένδρεα μακρὰ
ἄνθεσι τηλεθόωντα, τὰ δ' ἐκ πρέμνοιο κέδασσεν
ὑψόθεν· ἀλλήλοισι δ' ἐπὶ κλασθέντα κέχυνται·
ὣς Δαναῶν κέκλιτο πολὺς στρατὸς ἐν κονίῃσι
Μοιράων ἰότητι, καὶ ἔγχεϊ Πενθεσιλείης.
Αὐτὰρ ἐπεὶ καὶ νῆες ἐνιπρήσεσθαι ἔμελλον
χερσὶν ὑπὸ Τρώων, τότε που μενεδήϊος Αἴας
οἰμωγῆς ἐσάκουσε, καὶ Αἰακίδην προσέειπεν·
Ὦ Ἀχιλεῦ, περὶ δή μοι ἀπείριτος ἤλυθεν αὐδὴ
οὔασιν, ὡς πολέμοιο συνεσταότος μεγάλοιο·
ἀλλ' ἴομεν, μὴ Τρῶες, ὑποφθάμενοι παρὰ νηυσὶν,
Ἀργείους ὀλέσωσι, καταφλέξωσι δὲ νῆας.
νῶϊν δ' ἀμφοτέροισιν ἐλεγχείη ἀλεγεινὴ
ἔσσεται· οὐ γὰρ ἔοικε Διὸς μεγάλου γεγαῶτας,
αἰσχύνειν πατέρων ἱερὸν γένος, οἵ ῥα καὶ αὐτοὶ
Τρώων ἀγλαὸν ἄστυ διέπραθον, ἀφραδίῃσι
τὸ πρὶν, ἅμ' Ἡρακλῆϊ δαΐφρονι, Λαομέδοντος·
ὥσπερ νῦν τελέεσθαι ὑφ' ἡμετέρῃσιν ὀΐω
χερσὶν, ἐπὶ μέγα κάρτος ἀέξεται ἀμφοτέροισιν.
Ὣς φάτο· τῷ δ' ἐπίθησε θρασὺ σθένος Αἰακίδαο·
κλαγγὴν γὰρ στονόεσσαν ὑπέκλυεν οὔασιν οἷσιν.
ἄμφω δ' ὡρμήθησαν ἐπ' ἔντεα μαρμαίροντα·
καὶ τὰ μὲν ἑσσάμενοι, κατεναντίον ἔσταν ὁμίλου·
τῶν δ' ἄρα τεύχεα καλὰ μέγ' ἔβραχε· μαίνετο δέ σφιν

ἶσον θυμὸς Ἄρηϊ· τόσον σθένος ἀμφοτέροισι
δῶκεν ἐπειγομένοισι σακέσπαλος Ἀτρυτώνη.
Ἀργεῖοι δ' ἐχάρησαν, ἐπεὶ ἴδον ἄνδρε κραταιὼ,
εἰδομένω παίδεσσιν Ἀλωῆος μεγάλοιο,
οἵ ποτ' ἐπ' εὐρὺν Ὄλυμπον ἔφαν θέμεν οὔρεα μακρὰ,
Ὄσσαν τ' αἰπεινὴν καὶ Πήλιον ὑψικάρηνον,
ὅππως δὴ μεμαῶτε καὶ οὐρανὸν εἰσαφίκωνται·
τοῖοι ἄρ' ἀντέστησαν ἀταρτηροῦ πολέμοιο
Αἰακίδαι, μέγα χάρμα λιλαιομένοισιν Ἀχαιοῖς,
ἄμφω ἐπειγόμενοι δηΐων ἀπὸ λαὸν ὀλέσσαι.
πολλοὺς δ' ἐγχείῃσιν ἀμαιμακέτῃσι δάμασσαν·
ὡς δ' ὅτε πίονα μῆλα βοοδμητῆρε λέοντε
εὑρόντ' ἐν ξυλόχοισι, φίλων ἀπάνευθε νομήων,
πανσυδίῃ κτείνωσιν, ἄχρις, μέλαν αἷμα πιόντες,
σπλάγχνων ἐμπλήσονται ἑὴν πολυχανδέα νηδύν·
ὣς οἵγ' ἄμφω ὄλεσσαν ἀπειρέσιον στρατὸν ἀνδρῶν.
Ἔνθ' Αἴας ἕλε Δηΐοχον, ἠδὲ Ἀρήϊον Ὕλλον,
Εὐρύνομόν τε φιλοπτόλεμον, καὶ Ἐννέα δῖον.
Ἀντάνδρην δ' ἄρα Πηλείδης ἕλε, καὶ Πολέμουσαν,
ἠδὲ καὶ Ἀντιβρότην, μετὰ δ' Ἱπποθόην ἐρίθυμον,
τῇσι δ' ἐφ' Ἁρμοθόην· ἐπὶ δ' ᾤχετο λαὸν ἅπαντα
σὺν Τελαμωνιάδῃ μεγαλήτορι· τῶν δ' ὑπὸ χερσὶ
πυκναί τε σθεναραί τε κατηρείποντο φάλαγγες
ῥεῖα καὶ ὀτραλέως, ὡσεὶ πυρὶ δάσκιος ὕλη
οὔρεος ἐν ξυλόχοισιν, ἐπισπέρχοντος ἀήτεω.
Τοὺς δ' ὁπότ' εἰσενόησε δαΐφρων Πενθεσίλεια
θῆρας ὅπως θύνοντας ἀνὰ μόθον ὀκρυόεντα,
ἀμφοτέρων ὥρμησε καταντίον, ἠΰτε λυγρὴ
πάρδαλις ἐν ξυλόχοισιν, ὀλέθριον ἦτορ ἔχουσα

αἰνὰ περισσαίνουσα, θορεῖ κατέναντ' ἐπιόντων
ἀγρευτῶν, οἵπερ μιν ἐν ἔντεσι θωρηχθέντες,
ἐσσυμένην μίμνουσι, πεποιθότες ἐγχείῃσιν·
ὣς ἄρα Πενθεσίλειαν Ἀρήϊον ἄνδρες ἔμιμνον,
δούρατ' ἀειράμενοι· περὶ δέ σφισι χαλκὸς ἄϋτει
κινυμένων· πρώτη δ' ἔβαλεν περιμήκετον ἔγχος
ἐσθλὴ Πενθεσίλεια· τὸ δ' ἐς σάκος Αἰακίδαο
ἷξεν, ἀπεπλάγχθη δὲ διατρυφὲν εὖτ' ἀπὸ πέτρης·
τοῖ' ἔσαν Ἡφαίστοιο περίφρονος ἄμβροτα δῶρα.
ἡ δ' ἕτερον μετὰ χερσὶ τιτύσκετο θοῦρον ἄκοντα
Αἴαντος κατέναντα, καὶ ἀμφοτέροισιν ἀπείλει·
Νῦν μὲν ἐμῆς ἀπὸ χειρὸς ἐτώσιον ἔκθορεν ἔγχος·
ἀλλ' ὀΐω, τάχα τῷδε μένος καὶ θυμὸν ὀλέσσειν
ὑμέων ἀμφοτέρων, οἵ τ' ἄλκιμοι εὐχετάασθε
ἔμμεναι ἐν Δαναοῖσιν· ἐλαφροτέρη δὲ μόθοιο
ἔσσεται ἱπποδάμοισι μετὰ Τρώεσσιν ὀϊζύς.
ἀλλά μοι ἆσσον ἵκεσθε ἀνὰ κλόνον, ὄφρ' ἐσίδεσθε,
ὅσσον Ἀμαζόσι κάρτος ἐνὶ στήθεσσιν ὄρωρεν·
καὶ γάρ μευ γένος ἐστὶν Ἀρήϊον· οὐδέ με θνητὸς
γείνατ' ἀνὴρ, ἀλλ' αὐτὸς Ἄρης, ἀκόρητος ὁμοκλῆς·
τοὔνεκά μοι μένος ἐστὶ πολὺ προφερέστατον ἀνδρῶν.
Ἦ μέγα· τοὶ δ' ἐγέλασσαν· ἄφαρ δέ οἱ ἤλασεν αἰχμὴ
Αἴαντος κνημῖδα πανάργυρον· οὐδέ οἱ εἴσω
ἤλυθεν ἐς χρόα καλὸν, ἐπειγομένη περ ἱκέσθαι·
οὐ γάρ δὴ πέπρωτο μιγήμεναι αἵματι κείνου
δυσμενέων στονόεσσαν ἐνὶ πτολέμοισιν ἀκωκήν.
Αἴας δ' οὐκ ἀλέγιζεν Ἀμαζόνος, ἀλλ' ἄρα Τρώων
ἐς πληθὺν ἀνόρουσε· λίπε δ' ἄρα Πηλείωνι
οἴῳ Πενθεσίλειαν, ἐπεὶ ῥά οἱ ἐν φρεσὶ θυμὸς

ᾔδεεν, ὡς Ἀχιλῆϊ, καὶ ἰφθίμη περ ἐοῦσα,
ῥηΐδιος πόνος ἔσσεθ᾽, ὅπως ἴρηκι πέλεια.
Ἡ δὲ μέγα στονάχησεν, ἐτώσια δοῦρα βαλοῦσα·
καί μιν κερτομέων προσεφώνεε Πηλέος υἱός·
Ὦ γύναι, ὡς ἀλίοισιν ἀγαλλομένη ἐπέεσσιν
ἡμέων ἤλυθες ἄντα, λιλαιομένη πολεμίζειν,
οἳ μέγα φέρτατοι εἰμὲν ἐπιχθονίων ἡρώων·
ἐκ γὰρ δὴ Κρονίωνος ἐριγδούποιο γενέθλης
εὐχόμεθ᾽ ἐκγεγάμεν· τρομέεσκε δὲ καὶ θοὸς Ἕκτωρ
ἡμέας, εἰ καὶ ἄπωθεν ἐσέδρακεν ἀΐσσοντας
δῆριν ἐπὶ στονόεσσαν· ἐμὴ δέ μιν ἔκτανεν αἰχμὴ,
καὶ κρατερόν περ ἐόντα. σὺ δ᾽ ἐν φρεσὶ πάγχυ μέμηνας,
ἣ μέγ᾽ ἔτλης, καὶ νῶϊν ἐπηπείλησας ὄλεθρον
σήμερον· ἀλλά σοι εἶθαρ ἐλεύσεται ὕστατον ἦμαρ·
οὐδὲ γὰρ οὐδ᾽ αὐτός σε πατὴρ ἔτι ῥύσεται Ἄρης
ἐξ ἐμέθεν· τίσεις δὲ κακὸν μόρον, εὖτ᾽ ἐν ὄρεσσι
κεμμὰς ἀπαντήσασα βοοδμητῆρι λέοντι.
ἦ οὔπω τόδ᾽ ἄκουσας, ὅσων ὑποκάππεσε γυῖα
Ξάνθου γὰρ προχοῇσιν ὑφ᾽ ἡμετέρῃς παλάμῃσιν;
ἢ σεῦ πευθομένης μάκαρες φρένας ἐξείλοντο,
καὶ νόον, ὄφρα σε Κῆρες ἀμείλιχοι ἀμφιχέωνται;
Ὣς εἰπὼν, οἴμησε, κραταιῇ χειρὶ τιταίνων
λαοφόνον δόρυ μακρὸν ὑπαὶ Χείρωνι πονηθέν·
αἶψα δ᾽ ὑπὲρ μαζοῖο δαΐφρονα Πενθεσίλειαν
οὔτασε δεξιτεροῖο· μέλαν δέ οἱ ἔῤῥεεν αἷμα
ἐσσυμένως· ἡ δ᾽ εἶθαρ ὑπεκλάσθη μελέεσσιν·
ἐκ δ᾽ ἔβαλεν χειρὸς πέλεκυν μέγαν· ἀμφὶ δέ οἱ νὺξ
ὀφθαλμοὺς ἤχλυσε, καὶ ἐς φρένα δῦσαν ἀνίαι.
ἀλλὰ καὶ ὣς ἄμπνυε, καὶ εἴσιδε δήϊον ἄνδρα,

ἤδη μιν μέλλοντα καθελκέμεν ὠκέος ἵππου·
ὥρμηνεν δ' ἥ, χειρὶ μέγα ξίφος εἰρύσασα,
μεῖναι ἐπεσσυμένοιο θοοῦ Ἀχιλῆος ἐρωὴν,
ἢ, κραιπνῶς ἵπποιο κατ' ὠκυτάτοιο θοροῦσα,
λίσσεσθ' ἀνέρα δῖον, ὑποσχέσθαι δέ οἱ ὦκα
χαλκὸν ἅλις, καὶ χρυσὸν, ἅ τε φρένας ἔνδον ἰαίνει
θνητῶν ἀνθρώπων, καὶ εἰ μάλα τὶς θρασὺς εἴη·
τοῖς ἤν πως πεπίθοιτ' ὀλοὸν σθένος Αἰακίδαο·
ἢ καὶ ὁμηλικίην αἰδεσσάμενος κατὰ θυμὸν,
δώῃ νόστιμον ἦμαρ ἐελδομένῃ περ ἀλύξαι.
  Καὶ τὸ μὲν ὣς ὥρμαινε· θεοὶ δ' ἑτέρωσε βάλοντο.
τῇ γὰρ ἐπεσσυμένῃ μέγ' ἐχώσατο Πηλέος υἱὸς,
καί οἱ ἄφαρ σὺν ἔπειρεν ἀελλόποδος δέμας ἵππου·
εὖτέ τις ἀμφ' ὀβελοῖσιν ὕπαὶ πυρὸς αἰθαλόεντος
σπλάγχνα διαμπείρῃσιν, ἐπειγόμενος, ποτὶ δόρπον,
ἠδ' ὥς τις στονόεντα βαλὼν ἐν ὄρεσσιν ἄκοντα
θηρητὴρ, ἐλάφοιο μέσην διὰ νηδύα κέρσῃ
ἐσσυμένως, πταμένη δὲ διαμπερὲς ὄβριμος αἰχμὴ
πρέμνον ἐς ὑψικόμοιο πάγῃ δρυὸς, ἢ ἐνὶ πεύκῃ·
ὣς ἄρα Πενθεσίλειαν ὁμῶς περικαλλέϊ ἵππῳ
ἀντικρὺ διάμησεν ὑπ' ἔγχεϊ μαιμώωντι
Πηλείδης. ἡ δ' ὦκα μίγη κονίῃ καὶ ὀλέθρῳ,
εὐσταλέως ἐριποῦσα κατ' οὔδεος· οὐ δέ οἱ αἰδὼς
ᾔσχυνεν δέμας ἠΰ· τάθη δ' ἐπὶ νηδύα μακρὴν,
δουρὶ περισπαίρουσα, θοῷ δ' ἐπικέκλιτο ἵππῳ·
εὖτ' ἐλάτη κλασθεῖσα βίῃ κρυεροῦ Βορέαο,
ἥν τέ που αἰπυτάτην ἀνὰ τ' ἄγκεα μακρὰ, καὶ ὕλην,
οἱ αὐτῇ μέγ' ἄγαλμα, τρέφει περὶ πίδακι γαῖα·

τοίη Πενθεσίλεια κατ᾽ ὠκέος ἤριπεν ἵππου
θηητή περ ἐοῦσα· κατεκλάσθη δέ οἱ ἀλκή.
Τρῶες δ᾽ ὡς ἐσίδοντο δαϊκταμένην ἐνὶ χάρμῃ,
πανσυδίῃ, τρομέοντες, ἐπὶ πτόλιν ἐσσεύοντο,
ἄσπετ᾽ ἀκηχέμενοι μεγάλῳ περὶ πένθεϊ θυμόν.
ὡς δ᾽ ὅτ᾽ ἂν εὐρέα πόντον ἐπιβρίσαντος ἀήτεω
ναῦται, νῆ᾽ ὀλέσαντες, ὑπεκπροφύγωσιν ὄλεθρον,
παῦροι, πολλὰ καμόντες ὀϊζυρῆς ἁλὸς εἴσω,
ὀψὲ δ᾽ ἄρα σφίσι γαῖα φάνῃ σχεδὸν, ἠδὲ καὶ ἄστυ,
τοὶ δὲ μόγῳ στονόεντι τετρυγμένοι, αἶψά γε πάντες
ἐξ ἁλὸς ἀΐσσουσι, μέγ᾽ ἀχνύμενοι περὶ νηὸς,
ἠδ᾽ ἑτάρων, οὓς αἰνὸν ὑπὸ ζόφον ἤλασε κῦμα·
ὣς Τρῶες ποτὶ ἄστυ πεφυζότες ἐκ πολέμοιο,
κλαῖον πάντες Ἄρηος ἀμαιμακέτοιο θύγατρα,
καὶ λαοὺς, οἳ δῆριν ἀνὰ στονόεσσαν ὄλοντο.
Τῇ δ᾽ ἐπικαγχαλόων, μεγάλ᾽ εὔχετο Πηλέος υἱός·
Κεῖσό νυν ἐν κονίῃσι κυνῶν βόσις, ἠδ᾽ οἰωνῶν,
δειλαίη· τίς γάρ σε παρήπαφεν ἀντί᾽ ἐμεῖο
ἐλθέμεν; ἦπου ἔφησθα, μάχης ἀπονοστήσασα,
οἴσειν ἄσπετα δῶρα παρὰ Πριάμοιο γέροντος,
κτείνασ᾽ Ἀργείους· ἀλλ᾽ οὐ τόδε σοί γε νόημα
ἀθάνατοι ἐτέλεσσαν, ἐπεὶ μέγα φέρτατοι εἰμὲν
ἡρώων, Δαναοῖσι φάος μέγα, Τρωσὶ δὲ πῆμα
ἠδὲ σοὶ αἰνομόρῳ, ἐπειή νύ σε Κῆρες ἐρεμναὶ,
καὶ νόος ἐξορόθυνε, γυναικῶν ἔργα λιποῦσαν,
βήμεναι ἐς πόλεμον, τόν περ τρομέουσι καὶ ἄνδρες.
Ὣς εἰπὼν, μελίην ἐξείρυσε Πηλέος υἱὸς
ὠκέος ἐξ ἵπποιο, καὶ αἰνῆς Πενθεσιλείης·
ἄμφω δ᾽ ἀσπαίρεσκον, ὑφ᾽ ἓν δορὶ δηωθέντες·

ἀμφὶ δέ οἱ κρατὸς κόρυν εἵλετο μαρμαίρουσαν,
ἠελίου ἀκτῖσιν ἀλίγκιον, ἢ Διὸς αἴγλῃ.
τῆς δὲ, καὶ ἐν κονίῃσι καὶ αἵματι πεπτηυίης,
ἐξεφάνη ἐρατῇσιν ὑπ' ὀφρύσι καλὰ πρόσωπα,
καί περ ἀποκταμένης· οἱ δ' ὡς ἴδον ἀμφιέποντες
Ἀργεῖοι, θάμβησαν, ἐπεὶ μακάρεσσιν ἐῴκει.
κεῖτο γὰρ ἐν τεύχεσσι κατὰ χθονὸς, ἠΰτ' ἀτειρὴς
Ἄρτεμις ὑπνώουσα, Διὸς τέκος, εὖτε κάμῃσι
γυῖα, κατ' οὔρεα μακρὰ θοοὺς βάλλουσα λέοντας·
αὐτὴ γάρ μιν ἔτευξε καὶ ἐν φθιμένοισιν ἀγητὴν
Κύπρις ἐϋστέφανος, κρατεροῦ παράκοιτις Ἄρηος,
ὄφρα τι καὶ Πηλῆος ἀμύμονος υἷ' ἀκαχήσῃ.
πολλοὶ δ' εὐχετόωντο, κατ' οἰκία νοστήσαντες
τοίης καὶ ἀλόχοιο παραὶ λεχέεσσιν ἰαῦσαι·
καὶ δ' Ἀχιλεὺς ἀλίαστον ἑῷ ἐνετείρετο θυμῷ,
οὕνεκά μιν κατέπεφνε, καὶ οὐκ ἄγε δῖαν ἄκοιτιν
Φθίην εἰς εὔπωλον, ἐπεὶ μέγεθός τε καὶ εἶδος
ἔπλετ' ἀμώμητός τε, καὶ ἀθανάτῃσιν ὁμοίη.

Ἄρεϊ δ' ἔμπεσε πένθος ἀάπλετον, ἀμφὶ θυγατρὸς
θυμὸν ἀκηχεμένῳ· τάχα δ' ἔκθορεν Οὐλύμποιο,
σμερδαλέῳ ἀτάλαντος ἀεικτυπέοντι κεραυνῷ,
ὅν τε Ζεὺς προΐησιν, ὁ δ' ἀκαμάτης ἀπὸ χειρὸς
ἔσσυται ἢ ἐπὶ πόντον ἀπείριτον, ἢ ἐπὶ γαῖαν,
μαρμαίρων, τῷ δ' ἀμφὶ μέγας πελεμίζετ' Ὄλυμπος
τοῖος Ἄρης ταναοῖο δι' ἠέρος, ἀσχαλόων κῆρ,
ἔσσυτο σὺν τεύχεσσιν, ἐπεὶ μόρον αἰνὸν ἄκουσε
παιδὸς ἑῆς· τῷ γάρ ῥα, κατ' οὐρανὸν εὐρὺν ἐόντι,
Αὖραι μυθήσαντο, θοαὶ Βορέαο θύγατρες,
κούρης αἰνὸν ὄλεθρον. ὁ δ', ὡς κίεν, ἶσος ἀέλλῃ,

Ἰδαίων ὀρέων ἐπεβήσετο· τοῦ δ᾽ ὑπὸ ποσσὶν
ἄγκεα κίνυτο μακρὰ, βαθύῤῥωχμοί τε χαράδραι,
καὶ ποταμοὶ, καὶ πάντες ἀπειρέσιοι πόδες Ἴδης.
καί νύ κε Μυρμιδόνεσσι πολύστονον ὤπασεν ἦμαρ,
εἰ μή μιν Ζεὺς αὐτὸς ἀπ᾽ Οὐλύμποιο φόβησεν
σμερδαλέῃς στεροπῇσι, καὶ ἀργαλέοισι κεραυνοῖς,
οἵ οἱ πρόσθε ποδῶν θαμέες ποτόωντο δι᾽ αἴθρης,
δεινὸν ἀπαιθύμενοι· ὁ δ᾽ ἄρ᾽ εἰσορύων, ἐνόησε
πατρὸς ἐριγδούποιο μέγα βρομέουσαν ὁμοκλήν·
ἔστη δ᾽, ἐσσύμενός περ ἐπὶ πτολέμοιο κυδοιμόν.
Ὡς δ᾽ ὅτ᾽ ἀπ᾽ ἠλιβάτου σκοπιῆς περιμηκέα λᾶαν
λάβρος ὁμῶς ἀνέμοισιν ἀποῤῥήξῃ Διὸς ὄμβρος,
ὄμβρος ἄρ᾽, ἠὲ κεραυνὸς, ἐπικτυπέουσι δὲ βῆσσαι·
λάβρα κυλινδομένοιο, ὁ δ᾽ ἀκαμάτῳ ὑπὸ ῥοίβδῳ
ἔσσυτ᾽ ἀναθρώσκων μάλα ταρφέα, μέχρις ἵκηται
χῶρον ἐπ᾽ ἰσόπεδον, σταίη δ᾽ ἄφαρ οὐκ ἐθέλων περ·
ὣς Διὸς ὄβριμος υἱὸς Ἄρης ἀέκοντί γε θυμῷ
ἔστη, ἐπειγόμενός περ· ἐπεὶ μακάρων μεδέοντι
πάντες ὁμῶς εἴκουσιν Ὀλύμπιοι, οὕνεκ᾽ ἄρ᾽ αὐτῶν
πολλὸν ὑπέρτατός ἐστι, πέλει δέ οἱ ἄσπετος ἀλκή.
πολλὰ δὲ πορφύροντα, θοὸς νόος ὠτρύνεσκεν,
ἄλλοτε μὲν, Κρονίδαο μέγ᾽ ἀσχαλόωντος ἐνιπὴν
σμερδαλέην τρομέοντα, πρὸς οὐρανὸν ἀπονέεσθαι,
ἄλλοτε δ᾽ οὐκ ἀλέγειν σφετέρου πατρὸς, ἀλλ᾽ Ἀχιλῆϊ
μῖξαι ἐν αἵματι χεῖρας ἀτειρέας· ὀψὲ δέ οἱ κῆρ
μνήσαθ᾽, ὅσοι καὶ Ζηνὸς ἐνὶ πτολέμοισι δάμησαν
υἷεες, οἷς οὐδ᾽ αὐτὸς ἐπήρκεσεν ὀλλυμένοισιν.
τοὔνεκ᾽ ἀπ᾽ Ἀργείων ἑκὰς ἤϊεν· ἦ γὰρ ἔμελλεν
κεῖσθαι ὁμῶς Τιτῆσι, δαμεὶς στονόεντι κεραυνῷ·

εἰδὼς δ' ἀθανάτοιο πατρὸς νόον ἄλλα μενοίνα.
Καὶ τότ' Ἀρήϊοι υἷες ἐϋσθενέων Ἀργείων
σύλεον ἐσσυμένως βεβροτωμένα τεύχεα νεκρῶν,
πάντη ἐπεσσύμενοι· μέγα δ' ἄχνυτο Πηλέος υἱὸς
κούρης εἰσορόων ἐρατὸν σθένος ἐν κονίῃσιν·
τοὔνεκά οἱ κραδίην ὀλοαὶ κατέδαπτον ἀνίαι,
ὁππόσον ἀμφ' ἑτάροιο πάρος Πατρόκλοιο δαμέντος.
Θερσίτης δέ μιν ἄντα κακῷ μέγα νείκεσε μύθῳ·
Ὦ Ἀχιλεῦ, φρένας αἰνὲ, τίη νύ σευ ἤκαχε δαίμων
θυμὸν ἐνὶ στέρνοισιν Ἀμαζόνος οὕνεκα λυγρῆς,
ἣ νῶϊν κακὰ πολλὰ λιλαίετο μητίσασθαι;
καί τοι, ἐνὶ φρεσὶ σῇσι γυναιμανὲς ἦτορ ἔχοντι,
μέμβλετο ὡς ἀλόχοιο πολύφρονος, ἥν τ' ἐπὶ ἕδνοις
κουριδίην μνήστευσας, ἐελδόμενος γαμέεσθαι.
ὥς σ' ὄφελον κατὰ δῆριν ὑποφθαμένη βάλε δουρὶ,
οὕνεκα θηλυτέρῃσιν ἄδην ἐπιτέρπεαι ἦτορ·
οὐδέ νυ σοί τι μέμηλεν ἐνὶ φρεσὶν οὐλομένῃσιν
ἀμφ' ἀρετῆς κλυτὸν ἔργον, ἐπὴν ἐσίδησθα γυναῖκα.
σχέτλιε, ποῦ νύ τοι ἐστὶ πέρι σθένος, ἠὲ νόημα;
πῆ δὲ βίη βασιλῆος ἀμύμονος; οὐδέ τι οἶσθα,
ὅσσον ἄχος Τρώεσσι γυναιμανέουσι τέτυκται.
οὐ γὰρ τερπωλῆς ὀλοώτερον ἄλλο βροτοῖσιν
ἐς λέχος ἱεμένης, ἥ τ' ἄφρονα φῶτα τίθησι,
καὶ πινυτόν περ ἐόντα· πόνῳ δ' ἄρα κῦδος ὀπηδεῖ.
ἀνδρὶ γὰρ αἰχμητῇ νίκη κλέος, ἔργα τ' Ἄρηος
τερπνά· φυγοπτολέμῳ δὲ γυναικῶν εὔαδεν εὐνή.
Ἦ, μέγα νεικείων· ὁ δέ οἱ περιχώσατο θυμῷ
Πηλείδης ἐρίθυμος· ἄφαρ δέ ἑ χειρὶ κραταιῇ
τύψε κατὰ γναθμοῖο καὶ οὔατος· οἱ δ' ἅμα πάντ-

ἐξεχύθησαν ὀδόντες ἐπὶ χθόνα, κάππεσε δ' αὐτὸς
πρηνής· ἐκ δέ οἱ αἷμα διὰ στόματος πεφόρητο
ἀθρόον· αἶψα δ' ἄναλκις ἀπὸ μελέων φύγε θυμὸς
ἀνέρος οὐτιδανοῖο. χάρη δ' ἄρα λαὸς Ἀχαιῶν·
τοὺς γὰρ νείκεε πάμπαν ἐπεσβολίῃσι κακῇσιν,
αὐτὸς ἐὼν λωβητός· ὃ γὰρ Δαναῶν πέλεν αἰδώς.
καί ῥά τις ὧδ' εἴπεσκεν ἀρηϊθόων Ἀργείων·
Οὐκ ἀγαθὸν βασιλῆας ὑβριζέμεν ἀνδρὶ χέρηϊ
ἀμφαδὸν, οὔτε κρυφηδὸν, ὅπη χόλος αἰνὸς ὀπηδεῖ.
ἔστι θέμις, καὶ γλῶσσαν ἀναιδέα τίνυται ἄτη,
ἥτ' αἰεὶ μερόπεσσιν ἐπ' ἄλγεσιν ἄλγος ἀέξει.
Ὣς ἄρ' ἔφη Δαναῶν τις· ὃ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Πηλείδης ἐρίθυμος, ἔπος ποτὶ τοῖον ἔειπεν·
Κεῖσό νυν ἐν κονίῃσι, λελασμένος ἀφροσυνάων.
οὐ γὰρ ἀμείνονι φωτὶ χρεὼν κακὸν ἀντιφερίζειν·
ὅς καί που προπάροιθεν Ὀδυσσῆος ταλαὸν κῆρ
ἀργαλέως ὤρινας, ἐλέγχεα μυρία βάζων.
ἀλλ' οὐ Πηλείδης τοι ὁμοίϊος ἐξεφαάνθη,
ὅς σεῦ θυμὸν ἔλυσα, καὶ οὐκ ἐπὶ χειρὶ βαρείῃ
πληξάμενος· σὲ δὲ πότμος ἀμείλιχος ἀμφεκάλυψεν·
σῇ δ' ὀλιγοδρανίῃ θυμὸν λίπες· ἀλλ' ἀπ' Ἀχαιῶν
ἔῤῥε, καὶ ἐν φθιμένοισιν ἐπεσβολίας ἀγόρευε.
Ὣς ἔφατ' Αἰακίδαο θρασύφρονος ἄλκιμος υἱός·
Τυδείδης δ' ἄρα μοῦνος ἐν Ἀργείοις Ἀχιλῆϊ
χώετο, Θερσίταο δεδουπότος, οὕνεκ' ἄρ' αὐτοῦ
εὔχετ' ἀφ' αἵματος εἶναι, ἐπεὶ πέλεν ὃς μὲν ἀγαυοῦ
Τυδέος ὄβριμος υἱὸς, ὃ δ' Ἀγρίου ἰσοθέοιο,
Ἀγρίου, ὅς τ' Οἰνῆος ἀδελφεὸς ἔπλετο δίου·
Οἰνεὺς δ' υἷεα γείνατ', ἀρήϊον ἐν Δαναοῖσι,

Τυδέα· τοῦ δ' ἐτέτυκτο πάϊς σθεναρὸς Διομήδης.
τοὔνεκα Θερσίταο περὶ κταμένοιο χαλέφθη.
καί νύ κε Πηλείωνος ἐναντίον ἤρατο χεῖρας,
εἰ μή μιν κατέρυξαν Ἀχαιῶν φέρτατοι υἷες,
πολλὰ παρηγορέοντες ὁμιλαδόν· ὣς δὲ καὶ αὐτὸν
Πηλείδην ἑτέρωθεν ἐρήτυον· ἦ γὰρ ἔμελλον
ἤδη καὶ ξιφέεσσιν ἐριδμαίνειν οἱ ἄριστοι
Ἀργείων· τοὺς γάρ ῥα κακὸς χόλος ὠτρύνεσκεν.
ἀλλ' οἱ μὲν πεπίθοντο παραιφασίῃσιν ἑταίρων.
Οἱ δὲ μέγ' οἰκτείραντες ἀγαυὴν Πενθεσίλειαν
Ἀτρεῖδαι βασιλῆες, ἀγασσάμενοι δὲ καὶ αὐτοὶ,
Τρωσὶ δόσαν ποτὶ ἄστυ φέρειν ἐρικυδέος Ἴλου
σὺν σφοῖσιν τεύχεσσιν, ἐπεὶ Πριάμοιο νόησαν
ἀγγελίην προϊέντος· ὁ γὰρ φρεσὶν ἧσι μενοίνα
κούρην ὀβριμόθυμον, ὁμῶς τεύχεσσι καὶ ἵππῳ,
ἐς μέγα σῆμα βαλέσθαι ἀφνειοῦ Λαομέδοντος·
καί οἱ πυρκαϊὴν νηήσατο πρόσθε πόληος
ὑψηλὴν, εὐρεῖαν· ὕπερθε δὲ θήκατο κούρην
πολλοῖς σὺν κτεάτεσσιν, ὅσα κταμένῃ ἐπεῴκει
ἐν πυρὶ συγχεύασθαι ἐϋκτεάνῳ βασιλείῃ.
καὶ τὴν μὲν κατέδαψε μένος μέγα Ἡφαίστοιο,
φλὸξ ὀλοή· λαοὶ δὲ περισταδὸν ἄλλοθεν ἄλλοι
πυρκαϊὴν σβέσσαντο θοῶς εὐώδεϊ οἴνῳ·
ὀστέα δ' ἀλλέξαντες, ἄδην ἐπέχευαν ἄλειφαρ
ἡδὺ, καὶ ἐς κοίλην χηλὸν θέσαν· ἀμφὶ δ' ἄρ' αὐτοῖς,
πίονα δημὸν ὕπερθ' ἔβαλον βοὸς, ἥ τ' ἀγέλῃσιν
Ἰδαίοις ἐν ὄρεσσι μετέπρεπε φερβομένῃσι.
Τρῶες δ', ὥστε θύγατρα φίλην περικωκύσαντες,
ἀχνύμενοι τάρχυσαν ἐΰδμητον περὶ τεῖχος,

πύργῳ ἐπὶ προὔχοντι, παρ᾽ ὀστέα Λαομέδοντος,
ἦρα φέροντες Ἄρηϊ, καὶ αὐτῇ Πενθεσιλείῃ.
καί οἱ πὰρ κατέθαψαν Ἀμαζόνας, ὅσσαι ἅμ᾽ αὐτῇ
ἑσπόμεναι, περὶ δῆριν ὑπ᾽ Ἀργείοισι δάμησαν·
οὐ γὰρ σφὶν τύμβοιο πολυκλαύτοιο μέγηραν
Ἀτρεΐδαι, Τρώεσσι δ᾽ ἐϋπτολέμοισιν ὄπασσαν
ἐκ βελέων ἐρύσασθαι, δμῶς κταμένοισι καὶ ἄλλοις.
οὐ γὰρ ἐπὶ φθιμένοισι πέλει κότος, ἀλλ᾽ ἐλεεινοὶ
δήϊοι οὐκ ἔτ᾽ ἐόντες, ἐπὴν ἀπὸ θυμὸς ὄληται.
Ἀργεῖοι δ᾽ ἀπάνευθε δόσαν πυρὶ πολλὰ κάρηνα
ἡρώων, οἳ δή σφιν ὁμοῦ κτάθεν, ἠδ᾽ ἐδάμησαν,
Τρώων ἐν παλάμῃσιν, ἀνὰ στόμα δηϊοτῆτος,
πολλὰ μάλ᾽ ἀχνύμενοι κταμένων ὕπερ, ἔξοχα δ᾽ ἄλλων
ἀμφ᾽ ἀγαθοῦ μύροντο Ποδάρκεος· οὐ γὰρ ἔτ᾽ ἐσθλοῦ
δεύετ᾽ ἀδελφειοῖο μάχῃ ἐνὶ Πρωτεσιλάου·
ἀλλ᾽ ὁ μὲν ἤδη πρόσθεν ὑφ᾽ Ἕκτορι κεῖτο δαϊχθεὶς
ἠῢς Πρωτεσίλαος· ὁ δ᾽ ἔγχεϊ Πενθεσιλείης
βλήμενος, Ἀργείοισι λυγρὸν περικάββαλε πένθος.
τοὔνεκά οἱ πληθὺν μὲν ἀπόπροθι ταρχύσαντο
τεθνεότων· κείνῳ δὲ πέριξ ἐβάλοντο καμόντες
οἴῳ σῆμ᾽ ἀρίδηλον, ἐπεὶ θρασὺς ἔπλετο θυμῷ.
νόσφι δὲ Θερσίταο λυγρὸν δέμας οὐτιδανοῖο
θάψαντες, ποτὶ νῆας ἐϋπρώρους ἀφίκοντο,
Αἰακίδην Ἀχιλῆα μέγα φρεσὶ κυδαίνοντες.
ἦμος δ᾽ αἰγλήεσσα κατ᾽ ὠκεανοῖο βεβήκει
ἠὼς, ἀμφὶ δὲ γαῖαν ἐκίδνατο θεσπεσίη νὺξ,
δὴ τότ᾽ ἄρ᾽ ἐν κλισίῃς Ἀγαμέμνονος ἀφνειοῖο
δαίνυτο Πηλείδαο βίη· σὺν δ᾽ ἄλλοι ἄριστοι
τέρποντ᾽ ἐν θαλίῃς, μέχρις ἠὼ δῖαν ἱκέσθαι.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Β.

Αὐτὰρ ἐπεὶ κορυφὰς ὀρέων ὑπερηχηέντων
λαμπρὸν ὕπερ φάος ἦλθεν ἀτειρέος ἠελίοιο,
οἱ μὲν ἄρ᾽ ἐν κλισίῃσιν Ἀχαιῶν ὄβριμοι υἷες
γήθεον, ἀκαμάτῳ μέγ᾽ ἐπευχόμενοι Ἀχιλῆϊ·
Τρῶες δ᾽ αὖ μύροντο κατὰ πτόλιν· ἀμφὶ δὲ πύργους
ἑζόμενοι, σκοπίασκον, ἐπεὶ φόβος ἔλλαβε πάντας,
μὴ δήπου μέγα τεῖχος ὑπερθόρῃ ὄβριμος ἀνὴρ,
αὐτούς τε κτείνῃ, κατά τε πρήσῃ πυρὶ πάντα.
τοῖσι δ᾽ ἄρ᾽ ἀχνυμένοισι, γέρων μετέειπε Θυμοίτης·
Ὦ φίλοι, οὐκ ἔτ᾽ ἔγωγε περὶ φρεσὶν οἶδα νοῆσαι,
ὅππως ἔσσεται ἄλκαρ ἀνιηροῦ πολέμοιο,
Ἕκτορος ἀγχεμάχοιο δεδουπότος, ὅς μέγα Τρώων
κάρτος ἔην τοπάροιθε· καὶ οὐδ᾽ ὅ γε κῆρας ἄλυξεν,
ἀλλ᾽ ἐδάμη παλάμῃσιν Ἀχιλλέος, ᾧ περ ὀΐω
καὶ θεὸν ἀντιάσαντα μάχῃ ἔνι δῃωθῆναι.
οἵην τήνδ᾽ ἐδάμασσεν ἀνὰ κλόνον, ἥν περ οἱ ἄλλοι
Ἀργεῖοι φοβέοντο, δαΐφρονα Πενθεσίλειαν·
καὶ γὰρ ἔην ἔκπαγλος. ἔγωγέ μιν ὡς ἐνόησα,
ὠϊσάμην μακάρων τιν᾽ ἀπ᾽ οὐρανοῦ ἐνθάδ᾽ ἱκέσθαι,

ἡμῖν χάρμα φέρουσαν. ὃ δ' οὐκ ἄρ' ἐτήτυμον ἦεν.
ἀλλ' ἄγε φραζώμεσθα, τί λώϊον ἄμμι γένηται,
ἢ ἔτι που στυγεροῖσι μαχώμεθα δυσμενέεσσιν,
ἢ ἤδη φεύγωμεν ἀπ' ἄστεος ὀλλυμένοιο.
οὐ γὰρ ἔτ' Ἀργείοισι δυνησόμεθ' ἀντιφερίζειν,
μαρναμένου κατὰ δῆριν ἀμειλίκτου Ἀχιλῆος.
Ὣς ἄρ' ἔφη· τὸν δ' υἱὸς ἀμείβετο Λαομέδοντος·
Ὦ φίλος, ἠδ' ἄλλοι Τρῶες, σθεναροί τ' ἐπίκουροι,
μή νύ τι δειμαίνοντες, ἑῆς χαζώμεθα πάτρης,
μήδ' ἔτι δυσμενέεσσι μαχώμεθα τῆλε πόληος,
ἀλλά πω ἐκ πύργων, καὶ τείχεος, εἰσόκεν ἔλθῃ
Μέανων ὀβριμόθυμος, ἄγων ἀπερείσια φῦλα
λαῶν, οἳ ναίουσι μελάμβροτον Αἰθιόπειαν.
ἤδη γάρ ῥα καὶ αὐτὸν ὀΐομαι ἀγχόθι γαίης
ἔμμεναι ἡμετέρης. ἐπειή νύ οἱ οὔτι νέον γε
ἀγγελίην προέηκα, μέγ' ἀχνύμενος περὶ θυμῷ·
αὐτὰρ ὅγ' ἀσπασίως μοι ὑπέσχετο πάντα τελέσσαι,
ἐλθὼν ἐς Τροίην· καί μιν σχεδὸν ἔλπομαι εἶναι.
ἀλλ' ἄγε τλῆτ' ἔτι βαιὸν, ἐπεὶ πολὺ λώϊόν ἐστι
θαρσαλέως ἀπολέσθαι ἀνὰ κλόνον, ἠὲ φυγόντας
ζώειν ἀλλοδαποῖσι παρ' ἀνδράσιν, αἴσχε' ἔχοντας.
Ἦ ῥ' ὁ γέρων· ἀλλ' οὔτι σαόφρονι Πουλυδάμαντι
ἥνδανεν εἰσέτι δῆρις· ἐΰφρονα δ' ἔκφατο μῦθον·
Εἰ μὲν δὴ Μέμνων τοι ἀριφραδέως κατένευσεν
ἡμέων αἰνὸν ὄλεθρον ἀπωσέμεν, οὔτι μεγαίρω
μίμνειν ἀνέρα δῖον ἀνὰ πτόλιν, ἀλλ' ἄρα θυμῷ
δείδω, μὴ σὺν ἑοῖσι κιὼν ἑτάροισι δαμείη
κεῖνος ἀνὴρ, πολλοῖς δὲ καὶ ἄλλοις πῆμα γένηται
ἡμετέροις. δεινὸν γὰρ ἐπὶ σθένος ὄρνυτ' Ἀχαιῶν.

ἀλλ' ἄγε, μήτε πόληος ἑῆς ἀπὸ τῆλε φυγόντες
αἴσχεα πολλὰ φέρωμεν ἀναλκείῃ ὑπὸ λυγρῇ,
ἀλλοδαπὴν περόωντες ἐπὶ χθόνα, μήδ' ἐνὶ πάτρῃ
μίμνοντες, κτεινώμεθ' ὑπ' Ἀργείων ὀρυμαγδοῦ,
ἀλλ' ἤδη Δαναοῖσι, καὶ εἰ βραδὺ, λώϊον εἴη
εἰσέτι κυδαλίμην Ἑλένην, καὶ κτήματ' ἐκείνης,
ἢ μὲν ὅσα Σπάρτηθεν ἀνήγαγεν, ἠδὲ καὶ ἄλλα,
διττάκι τόσσα φέροντας ὑπὲρ πόλιός τε καὶ αὐτῶν,
ἐκδόμεν, ἕως οὐ κτῆσιν ἀνάρσια φῦλα δέδασται
ἡμετέρην, οὐδ' ἄστυ κατήνυκε πῦρ ἀΐδηλον.
νῦν δ' ἄγ' ἐμοὶ πείθεσθε ἐνὶ φρεσίν· οὐ γὰρ ὀΐω
ἄλλον ἀμείνονα μῆτιν ἐνὶ Τρώεσσι φράσασθαι·
αἴθ' ὄφελεν, καὶ πρόσθεν ἐμῆς ἐπάκουσεν ἐφετμῆς
Ἕκτωρ, ὁππότε μιν κατερήτυον ἔνδοθι πάτρης.
Ὣς φάτο Πουλυδάμαντος ἐΰ σθένος. ἀμφὶ δὲ Τρῶες
ἤνεον εἰσαΐοντες ἐνὶ φρεσίν. οὐδ' ἀναφανδὸν
μῦθον ἔφαν. πάντες γὰρ ἑὸν τρομέοντες ἄνακτα
ἄζοντ', ἠδ' Ἑλένην, κείνης ἕνεκ' ὀλλύμενοί περ.
τὸν δὲ, καὶ ἐσθλὸν ἐόντα, Πάρις μέγα νείκεσεν ἄντην·
Πουλυδάμα, σὺ μὲν ἐσσὶ φυγοπτόλεμος, καὶ ἄναλκις·
οὐδέ σοι ἐν στέρνοισι πέλει μενεδήϊον ἦτορ,
ἀλλὰ δέος, καὶ φύζα. σὺ δ' εὔχεαι εἶναι ἄριστος
ἐν βουλῇ· πάντων δὲ χερείονα μήδεα οἶδας.
ἀλλ' ἄγε δὴ σὺ μὲν αὐτὸς ἀπόσχεο δηϊοτῆτος·
μίμνε δ' ἐνὶ μεγάροισι καθήμενος. αὐτὰρ οἱ ἄλλοι,
ἀμφ' ἐμὲ θωρήξονται ἀνὰ πτόλιν, εἰσόκε μῆχος
εὕρωμεν θυμῆρες ἀνηλεγέος πολέμοιο.
οὐ γὰρ νόσφι πόνοιο καὶ ἀργαλέου πολέμοιο
ἀνθρώποις μέγα κῦδος ἀέξεται, ἠδὲ καὶ ἔργον.

φύζα δὲ νηπιάχοισι μάλ' εὔαδεν, ἠδὲ γυναιξί.
κείνης θυμὸν ἔοικας. ἐγὼ δέ τοι οὔτι πέποιθα
μαρναμένῳ· πάντων γὰρ ἀμαλδύνεις θρασὺ κάρτος.
Ἦ μέγα νεικείων. ὁ δὲ χωόμενος, φάτο μῦθον
Πουλυδάμας. οὐ γάρ οἱ ἐναντίον ἄζετ' ἀῦσαι.
κεῖνος ἐπεὶ στυγερὸς, καὶ ἀτάσθαλος, ἠδ' ἀεσίφρων,
ὅς φίλα μὲν σαίνῃσιν ἐνωπαδὸν, ἄλλα δὲ θυμῷ
πορφύρει, καὶ κρύβδα τὸν οὐ παρέοντα χαλέπτει,
τῷ ῥα καὶ ἀμφαδίην μέγα νείκεσε δῖον ἄνακτα·
Ὦ μοι ἐπιχθονίων πάντων ὀλοώτατε φωτῶν,
σὸν θράσος ἤγαγε νῶϊν ὀϊζύα. σὸς νόος ἔτλη
δῆριν ἀπειρεσίην, καὶ τλήσεται, εἰσόκε πάτρην
σὺν λαοῖς σφετέροισι δαϊζομένην ἐσίδηαι.
ἀλλ' ἐμὲ μὴ τοιόνδε λάβοι θράσος, ἀμφὶ δὲ τάρβος
ἀσφαλὲς αἰὲν ἔχοιμι· σόον δέ μοι οἶκον ὀφέλλοι.
Ὣς ὅ γ' ἔφη. ὁ δ' ἄῤ οὔτι προσέννεπε Πουλυδάμαντα,
μνήσατο γὰρ, Τρώεσσιν ὅσας ἐφέηκεν ἀνίας,
ἠδ' ὁπόσας ἔτ' ἔμελλεν· ἐπεί ῥά οἱ αἰθόμενον κῆρ
μᾶλλον ἐφώρμαινεν θανέειν, ἢ νόσφι γενέσθαι
ἀντιθέης Ἑλένης, ἧς εἵνεκα Τρώϊοι υἷες
ὑψόθεν ἐσκοπίαζον ἀπ' ἄστεος αἰπεινοῖο,
δέγμενοι Ἀργείους, ἠδ' Αἰακίδην Ἀχιλῆα.
Τοῖσι δ' ἄῤ οὐ μετὰ δηρὸν ἀρήϊος ἤλυθε Μέμνων,
Μέμνων, κυανέοισι μετ' Αἰθιόπεσσιν ἀνάσσων,
ὅς κίε λαὸν ἄγων ἀπερείσιον. ἀμφὶ δὲ Τρῶες
γηθόσυνοί μιν ἴδοντο κατὰ πτόλιν, ἠΰτε ναῦται
χείματος ἐξ ὀλοοῖο, δι' αἰθέρος ἀθρήσωσιν
ἤδη τειρόμενοι, Ἑλίκης περιηγέος αἴγλην.

ὣς λαοὶ κεχάροντο περισταδόν· ἔξοχα δ᾽ ἄλλων,
Λαομεδοντιάδης. μάλα γάρ νύ οἱ ἦτορ ἐώλπει,
δηώσειν πυρὶ νῆας ὑπ᾽ ἀνδράσιν Αἰθιόπεσσιν·
οὕνεκ᾽ ἔχον βασιλῆα πελώριον, ἠδὲ καὶ αὐτοὶ
πολλοὶ ἔσαν, καὶ πάντες ἐς Ἄρεα μαιμώωντες.
τῷ ῥ᾽ ἄμοτον κύδαινεν ἐῢν γόνον Ἠριγενείης
δωτίνῃς ἀγαθῇσι, καὶ εὐφροσύνῃ τεθαλυίῃ·
ἀλλήλοις δ᾽ ὀάριζον ἐπ᾽ εἰλαπίνῃ καὶ ἐδωδῇ,
ὃς μὲν, ἀριστῆας Δαναῶν, καὶ ὅσ᾽ ἄλγε᾽ ἀνέτλη,
ἐξενέπων· ὁ δὲ πατρὸς ἑοῦ, καὶ μητέρος Ἠοῦς
ἀθάνατον βίον αἰὲν, ἀπειρεσίης τε ῥέεθρα
Τηθύος, ὠκεανοῦ τε βαθυῤῥόου ἱερὸν οἶδμα,
ἠδὲ καὶ ἀκαμάτου πέρατα χθονὸς, ἀντολίας τε
ἠελίου, καὶ πᾶσαν ἀπ᾽ ὠκεανοῖο κέλευθον,
μέχρις ἐπὶ Πριάμοιο πόλιν, καὶ πρώονας Ἴδης.
ἠδὲ καὶ ὡς ἐδάϊξεν ὑπὸ στιβαρῇσι χέρεσσιν
ἀργαλέων Σολύμων ἱερὸν στρατὸν, οἵ μιν ἰόντα
εἶργον· ὃ καὶ σφίσι πῆμα, καὶ ἄσχετον ὤπασε πότμον.
καί τὰ μὲν, ὣς ἀγόρευε, καὶ, ὡς ἴδεν ἔθνεα φωτῶν
μυρία. τοῦ δ᾽ αἴοντος ὑπὸ φρεσὶ τέρπετο θυμὸς,
καί ἑ καθαπτόμενος, γεραρῷ προσεφώνεε μύθῳ·
Ὦ Μέμνων, τὸ μὲν ἄρ με θεοὶ ποίησαν ἰδέσθαι
σὸν στρατὸν, ἠδὲ καὶ αὐτὸν ἐν ἡμετέροισι μελάθροις
ὥς μοι ἔτι κρήνειαν, ἵν᾽ Ἀργείους ἐσίδωμαι
ὀλλυμένους ἅμα πάντας ὑπ᾽ ἐγχείῃσι τεῇσιν·
καὶ γὰρ δὴ μακάρεσσιν ἀτειρέσι πάντα ἔοικας
ἐκπάγλως, ὡς οὔτις ἐπιχθονίων ἡρώων.
τῷ σ᾽ ὀΐω κείνοισι φόνον στονόεντα βαλέσθαι·
νῦν δ᾽ ἄγε τέρπεο θυμὸν ἐν εἰλαπίνῃσιν ἐμῇσιν

σήμερον. αὐτὰρ ἔπειτα μαχήσεαι, ὥς ἐπέοικεν.
Ὣς εἰπὼν, παλάμῃσι δέπας πολυχανδὲς ἀείρας,
Μέμνονα προφρονέως στιβαρῷ δείδεκτο κυπέλλῳ
χρυσείῳ, τό ῥα δῶκε περίφρων ἀμφιγυήεις
Ἥφαιστος, κλυτὸν ἔργον, ὅτ' ἤγετο Κυπρογένειαν,
Ζηνὶ μεγασθενέϊ. ὁ δ' ἄρ' ὤπασεν υἷεϊ δῶρον
Δαρδάνῳ ἀντιθέῳ. ὁ δ' Ἐριχθονίῳ πόρε παιδί·
Τρωῒ δ' Ἐριχθόνιος μεγαλήτορι. αὐτὰρ ὁ Ἴλῳ
κάλλιπε σὺν κτεάτεσσιν. ὁ δ' ὤπασε Λαομέδοντι·
αὐτὰρ ὁ Λαομέδων Πριάμῳ πόρεν, ὅς μιν ἔμελλεν
υἱέϊ δωσέμεναι· τὸ δέ οἱ θεὸς οὐκ ἐτέλεσσεν.
κεῖνο δέπας περικαλλὲς ἐθάμβεεν ἐν φρεσὶ Μέμνων,
ἀμφαφόων, καὶ τοῖον ὑποβλήδην φάτο μῦθον·
Οὐ μὲν χρὴ παρὰ δαιτὶ πελώριον εὐχετάασθαι,
οὐδ' ἄρ' ὑποσχεσίην κατανευσέμεν, ἀλλὰ ἕκηλον
δαίνυσθ' ἐν μεγάροισι, καὶ ἄρτια μηχανάασθαι.
εἴτε γὰρ ἐσθλός τ' εἰμὶ, καὶ ἄλκιμος, εἴτε καὶ οὐκὶ,
γνώσῃ ἐνὶ πτολέμῳ, ὁπότ' ἀνέρος εἴδεται ἀλκή·
νῦν δ' ἄγε δὴ κοίτοιο μεδώμεθα· μήδ' ἀνὰ νύκτα
πίνωμεν. χαλεπὸς γὰρ ἐπειγομένῳ μαχέεσθαι
οἶνος ἀπειρέσιος, καὶ ἀϋπνοσύνη ἀλεγεινή.
Ὣς φάτο. τὸν δ' ὁ γεραιὸς ἀγασσάμενος προσέειπεν·
Αὐτὸς ὅπως ἐθέλεις μεταδαίνυσο· πείθεο δ' αὐτῷ.
οὐ γὰρ ἐγώ σ' ἀέκοντα βιήσομαι. οὐ γὰρ ἔοικεν
οὔτ' ἀπιόντ' ἀπὸ δαιτὸς ἐρυκέμεν, οὔτε μένοντα
σεύειν ἐκ μεγάροιο. θέμις νύ τοι ἀνδράσιν αὕτως.
Ὣς φάθ'. ὁ δ' ἐκ δόρποιο μεθίστατο· βῆ δὲ πρὸς εὐνὴν
ὑστατίην. ἅμα δ' ἄλλοι ἔβαν κοίτοιο μέδεσθαι
δαιτυμόνες· τάχα δέ σφιν ἐπήλυθε νήδυμος ὕπνος.

Αὐτὰρ ἐνὶ μεγάροισι Διὸς στεροπηγερέταο
ἀθάνατοι δαίνυντο· πατὴρ δ᾽ ἐν τοῖσι Κρονίων,
εὖ εἰδὼς, ἀγόρευε δυσηχέος ἔργα μόθοιο·
Ἴστε θεοὶ πέρι πάντες ἐπεσσύμενον βαρὺ πῆμα
αὔριον ἐν πολέμῳ· μάλα γὰρ πολέων μένος ἵππων
ὄψεσθ᾽ ἀμφ᾽ ὀχέεσφι δαϊζομένων ἑκάτερθεν,
ἄνδρας τ᾽ ὀλλυμένους. τῶν καὶ περὶ κηδόμενός τις
μιμνέτω ὑμείων, μηδ᾽, ἀμφ᾽ ἐμὰ γοῦναθ᾽ ἱκάνων,
λισσέσθω· Κῆρες γὰρ ἀμείλιχοι εἰσὶ καὶ ἡμῖν.
Ὣς ἔφατ᾽ ἐν μέσσοισιν, ἐπισταμένοισι καὶ αὐτοῖς,
ὄφρα κεν ἀσχαλόων τις ἀπὸ πτολέμοιο τράπηται,
μηδέ ἑ λισσόμενος περὶ υἷεος ἠὲ φίλοιο,
μαψιδίως ἀφίκηται ἀτειρέος ἔνδον Ὀλύμπου.
καὶ τὰ μὲν ὡς ἐσάκουσαν ἐριγδούπου Κρονίδαο,
τλῆσαν ἐνὶ στέρνοισι, καὶ οὐ βασιλῆος ἔναντα
μῦθον ἔφαν· μάλα γάρ μιν ἀπειρέσιον τρομέεσκον·
ἀχνύμενοι δ᾽ ἵκανον ὅπῃ δόμος ἦεν ἑκάστου,
ἐς λέχος· ἀμφὶ δὲ τοῖσι, καὶ ἀθανάτοις περ ἐοῦσιν,
ὕπνου βληχρὸν ὄνειαρ ἐπὶ βλεφάροισι τανύσθη.
Ἦμος δ᾽ ἠλιβάτων ὀρέων ὑπερέσσυται ἄκρης
λαμπρὸς ἀν᾽ οὐρανὸν εὐρὺν ἑωσφόρος, ὅς τ᾽ ἐπὶ ἔργον,
ἡδὺ μάλα κνώσσοντας, ἀμαλλοδετῆρας ἐγείρει·
τῆμος ἀρήϊον υἷα φαεσφόρου Ἠριγενείης
ὕστερος ὕπνος ἀνῆκεν· ὁ δ᾽ ἐν φρεσὶ κάρτος ἀέξων,
ἤδη δυσμενέεσσι λιλαίετο δηριάασθαι.
Ἠὼς δ᾽ οὐρανὸν εὐρὺν ἀνήϊεν οὐκ ἐθέλουσα.
καὶ τότε Τρῶες ἕσαντο περὶ χροῒ δήϊα τεύχη,
τοῖσι δ᾽ ἅμ᾽ Αἰθίοπές τε, καὶ ὁππόσα φῦλα πέλοντο
ἀμφὶ βίην Πριάμοιο συναγρομένων ἐπικούρων

πανσυδίῃ· μάλα δ' ὦκα πρὸ τείχεος ἐσσεύοντο,
κυανέοις νεφέεσσιν ἐοικότες, οἷα Κρονίων,
χείματος ὀρνυμένοιο, κατ' ἠέρα πουλὺν ἀγείρει.
αἶψα δ' ἄρ' ἐπλήσθη πεδίον ἅπαν· οἱ δ' ἐκέχυντο
ἀκρίσι πυροβόροις ἐναλίγκιοι, αἵ τε φέρονται
ὡς νέφος, ἢ πολὺς ὄμβρος, ὑπὲρ χθονὸς εὐρυπέδοιο,
ἄπλητοι, μερόπεσσιν ἀεικέα λιμὸν ἄγουσαι·
ὣς οἱ ἔσαν πολλοί τε, καὶ ὄβριμοι, ἀμφὶ δ' ἀγυιὰ
στείνετ' ἐπεσσυμένων, ὑπὸ δ' ἔγρετο ποσσὶ κονίη.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον, εὖτ' ἐσίδοντο
ἐσσυμένους. εἶθαρ δὲ περὶ χροῒ χαλκὸν ἕσαντο,
κάρτεϊ Πηλείδαο πεποιθότες. ὃς δ' ἐνὶ μέσσοις
ἤϊε, Τιτήνεσσι πολυσθενέεσσιν ἐοικὼς,
κυδιόων ἵπποις καὶ ὄχεσφιν· τοῦ δ' ἄρα τεύχη
πάντῃ μαρμαιρέσκον ἀλίγκιον ἀστεροπῇσιν.
οἷος δ' ἐκ περάτων γαιηόχου ὠκεανοῖο
ἔρχεται ἠέλιος φαεσίμβροτος οὐρανὸν εἴσω,
παμφαίνων, τραφερὴ δὲ γελᾷ πέρι γαῖα, καὶ αἰθήρ·
τοῖος ἐν Ἀργείοισι τότ' ἔσσυτο Πηλέος υἱός.
ὣς δὲ καὶ ἐν Τρώεσσιν ἀρήϊος ἤϊε Μέμνων,
Ἄρεϊ μαιμώωντι πανείκελος, ἀμφὶ δὲ λαοὶ
προφρονέως ἐφέποντο, παρεσσύμενοι βασιλῆϊ.
Αἶψα δ' ἄρ' ἀμφοτέρων δολιχαὶ πονέοντο φάλαγγες
Τρώων, καὶ Δαναῶν· μετὰ δ' ἔπρεπον Αἰθιοπῆες·
σὺν δ' ἔπεσον καναχηδὸν ὁμῶς, ἅτε κύματα πόντου,
πάντοθεν ἀγρομένων ἀνέμων, ὑπὸ χείματος ὥρῃ·
ἀλλήλους δ' ἐδάϊζον, ἐϋξέστῃς μελίῃσιν
βάλλοντες, μετὰ δέ σφι γόος καναχή τε δεδήει.

ὡς δ' ὅτ' ἐρίγδουποι ποταμοὶ μεγάλα στενάχωσιν,
εἰς ἅλα χευόμενοι, ὅτε λαβρότατος πέλει ὄμβρος
ἐκ Διὸς, εὖτ' ἀλίαστον ἐπὶ νέφεα κτυπέωσι
θηγόμεν' ἀλλήλοισι, πάρος δ' ἐξέσσυτ' ἀυτμή·
ὡς τῶν μαρναμένων, μέγ' ὑπαὶ ποσὶ γαῖα πελώρη
ἔβραχε, θεσπεσίου δὲ δι' ἠέρος ἔσσυτ' ἀϋτὴ
σμερδαλέη· δεινὸν γὰρ ἄϋτεον ἀμφοτέρωθεν.
ἔνθ' ἕλε Πηλείδης Θάλιον, καὶ ἀμύμονα Μέντην,
ἄμφω ἀριγνώτω· βάλε δ' ἄλλων πολλὰ κάρηνα.
εὖτ' ἄνεμος μελάθροισιν ὑποχθόνιος ἐπορούσῃ
λάβρος, ἄφαρ δέ τε πάντα κατὰ χθονὸς ἀμφιχέηται
ἐκ θεμέθλων· μάλα γάρ ῥα περιτρομέει βαρὺ γαῖα·
ὣς οἵ γ' ἐν κονίῃσι κατήριπον ὠκέϊ πότμῳ,
αἰχμῇ Πηλείωνος· ὁ γὰρ μέγα μαίνετο θυμῷ.
Ὣς δ' αὔτως ἑτέρωθεν ἐῢς πάϊς Ἠριγενείης
Ἀργείους ἐδάϊζε, κακῇ ἐναλίγκιος αἴσῃ,
ἥ τε φέρει λαοῖσι κακὸν, καὶ ἀεικέα λοιγόν.
πρῶτον δ' εἷλε Φέρωνα διὰ στέρνοιο τυχήσας
δούρατι λευγαλέῳ, ἐπὶ δ' ἔκτανε δῖον Ἔρευθον,
ἄμφω ἐελδομένω πόλεμον καὶ ἀεικέα χάρμην,
οἳ Θρύον ἀμφενέμοντο παρ' Ἀλφειοῖο ῥεέθροις,
καί ῥ' ὑπὸ Νέστορι βῆσαν ἐς Ἰλίου ἱερὸν ἄστυ.
τοὺσδ' ὁπότ' ἐξενάριξεν, ἐπῴχετο Νηλέος υἱὸν,
κτεῖναί μιν μεμαώς. τοῦ δ' Ἀντίλοχος θεοειδὴς
πρόσθ' ἐλθὼν, ἴθυνε μακρὸν δόρυ, καί οἱ ἅμαρτε,
τυτθὸν ἀλευαμένοιο. φίλον δέ οἱ εἷλεν ἑταῖρον,
Αἴθοπα Πυῤῥασίδην. ὁ δὲ χωσάμενος κταμένοιο,
Ἀντιλόχῳ ἐπιᾶλτο, λέων ὣς ὀβριμόθυμος
καπρίῳ, ὅς ῥα καὶ αὐτὸς ἐναντίον οἶδε μάχεσθαι

ἀνδράσι, καὶ θήρεσσι, πέλει δέ οἱ ἄσπετος ὁρμή·
ὣς ὁ θοῶς ἐπόρουσεν. ὁ δ᾽ εὐρεῖ μιν βάλε πέτρῳ
Ἀντίλοχος· τοῦ δ᾽ οὔτι λύθη κέαρ, οὕνεκ᾽ ἄρ᾽ αὐτοῦ
ἀλγινόεντ᾽ ἀπάλαλκε φόνον κρατερὴ τρυφάλεια·
σμερδαλέον δέ οἱ ἦτορ ἐνὶ στήθεσσιν ὀρίνθη,
βλημένου. ἀμφὶ δέ οἱ κόρυς ἴαχε· καί ῥ᾽ ἔτι μᾶλλον
μαίνετ᾽ ἐπ᾽ Ἀντιλόχῳ· κρατερὴ δέ οἱ ἔζεεν ἀλκή·
τοὔνεκα Νέστορος υἷα, καὶ αἰχμητήν περ ἐόντα,
τύψεν ὑπὲρ μαζοῖο· διήλασε δ᾽ ὄβριμον ἔγχος
ἐς κραδίην, θνητοῖσιν ὅπῃ πέλει ὠκὺς ὄλεθρος.
Τοῦ δ᾽ ὑποδμηθέντος, ἄχος Δαναοῖσιν ἐτύχθη
πᾶσι, μάλιστα δὲ πατρὶ περὶ φρένας ἤλυθε πένθος
Νέστορι, παιδὸς ἑοῖο παρ᾽ ὀφθαλμοῖσι δαμέντος.
οὐ γὰρ δὴ μερόπεσσι κακώτερον ἄλγος ἔπεισιν,
ἢ ὅτε παῖδες ὄλωνται ἑοῦ πατρὸς εἰσορόωντος.
τοὔνεκα, καὶ στερεῇσιν ἀρηράμενος φρεσὶ θυμὸν,
ἄχνυτο, παιδὸς ἑοῖο κακῇ περὶ κηρὶ δαμέντος.
κέκλετο δ᾽ ἐσσυμένως Θρασυμήδεα, νόσφιν ἐόντα·
Ὄρσο μοι, ὦ Θρασύμηδες ἀγακλεὲς, ὄφρα φονῆα
σεῖο κασιγνήτοιο, καὶ υἱέος ἡμετέροιο,
νεκροῦ ἑκὰς σεύωμεν ἀεικέος, ἠὲ καὶ αὐτοὶ
ἀμφ᾽ αὐτῷ στονόεσσαν ἀναπλήσωμεν ὀϊζύν.
εἰ δέ σοι ἐν στέρνοισι πέλει δέος, οὐ σύ γ᾽ ἐμεῖο
υἱὸς ἔφυς, οὐδ᾽ ἐσσὶ Περικλυμένοιο γενέθλης,
ὅς τε καὶ Ἡρακλῆϊ καταντίον ἐλθέμεν ἔτλη.
ἀλλ᾽ ἄγε δὴ πονεώμεθ᾽, ἐπεὶ μέγα κάρτος ἀνάγκη
πολλάκι μαρναμένοισι καὶ οὐτιδανοῖσιν ὀπάζει.
Ὣς φάτο. τοῦ δ᾽ ἀΐοντος ὑπὸ φρεσὶ σύγχυτο
θυμὸς

πένθεσι λευγαλέοισιν· ἄφαρ δέ οἱ ἤλυθεν ἄγχι
Φηρεὺς, ὅν ῥα καὶ αὐτὸν, ἀποκταμένοιο ἄνακτος,
εἷλεν ἄχος· κρατεροῖο δ' ἐναντία δηριάασθαι
Μέμνονος ὡρμήθησαν ἀν' αἱματόεντα κυδοιμόν.
ὡς δ' ὅταν ἀγρευτῆρες ἀνὰ πτύχας ὑλήεσσας
οὔρεος εὐρυβάτοιο λιλαιόμενοι μέγα θήρης,
ἢ συὸς, ἢ ἄρκτοιο καταντίον ἀΐσσουσι,
κτεινέμεναι μεμαῶτες· ὁ δ' ἀμφοτέρωσ' ἐπορούσας
θυμῷ μαιμώωντι, βίην ἀπαμύνεται ἀνδρῶν·
ὣς τότε καὶ Μέμνων φρόνεεν μέγα. τοὶ δέ οἱ ἄγχι
ἤλυθον. ἀλλά μιν οὔτι κατακτανέειν ἐδύναντο
μακρῇσι μελίῃσιν. ἀπέπλαγχθεν γάρ οἱ αἰχμαὶ
τῆλε χρόος· μάλα γάρ που ἀπέτραπεν Ἠριγένεια.
δούρατα δ' οὐχ ἁλίως χαμάδιςπέσεν· ἀλλ' ὁ μὲν ὦκα
ἐμμεμαὼς, κατέπεφνε Πολύμνιον, υἷα Μέγητος,
Φηρεὺς ὀβριμόθυμος· ὁ δ' ἔκτανε Λαομέδοντα
Νέστορος ὄβριμος υἱὸς, ἀδελφειοῖο χολωθεὶς,
ὃν Μέμνων ἐδάϊξε κατὰ μόθον, ἀμφὶ δ' ἄρ' αὐτῷ
χερσὶν ὑπ' ἀκαμάτῃσι λῦεν παγχάλκεα τεύχη,
οὔτε βίην ἀλέγων Θρασυμήδεος, οὔτε μὲν ἐσθλοῦ
Φηρέος, οὕνεκα πολλὸν ὑπείροχος. οἱ δ' ἅτε θῶε,
ἀμφ' ἔλαφον βεβαῶτε, μέγαν φοβέοντο λέοντα,
οὔτι πρόσω μεμαῶτ' ἔτι ἐλθέμεν. αἰνὰ δὲ Νέστωρ,
ἐγγύθεν εἰσορόων, ὀλοφύρετο· κέκλετο δ' ἄλλους
σφοὺς ἑτάρους δηΐοισιν ἐπελθέμεν· ἂν δὲ καὶ αὐτὸς
ὥρμαινεν πονέεσθαι ἀφ' ἅρματος, οὕνεκ' ἄρ' αὐτὸν
παιδὸς ἀποφθιμένοιο ποθὴ ποτὶ μῶλον ἄγεσκε,
πὰρ δύναμιν. μέλλεν δὲ φίλῳ περὶ παιδὶ καὶ αὐτὸς
κεῖσθαι δμῶς κταμένος, ἐναλίγκιον, εἰ μὴ ἄρ' αὐτὸν

Μέμνων ὀβριμόθυμος ἐπεσσύμενον προσέειπεν,
αἰδεσθεὶς ἀνὰ θυμὸν ὁμήλικα πατρὸς ἑοῖο·
Ὦ γέρον, οὔ μοι ἔοικε καταντία σεῖο μάχεσθαι,
πρεσβυτέροιο γεγῶτος, ἐπεί γε μὲν οἶδα νοῆσαι.
ἦ γὰρ ἔγωγ' ἐφάμην σε νέον καὶ ἀρήϊον ἄνδρα
ἀντιάαν δηΐοισι· θρασὺς δέ μοι ἔλπετο θυμὸς,
χειρὸς ἐμῆς καὶ δουρὸς ἐπάξιον ἔμμεναι ἔργον·
ἀλλ' ἀναχάζεο τῆλε μόγου, στυγεροῦ τε φόνοιο·
χάζεο, μή σε βάλοιμι, καὶ οὐκ ἐθέλων περ ἀνάγκῃ,
μηδὲ τεῷ περὶ παιδὶ πέσῃς, μεγ' ἀμείνονι φωτὶ
μαρνάμενος, μὴ δή σε καὶ ἄφρονα μυθήσωνται
ἀνέρες. οὐ γὰρ ἔοικεν ὑπερτέρῳ ἀντιάασθαι.
Ὣς φάτο· τὸν δ' ἑτέρωθι γέρων ἠμείβετο μύθῳ·
Ὦ Μέμνων, τὰ μὲν ἄρ που ἐτώσια πάντ' ἀγορεύεις.
οὐ μὲν γὰρ δηΐοισι πονεύμενον εἵνεκα παιδὸς
ἀφραίνειν ἐρέει τις, ἀνηλέα παιδοφονῆα
νεκροῦ ἑκὰς σεύοντα κατὰ μόθον. ὡς ὄφελόν μοι
ἀλκὴ ἔτ' ἔμπεδος ἦεν, ἵνα γνώῃς ἐμὸν ἔγχος.
νῦν δὲ σὺ μὲν μάλα πάγχυ μέγ' εὔχεαι, οὕνεκα θυμὸς
θαρσαλέος νέου ἀνδρὸς, ἐλαφρότερόν τε νόημα.
τῷ ῥα καὶ, ὑψηλὰ φρονέων, ἀποφώλια βάζεις.
εἰ δέ μοι ἡβώοντι κατ' ἀντίον εἰληλούθεις,
οὐκ ἄν τοι κεχάροντο φίλοι κρατερῷ περ ἐόντι·
νῦν δ' ὥς τίς τε λέων ὑπὸ γήραος ἄχθομαι αἰνοῦ,
ὅν τε κύων σταθμοῖο πολυῤῥήνοιο δίηται
θαρσαλέως· ὁ δ' ἄρ' οὔτι, λιλαιόμενός περ, ἀμύνει
οἷ αὐτῷ· οὐ γάρ οἱ ἔτ' ἔμπεδοί εἰσιν ὀδόντες,
οὐδὲ βίη, κρατερὸν δὲ χρόνῳ ἀμαθύνεται ἦτορ.
ὣς ἐμοὶ οὐκ ἔτι κάρτος ἐνὶ στήθεσσιν ὄρωρεν,

οἷόν περ τοπάροιθεν· ὅμως δ' ἔτι φέρτερός εἰμι
πολλῶν ἀνθρώπων, παύροισι δὲ γῆρας ὑπείκει.
Ὣς εἰπὼν, ἀπὸ βαιὸν ἐχάσσατο. λεῖπε δ' ἄρ' υἷα
κείμενον ἐν κονίῃσιν, ἐπεί νύ τοι οὐκ ἔτι πάμπαν
γναμπτοῖς ἐν μελέεσσι πέλε σθένος, ὡς τοπάροιθεν·
γήραϊ γὰρ καθύπερθε πολυτλήτῳ βεβάρητο.
ὣς δ' αὔτως ἀπόρουσεν ἐϋμμελίης Θρασυμήδης,
Φηρεύς τ' ὀβριμόθυμος, ἰδ' ἄλλοι πάντες ἑταῖροι,
δειδιότες. μάλα γάρ σφιν ἐπῴχετο λοίγιος ἀνήρ.
Ὡς δ' ὅτ' ἀπὸ μεγάλων ὀρέων ποταμὸς βαθυδίνης
καχλάζων φορέηται ἀπειρεσίῳ ὀρυμαγδῷ,
ὁππότε συννεφὲς ἦμαρ ἐπ' ἀνθρώποισι τανύσσῃ
Ζεὺς κλονέων μέγα χεῖμα, περικτυπέουσι τε πάντῃ
βρονταὶ ὁμῶς στεροπῇσιν, ἅδην νεφέων συνιόντων
θεσπεσίων, κοῖλαι δὲ περικλύζονται ἄρουραι,
ὄμβρου ἐπεσσυμένοιο δυσηχέος, ἀμφὶ δὲ μακραὶ
σμερδαλέον βοόωσι κατ' οὔρεα πάντα χαράδραι·
ὣς Μέμνων σεύεσκεν ἐπ' ᾐόνας Ἑλλησπόντου
Ἀργείους· μετόπισθε δ' ἐπισπόμενος, κεράϊζε.
πολλοὶ δ' ἐν κονίῃσι καὶ αἵματι θυμὸν ἔλειπον,
Αἰθιόπων ὑπὸ χερσί· λύθρῳ δ' ἐφορύνετο γαῖα
ὀλλυμένων Δαναῶν. μέγα δ' ἐν φρεσὶ γήθεε Μέμνων
αἰὲν ἐπεσσύμενος δηΐων στίχας. ἀμφὶ δὲ νεκρῶν
στείνετο Τρώϊον οὖδας· ὁ δ' οὐκ ἀπέληγε κυδοιμοῦ·
ἔλπετο γὰρ Τρώεσσι φάος, Δαναοῖσι δὲ πῆμα
ἔσσεσθ'. ἀλλά ἑ μοῖρα πολύστονος ἠπεροπευεν
ἐγγύθεν ἱσταμένη, καὶ ἐπὶ κλόνον ὀτρύνουσα.
ἀμφὶ δέ οἱ θεράποντες ἐϋσθενέες πονέοντο,
Ἀλκυονεὺς, Νύχιός τε, καὶ Ἀσιάδης ἐρίθυμος,

αἰχμητής τε Μένεκλος, Ἀλέξιππός τε, Κλάδων τε,
ἄλλοι τ' ἰωχμοῖο μεμαότες, οἵ ῥα καὶ αὐτοὶ
καρτύναντ' ἀνὰ δῆριν, ἑῷ πίσυνοι βασιλῆϊ.
καὶ τότε δή ῥα Μένεκλον ἐπεσσύμενον Δαναοῖσι
Νηλείδης κατέπεφνεν. ὁ δ', ἀσχαλόων ἑτάροιο,
Μέμνων ὀβριμόθυμος ἐνήρατο πουλὺν ὅμιλον.
ὡς δ' ὅτε τις κραιπνῇσιν ἐπιβρίσῃ ἐλάφοισι
θηρητὴρ ἐν ὄρεσσι, λίνων ἔντοσθεν ἐρεμνῶν,
ἰλαδὸν ἀγρομένῃσιν ἐς ὑστάτιον δόλον ἄγρης
αἰζηῶν ἰότητι, κύνες δ' ἐπικαγχαλόωσιν,
πυκνὸν ὑλακτιόωντες· ὁ δ' ἐμμεμαὼς ὑπ' ἄκοντι
κεμμάσιν ὠκυτάτῃσι φόνον στονόεντα τίθησιν·
ὣς Μέμνων ἐδάϊζε πολὺν στρατόν. ἀμφὶ δ' ἑταῖροι
γήθεον· Ἀργεῖοι δὲ περικλυτὸν ἄνδρ' ἐφέβοντο.
ὡς δ' ὁπότ' ἐξεριπόντος ἀπ' οὔρεος ἠλιβάτοιο
πέτρου ἀπειρεσίοιο, τὸν ὑψόθεν ἀκάματος Ζεὺς
ὤσῃ ἀπὸ κρημνοῖο, βαλὼν στονόεντι κεραυνῷ,
τοῦ δ' ἄρ' ἀνὰ δρυμὰ πυκνὰ, καὶ ἄγκεα μακρὰ, ῥαγέντος
βῆσσαι ἐπικτυπέουσι, περιτρομέουσι δ' ἀν' ὕλην,
εἴ που μῆλ' ὑπένερθε κυλινδομένοιο νέμονται,
ἢ βόες, ἠέ τι ἄλλο, καὶ ἐξαλέονται ἰόντος
ῥιπὴν ἀργαλέην καὶ ἀμείλιχον· ὣς ἄρ' Ἀχαιοὶ
Μέμνονος ὄβριμον ἔγχος ἐπεσσυμένοιο φέβοντο.

Καὶ τότε δὴ κρατεροῖο μόλε σχεδὸν Αἰακίδαο
Νέστωρ· ἀμφὶ δὲ παιδὶ, μέγ' ἀχνύμενος, φάτο μῦθον·
Ὦ Ἀχιλεῦ, μέγα ἕρκος ἐϋσθενέων Ἀργείων,
ὤλετό μοι φίλος υἱὸς, ἔχει δέ μοι ἔντεα Μέμνων
τεθνεότος· δείδω δὲ κυνῶν μὴ κῦρμα γένηται.
ἀλλὰ θοῶς ἐπάμυνον, ἐπεὶ φίλος, ὅς τις ἑταίρου

μέμνηται κταμένοιο, καὶ ἄχνυται οὐκ ἔτ᾽ ἐόντος.
Ὣς φάτο· τοῦ δ᾽ ἀΐοντος ὑπὸ φρένας ἔμπεσε πένθος·
Μέμνονα δ᾽ ὡς ἐνόησεν ἀνὰ στονόεντα κυδοιμὸν
Ἀργείους ἰληδὸν ὑπ᾽ ἔγχεϊ δηϊόωντα,
αὐτίκα κάλλιπε Τρῶας, ὅσους ὑπὸ χερσὶ δάϊξεν,
ἀμφ᾽ ἄλλῃσι φάλαγξι, καὶ, ἰσχανόων πολέμοιο,
ἤλυθέν οἱ κατέναντι, χολούμενος Ἀντιλόχοιο
ἠδ᾽ ἄλλων κταμένων. ὁ δ᾽ ἄρ᾽ εἵλετο χείρεσι πέτρην,
τήν ῥα βροτοὶ θέσαν οὖρον ἐϋστάχυος πεδίοιο,
καὶ βάλεν ἀκαμάτοιο κατ᾽ ἀσπίδα Πηλείωνος
δῖος ἀνήρ· ὁ δ᾽ ἄρ᾽, οὔτι τρέσας περιμήκεα πέτρην,
αὐτίκα οἱ σχεδὸν ἦλθε, μακρὸν δόρυ πρόσθε τιταίνων,
πεζὸς, ἐπεί ῥά οἱ ἵπποι ἔσαν μετόπισθε κυδοιμοῦ·
καί οἱ δεξιὸν ὦμον ὑπὲρ σάκος ἐστυφέλιξεν·
ὃς δὲ, καὶ οὐτάμενος, ἀταρβέϊ μαίνετο θυμῷ,
τύψε δ᾽ ἄρ᾽ Αἰακίδαο βραχίονα δουρὶ κραταιῷ·
τοῦ δ᾽ ἐχύθη φίλον αἷμα, χάρη δ᾽ ἄρ᾽ ἐτώσιον ἥρως,
καί μιν ἄφαρ προσέειπεν ὑπερφιάλοις ἐπέεσσιν·
Νῦν σ᾽ ὀΐω μόρον αἰνὸν ἀναπλήσειν ὑπ᾽ ὀλέθρῳ,
χερσὶν ἐμῇσι δαμέντα, καὶ οὐκ ἔτι μῶλον ἀλύξαι.
σχέτλιε, τίπτε σὺ Τρῶας ἀνηλεγέως ὀλέεσκες,
πάντων εὐχόμενος πολὺ φέρτερος ἔμμεναι ἀνδρῶν,
μητρός τ᾽ ἀθανάτης Νηρηΐδος; ἀλλά σοι ἤδη
ἤλυθεν αἴσιμον ἦμαρ, ἐπεὶ θεόθεν γένος εἰμὶ,
Ἠοῦς ὄβριμος υἱὸς, ὃν ἔκποθι λειριόεσσαι
Ἑσπερίδες θρέψαντο παρὰ ῥόον ὠκεανοῖο.
τοὔνεκα σεῦ κατὰ δῆριν ἀμείλιχον οὐκ ἀλεγίζω,
εἰδὼς μητέρα δῖαν, ὅσον προφερεστέρα ἐστὶν
Νηρεΐδος, τῆς αὐτὸς ἐπεύχεαι ἔκγονος εἶναι.

ἡ μὲν γὰρ μακάρεσσι καὶ ἀνθρώποισι φαείνει·
τῇ ἐπὶ πάντα τελεῖται, ἀπείρεος ἔνδον Ὀλύμπου,
ἐσθλά τε καὶ κλυτὰ ἔργα, τά τ' ἀνδράσι γίνετ' ὄνειαρ·
ἡ δ' ἐν ἁλὸς κευθμῶσι καθημένη ἀτρυγέτοισιν,
ναίει ὁμῶς κήτεσσι, μετ' ἰχθύσι κυδιόωσα,
ἄπρηκτος καὶ ἄϊστος· ἐγὼ δέ μιν οὐκ ἀλεγίζω,
οὐδέ μιν ἀθανάτῃσιν ἐπουρανίῃσιν ἐΐσκω.
Ὣς φάτο. τὸν δ' ἐνένισπε θρασὺς πάϊς Αἰακίδαο·
Ὦ Μέμνον, πῇ νῦν σε κακαὶ φρένες ἐξορόθυναν
ἐλθέμεν ἀντί' ἐμεῖο, καὶ ἐς μόθον ἰσοφαρίζειν;
ὃς σέο φέρτερός εἰμι βίῃ, γενεῇ τε, φυῇ τε,
Ζηνὸς ὑπερθύμοιο λαχὼν ἀριδείκετον αἷμα,
καὶ σθεναροῦ Νηρῆος, ὃς εἰναλίας τέκε κούρας
Νηρεΐδας, τὰς δή ῥα θεοὶ τίουσ' ἐν Ὀλύμπῳ,
πασάων δὲ μάλιστα Θέτιν κλυτὰ μητιόωσαν,
οὕνεκά που Διόνυσον ἑοῖς ὑπέδεκτο μελάθροις,
ὁππότε δειμαίνεσκε βίην ὀλοοῖο Λυκούργου·
ἠδὲ καὶ ὡς Ἥφαιστον, ἐΰφρονα χαλκεοτέχνην,
δέξατο οἷσι δόμοισιν ἀπ' Οὐλύμποιο πεσόντα·
αὐτόν τ' Ἀργικέραυνον ὅπως ὑπελύσατο δεσμῶν·
τῶν μιμνησκόμενοι πανδερκέες Οὐρανίωνες,
μητέρ' ἐμὴν τίουσι Θέτιν ζαθέῳ ἐν Ὀλύμπῳ.
γνώσῃ δ' ὡς θεός ἐστιν, ἐπὴν δόρυ χάλκεον εἴσω
ἐς τεὸν ἧπαρ ἵκηται, ἐμῇ βεβλημένος ἀλκῇ.
Ἕκτορα γὰρ Πατρόκλοιο, σὲ δ' Ἀντιλόχοιο χολωθεὶς,
τίσομαι· οὐ γὰρ ὄλεσσας ἀνάλκιδος ἀνδρὸς ἑταῖρον.
ἀλλὰ τί νηπιάχοισιν ἐοικότες ἀφραδέεσσιν,
ἕσταμεν, ἡμετέρων μυθεύμενοι ἔργα τοκήων,
ἤδ' αὐτῶν; ἐγγὺς καὶ Ἄρης, ἐγγὺς δὲ καὶ ἀλκή.

Ὣς εἰπὼν, παλάμῃσι λάβεν πολυμήκετον ἄορ,
Μέμνων δ' αὖθ' ἑτέρωθε, καὶ ὀτραλέως συνόρουσαν·
τύπτον δ' ἀλλήλων, ἄμοτον, φρεσὶ κυδιόωντες,
ἀσπίδας, ἃς Ἥφαιστος ὑπ' ἀμβροσίῃ κάμε τέχνῃ,
πυκνὰ συναΐσσοντες· ἐπέψαυον δὲ λόφοισιν
ἀλλήλαις ἑκάτερθεν ἐρειδόμεναι τρυφάλειαι.
Ζεὺς δὲ μέγ' ἀμφοτέροισι, φίλα φρονέων, βάλε κάρτος,
τεῦξε δ' ἄρ' ἀκαμάτους, καὶ μείζονας, οὐδὲν ὁμοίους
ἀνδράσιν, ἀλλὰ θεοῖσιν· Ἔρις δ' ἐπεγήθεεν ἀμφοῖν.
οἱ δ' αἰχμὴν μεμαῶτες ἄφαρ χροὸς ἐντὸς ἐλάσσαι,
μεσσηγὺς σάκεός τε, καὶ ὑψιλόφου τρυφαλείης,
πολλάκις ἰθύνεσκον ἑὸν μένος· ἄλλοτε δ' αὖτε
βαιὸν ὑπὲρ κνημῖδος, ἔνερθε δὲ δαιδαλέοιο
θώρηκος, βριαροῖσιν ἀρηρότος ἀμφὶ μελέσσιν,
ἄμφω ἐπειγόμενοι· περὶ δὲ σφισιν ἄμβροτα τεύχη
ἀμφ' ὤμοις ἀράβησε· βοὴ δ' ἵκετ' αἰθέρα δῖον
Τρώων, Αἰθιόπων τε, καὶ Ἀργείων ἐριθύμων,
μαρναμένων ἑκάτερθε· κόνις δ' ὑπὸ ποσσὶν ὀρώρει
ἄχρις ἐς οὐρανὸν εὐρὺν, ἐπεὶ μέγα κίνυτο ἔργον.

Εὖτ' ὀμίχλη κατ' ὄρεσφιν ὀρινομένου ὑετοῖο,
ὁππότε δὴ κελάδοντες ἐνιπλήθονται ἔναυλοι
ὕδατος ἐσσυμένοιο, βρέμει δ' ἄρα πᾶσα χαράδρη
ἄσπετον, οἱ δ' ἄρα πάντες ἐπιτρομέουσι νομῆες
χειμάῤῥους, ὀμίχλην τε, φίλην ὀλοοῖσι λύκοισιν
ἠδ' ἄλλοις θήρεσσιν, ὅσους τρέφει ἄσπετος ὕλη·
ὣς τῶν ἀμφὶ πόδεσσι κόνις πεπότητ' ἀλεγεινὴ,
ἥ ῥά τε καὶ φάος ἠῢ κατέκρυφεν ἠελίοιο,
αἰθέρ' ἐπισκιάουσα· κακὴ δ' ὑπεδάμνατ' ὀϊζὺς
λαοὺς, ἐν κονίῃ τε, καὶ αἰνομόρῳ ὑσμίνῃ.

καὶ τὴν μὲν μακάρων τις ἀπώσατο δηϊοτῆτος
ἐσσυμένως· ὀλοαὶ δὲ θοὰς ἑκάτερθε φάλαγγας
Κῆρες ἐποτρύνεσκον, ἀπειρέσιον πονέεσθαι
δῆριν ἀνὰ στονόεσσαν· Ἄρης δ᾽ οὐ λῆγε φόνοιο
λευγαλέου, πάντῃ δὲ πέριξ ἐφορύνετο γαῖα
αἵματος ἐκχυμένοιο· μέλας δ᾽ ἐπετέρπετ᾽ Ὄλεθρος·
στείνετο δὲ κταμένων πεδίον μέγα, ἱππόβοτόν τε,
ὁππόσον ἀμφὶ ῥοαῖς Σιμόεις καὶ Ξάνθος ἐέργει,
Ἴδηθεν κατιόντες ἐς ἱερὸν Ἑλλήσποντον.
Ἀλλ᾽ ὅτε δὴ πολλὴ μὲν ἄδην μηκύνετο δῆρις
μαρναμένων, ἶσον δὲ μένος τέτατ᾽ ἀμφοτέροισι,
δὴ τότε τούς γ᾽ ἀπάνευθεν Ὀλύμπιοι εἰσορόωντες,
οἱ μὲν θυμὸν ἔτερπον ἀτειρέϊ Πηλείωνι,
οἱ δ᾽ ἄρα Τιθωνοῖο καὶ Ἠοῦς υἱέϊ δίῳ·
ὑψόθε δ᾽ οὐρανὸς εὐρὺς ὑπέβραχεν· ἀμφὶ δὲ πόντος
ἴαχε· κυανέη δὲ πέριξ ἐλελίζετο γαῖα
ἀμφοτέρων ὑπὸ ποσσί· περιτρομέοντο δὲ πᾶσαι
ἀμφὶ Θέτιν Νηρῆος ὑπερθύμοιο θύγατρες
ὀβρίμου ἀμφ᾽ Ἀχιλῆος, ἰδ᾽ ἄσπετα δειμαίνοντο.
δείδιε δ᾽ Ἠριγένεια φίλῳ περὶ παιδὶ καὶ αὐτή,
ἵπποις ἐμβεβαυῖα δι᾽ αἰθέρος· αἱ δέ οἱ ἄγχι
Ἠελίοιο θύγατρες ἐθάμβεον ἑστηυῖαι
θεσπέσιον περὶ κύκλον, ὃν ἠελίῳ ἀκάμαντι
Ζεὺς πόρεν εἰς ἐνιαυτὸν ἐὺν δρόμον, ᾧ πέρι πάντα
ζώει τε, φθινύθει τε, περιπλομένοιο κατ᾽ ἦμαρ
νωλεμέως αἰῶνος, ἑλισσομένων ἐνιαυτῶν.
καί νύ κε δὴ μακάρεσσιν ἀμείλιχος ἔμπεσε δῆρις,
εἰ μὴ ὑπ᾽ ἐννεσίῃσι Διὸς μεγαλοβρεμέταο
δοιαὶ ἄρ᾽ ἀμφοτέροισι θοῶς ἑκάτερθε παρέσταν

Κῆρες· ἐρεμναίη μὲν ἔβη ποτὶ Μέμνονος ἦτορ,
φαιδρὴ δ' ἀμφ' Ἀχιλῆα δαΐφρονα· τοὶ δ' ἐσιδόντες
ἀθάνατοι μέγ' ἄϋσαν· ἄφαρ δ' ἕλε τοὺς μὲν ἀνίη
λευγαλέη, τοὺς δ' ἠῢ καὶ ἀγλαὸν ἔλλαβε χάρμα.
ἥρωες δ' ἐμάχοντο καθ' αἱματόεντα κυδοιμὸν,
ἔμπεδον, οὐδέ τι Κῆρας ἐποιχομένας ἐνόησαν,
θυμὸν καὶ μέγα κάρτος ἐπ' ἀλλήλοισι φέροντες.
φαίης κε στονόεντα κατὰ μόθον ἤματι κείνῳ
μάρνασθ', ἠὲ Γίγαντας ἀτειρέας, ἠὲ κραταιοὺς
Τιτῆνας· σθεναρὴ δ' ἄρ' ἐπί σφισι δῆρις ὀρώρει,
ἢ μὲν ὅτε ξιφέεσσι συνέδραμον, ἢ δ' ὅτε λάας
βάλλον ἐπεσσύμενοι περιμήκεας· οὐδέ τις αὐτῶν
χάζετο βαλλομένων, οὐδ' ἔτρεσαν, ἀλλ' ἅτε πρῶνες
ἕστασαν ἀδμῆτες, καταείμενοι ἄσπετον ἀλκήν·
ἄμφω γὰρ μεγάλοιο Διὸς γένος εὐχετόωντο·
τοὔνεκ' ἄρα σφίσι δῆριν ἴσην ἐτάνυσσεν Ἐνυὼ,
πολλὸν ἐρειδομένοισιν ἐπὶ χρόνον, ἐν δαῒ κείνῃ,
αὐτοῖς, ἠδ' ἑτάροισιν ἀταρβέσιν, οἳ μετ' ἀνάκτων
νωλεμέως πονέοντο μεμαότες, ἄχρι καμόντων
αἰχμαὶ ἀνεγνάμφθησαν ἐν ἀσπίσιν· οὐδέ τις ἦεν
θεινομένων ἑκάτερθεν ἀνούτατος, ἀλλ' ἄρα πάντων
ἐκ μελέων εἰς οὖδας ἀπέῤῥεεν αἷμα καὶ ἱδρὼς,
αἰὲν ἐρειδομένων· κεκάλυπτο δὲ γαῖα νέκυσσιν,
οὐρανὸς ὡς νεφέεσσιν, ἐς αἰγοκερῆα κιόντος
ἠελίου, ὅτε πόντον ὑποτρομέει μέγα ναύτης·
τοὺς δ' ἵπποι χρεμέθοντες, ἐπεσσυμένοις ἅμα λαοῖς,
τεθνεότας στείβεσκον, ἅτ' ἄσπετα φύλλα κατ' ἄλση
χείματος ἀρχομένου, μετὰ τηλεθόωσαν ὀπώρην.
Οἱ δέ που ἐν νεκύεσσι καὶ αἵματι δηριόωντο

υἷες μακάρων ἐρικυδέες, οὐδ' ἀπέληγον
ἀλλήλοις κοτέοντες. Ἔρις δ' ἴθυνε τάλαντα
ὑσμίνης ἀλεγεινά. τὰ δ' οὐκ ἔτι ἶσα πέλοντο·
ἀλλ' ἄρα Μέμνονα δῖον ὑπὸ στέρνοιο θέμεθλα
Πηλείδης οὔτησε· τὸ δ' ἀντικρὺ μέλαν ἆορ
ἐξέθορε· τοῦ δ' αἶψα λύθη πολυήρατος αἰών·
κάππεσε δ' εἰς μέλαν αἷμα· βράχε δέ οἱ ἄσπετα τεύχη,
γαῖα δ' ἐπεσμαράγησε, καὶ ἀμφεφόβηθεν ἑταῖροι.
τὸν δ' ἄρα Μυρμιδόνες μὲν ἐσύλεον· ἀμφὶ δὲ Τρῶες
φεῦγον· ὁ δ' αἶψα δίωκε, μένος μέγα λαίλαπι ἶσος.
Ἠὼς δ' ἐστονάχησε, καλυψαμένη νεφέεσσιν,
ἠχλύνθη δ' ἄρα γαῖα· θοοὶ δ' ἅμα πάντες ἀῆται,
μητρὸς ἐφημοσύνῃσι, μίῃ φορέοντο κελεύθῳ
ἐς πεδίον Πριάμοιο, καὶ ἀμφεχέοντο θανόντι,
οἵ καὶ ἀνηρείψαντο θοῶς Ἠώϊον υἷα,
καί ἑ φέρον πολιοῖο δι' ἠέρος· ἄχνυτο δέ σφι
θυμὸς, ἀδελφειοῖο δεδουπότος· ἀμφὶ δ' ἄρ' αἰθὴρ
ἔστενε. τοῦ δ' ἐπὶ γαῖαν ὅσαι πέσον αἱματόεσσαι
ἐκ μελέων ῥαθάμιγγες, ἐν ἀνθρώποισι τέτυκται
σῆμα καὶ ἐσσομένοις· τὰς γὰρ θεοὶ, ἄλλοθεν ἄλλην,
εἰς ἓν ἀγειράμενοι, ποταμὸν θέσαν ἠχήεντα,
τόν ῥά τε Παφλαγόνειον ἐπιχθόνιοι καλέουσι
πάντες, ὅσοι ναίουσι μακρῆς ὑπὸ δειράσιν Ἴδης·
ὅς τε καὶ αἱματόεις τραφερὴν ἐπινίσσεται αἶαν,
ὁππότε Μέμνονος ἦμαρ ἔῃ λυγρὸν, ᾧ ἐνὶ κεῖνος
κάτθανε· λευγαλέη δὲ, καὶ ἄσχετος ἔσσυται ὀδμὴ
ἐξ ὕδατος· φαίης κεν ἔθ' ἕλκεος οὐλομένοιο
πυθομένους ἰχῶρας ἀποπνείειν ἀλεγεινόν.
ἀλλὰ τὸ μὲν βουλῇσι θεῶν γένεθ'· οἱ δ' ἐπέτοντο

Ἠοῦς ὄβριμον υἷα θοοὶ φορέοντες ἀῆται
τυτθὸν ὑπὲρ γαίης, δνοφερῇ κεκαλυμμένον ὄρφνῃ.
Οὐδὲ μὲν Αἰθιοπῆες, ἀποκταμένοιο ἄνακτος,
νόσφιν ἀπεπλάγχθησαν, ἐπεὶ θεὸς αἶψα καὶ αὐτοὺς
ἦγε, λιλαιομένοισι βαλὼν τάχυς, οἷον ἔμελλον
οὐ μετὰ δηρὸν ἔχοντες, ὑπηέριοι φορέεσθαι.
τοὔνεκ᾽ ἕποντ᾽ ἀνέμοισιν, ὀδυρόμενοι βασιλῆα·
ὡς δ᾽ ὅταν ἀγρευτῆρος, ἐνὶ ξυλόχοισι δαμέντος,
ἢ συὸς ἠὲ λέοντος ὑπὸ βλοσυρῇσι γένυσσι,
σῶμ᾽ ἀναγειρόμενοι μογεροὶ φορέουσιν ἑταῖροι
ἀχνύμενοι, μετὰ δέ σφι κύνες, ποθέοντες ἄνακτα,
κνυζηθμῷ ἐφέπονται, ἀνιηρῆς ἕνεκ᾽ ἄγρης·
ὣς οἵ γε προλιπόντες ἀνηλέα δηϊοτῆτα,
λαιψηροῖς ἐφέποντο μέγα στενάχοντες ἀήταις,
ἀχλύϊ θεσπεσίῃ κεκαλυμμένοι. ἀμφὶ δὲ Τρῶες
καὶ Δαναοὶ θάμβησαν, ἅμα σφετέρῳ βασιλῆϊ
πάντας ἀϊστωθέντας· ἀπειρεσίῃ δ᾽ ἀνὰ θυμὸν
ἀμφασίῃ βεβόληντο. νέκυν δ᾽ ἀκάμαντες ἀῆται
Μέμνονος ἀγχεμάχοιο θέσαν, βαρέα στενάχοντες,
πὰρ ποταμοῖο ῥέεθρα βαθυῤῥόου Αἰσήποιο,
ἧχι τε Νυμφάων καλλιπλοκάμων πέλει ἄλσος
καλὸν, ὃ δὴ μετόπισθε μακρὸν περὶ σῆμ᾽ ἐβάλοντο
Αἰσηποῖο θύγατρες, ἄδην πεπυκασμένον ὕλῃ
παντοίῃ. καὶ πολλὰ θεαὶ περικωκύσαντο,
υἷεα κυδαίνουσαι ἐϋθρόνου Ἠριγενείης.

Δύσετο δ᾽ ἠελίοιο φάος, κατὰ δ᾽ ἤλυθεν Ἠὼς
οὐρανόθεν, κλαίουσα φίλον τέκος· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῇ
κοῦραι ἐϋπλόκαμοι δυοκαίδεκα, τῇσι μέμηλεν
αἰὲν ἑλισσομένου Ὑπερίονος αἰπὰ κέλευθα,

νὺξ τε, καὶ ἠριγένεια, καὶ ἐκ Διὸς ὁππόσα βουλῆς
γίγνεται, οὗ περὶ δῶμα καὶ ἀῤῥήκτους πυλεῶνας
στρωφῶντ᾽ ἔνθα καὶ ἔνθα, πέριξ λυκάβαντα φέρουσαι
καρποῖσι βρίθοντα, κυλινδομένου περὶ κύκλου
χειμῶνος κρυεροῖο, καὶ εἴαρος ἀνθεμόεντος,
ἠδὲ θέρους ἐρατοῖο, πολυσταφύλοιό τ᾽ ὀπώρης.
αἳ τότε δὴ κατέβησαν ἀπ᾽ αἰθέρος ἠλιβάτοιο,
ἄσπετ᾽ ὀδυρόμεναι περὶ Μέμνονα, σὺν δ᾽ ἄρα τῇσι
Πληϊάδες μύροντο, περίαχε δ᾽ οὔρεα μακρὰ,
καὶ ῥόος Αἰσήποιο, γόος δ᾽ ἄλληκτος ὀρώρει.
ἡ δ᾽ ἄρ᾽ ἐνὶ μέσσῃσιν, ἑῷ περὶ παιδὶ χυθεῖσα,
μακρὸν ἀνεστονάχησε πολύστονος Ἠριγένεια·
Ὤλεό μοι, φίλε τέκνον· ἐῇ δ᾽ ἄρα μητέρι πένθος
ἀργαλέον περίθηκας· ἐγὼ δ᾽ οὐ, σεῖο δαμέντος,
τλήσομαι ἀθανάτοισιν ἐπουρανίοισι φαείνειν,
ἀλλὰ καταχθονίων ἐσδύσομαι αἰνὰ βέρεθρα,
ψυχὴ ὅπου σέο νόσφιν ἀποφθιμένου πεπότηται,
πάντ᾽ ἐπικιδναμένου χάεος, καὶ ἀεικέος ὄρφνης,
ὄφρα τι καὶ Κρονίδαο περὶ φρένας ἄλγος ἵκηται.
οὐ γὰρ ἀτιμοτέρη Νηρηΐδος, ἣ Διὸς αὐτοῦ,
πάντ᾽ ἐπιδερκομένη, πάντ᾽ ἐς τέλος ἄχρις ἄγουσα·
μαψιδίως· οὔτ᾽ ἄρ᾽ κεν ἐμὸν φάος ὠπίσατο Ζεύς.
τοὔνεχ᾽ ὑπὸ ζόφον εἶμι· Θέτιν δ᾽ ἐπ᾽ Ὄλυμπον ἀγέσθω
ἐξ ἁλὸς, ὄφρα θεοῖσι καὶ ἀνθρώποισι φαείνῃ·
αὐτὰρ ἐμοὶ στονόεσσα μετ᾽ οὐρανὸν εὔαδεν ὄρφνη,
μὴ ἵνα σεῖο φονῆϊ φάος περὶ σῶμα βάλοιμι.
Ὣς φαμένης ῥέε δάκρυ κατ᾽ ἀμβροσίοιο προσώπου
ἀενάῳ ποταμῷ ἐναλίγκιον. ἀμφὶ δὲ νεκρῷ
δεύετο γαῖα μέλαινα· συνάχνυτο δ᾽ ἀμβροσίη Νὺξ

παιδὶ φίλῃ, καὶ πάντα κατέκρυφεν οὐρανὸς ἄστρα
ἀχλύϊ καὶ νεφέεσσι, φέρειν χάριν Ἠριγενείῃ.
Τρῶες δ' ἄστεος ἔνδον ἔσαν περὶ Μέμνονι θυμῷ
ἀχνύμενοι· πόθεον γὰρ ὁμῶς ἑτάροισιν ἄνακτα.
οὐδὲ μὲν Ἀργεῖοι μέγ' ἐγήθεον, ἀλλὰ καὶ αὐτοὶ,
ἐν πεδίῳ κταμένοισι παρ' ἀνδράσιν αὖλιν ἔχοντες,
ἄμφω, ἐϋμμελίην μὲν Ἀχιλλέα κυδαίνεσκον,
Ἀντίλοχον δ' ἄρα κλαῖον· ἔχον δ' ἅμα χάρματι πένθος.
Παννυχίη δ' ἀλεγεινὸν ἀνεστονάχιζε γοῶσα
Ἠώς· ἀμφὶ δέ οἱ κέχυτο ζόφος· οὐδ' ἔτι θυμῷ
ἀντολίης ἀλέγιζε, μέγαν δ' ἤχθηρεν Ὄλυμπον·
ἄγχι δέ οἱ μάλα πολλὰ ποδώκεες ἔστενον ἵπποι,
γαῖαν ἐπιστείβοντες ἀνανθέα, καὶ βασίλειαν
ἀχνυμένην ὁρόωντες, ἐελδόμενοι μέγα νόστου.
Ζεὺς δ' ἄμοτον βρόντησε χολούμενος· ἀμφὶ δὲ γαῖα
κινήθη πέρι πᾶσα· τρόμος δ' ἕλεν ἄμβροτον Ἠῶ.
τὸν δ' ἄρα καρπαλίμως μελανόχροες Αἰθιοπῆες
θάψαν ὀδυρόμενοι. τοὺς δ' Ἠριγένεια βοῶπις,
πολλ' ὀλοφυρομένους, κρατεροῦ περὶ σήματι παιδὸς
οἰωνοὺς ποίησε, καὶ ἠέρι δῶκε φέρεσθαι·
τοὺς δὴ νῦν καλέουσι βροτῶν ἀπερείσια φῦλα
Μέμνονας· οἵ ῥ' ἔτι τύμβον ἐπὶ σφετέρου βασιλῆος
ἐσσύμενοι γοόωσι, κόνιν καθύπερθε χέοντες
σήματος· ἀλλήλοις δὲ περικλονέουσι κυδοιμὸν,
Μέμνονι ἦρα φέροντες· ὁ δ' εἰν Ἀΐδαο δόμοισιν,
ἠέ που ἐν μακάρεσσι κατ' Ἠλύσιον πέδον αἴης,
καγχαλάα· καὶ θυμὸν ἰαίνεται ἄμβροτος Ἠὼς
δερκομένη· τοῖσιν δὲ πέλει πόνος, ἄχρι καμόντες
εἷς ἕνα δῃώσωνται ἀνὰ κλόνον, ἠὲ καὶ ἄμφω

πότμον ἀναπλήσωσι, πονεύμενοι ἀμφὶς ἄνακτι.
Καὶ τὰ μὲν, ἐννεσίῃσι φαεσφόρου Ἠριγενείης,
οἰωνοὶ τελέουσι θοοί. τότε δ' ἄμβροτος Ἠὼς
οὐρανὸν εἰσανόρουσεν ὁμῶς πολυαλδέσιν Ὥραις,
αἵ ῥά μιν οὐκ ἐθέλουσαν ἀνήγαγον ἐς Διὸς οὖδας,
παρφάμεναι μύθοισιν, ὅσοις βαρὺ πένθος ὑπείκει,
καί περ ἔτ' ἀχνυμένην· ἡ δ' οὐ λάθετ' οἷο δρόμοιο·
δείδιε γὰρ δὴ Ζηνὸς ἄδην ἄλληκτον ἐνιπὴν,
ἐξ οὗ πάντα πέλονται, ὅσ' ὠκεανοῖο ῥέεθρα
ἐντὸς ἔχει, καὶ γαῖα, καὶ αἰθομένων ἕδος ἄστρων.
τῆς ῥα Πληϊάδες πρότεραι ἴσαν· ἡ δὲ καὶ αὐτὴ,
αἰθερίας ὤϊξε πύλας· ἐκέδασσε δ' ἄρ' αἴγλην.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ' ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Γ.

Αὐτὰρ, ἐπεὶ φάος ἦλθεν ἐϋθρόνου Ἠριγενείης,
δὴ τότ' ἄρ' Ἀντιλόχοιο νέκυν ποτὶ νῆας ἔνεικαν
αἰχμηταὶ Πύλιοι, μεγάλα στενάχοντες ἄνακτα·
καί μιν ταρχύσαντο παρ' ἠόσιν Ἑλλησπόντου,
πολλὰ μάλ' ἀχνύμενοι· περὶ δ' ἔστενον ὄβριμοι υἷες
Ἀργείων. πάντας γὰρ ἀμείλιχον ἄμφεχε πένθος
Νέστορι ἦρα φέροντας· ὁ δ' οὐ μέγα δάμνατο θυμῷ.
ἀνδρὸς γὰρ πινυτοῖο, περὶ φρεσὶ τλήμεναι ἄλγος
θαρσαλέως, καὶ μή τι κατηφιόωντ' ἀκαχῆσθαι.
Πηλείδης δ' ἑτάροιο χολούμενος Ἀντιλόχοιο,
σμερδνὸν ἐπὶ Τρώεσσι κορύσσετο· τοὶ δὲ καὶ αὐτοὶ,
καί περ ὑποτρομέοντες ἐϋμμελίην Ἀχιλῆα,
τείχεος ἐξεχέοντο μεμαότες, οὕνεκ' ἄρα σφι
Κῆρες ἐπὶ στέρνοισι θράσος βάλον. ἦ γὰρ ἔμελλον
πολλοὶ ἀνοστήτοιο κατελθέμεν Ἀϊδωνῆος,
χερσὶν ὑπ' Αἰακίδαο δαΐφρονος, ὅς ῥα καὶ αὐτὸς
φθεῖσθαι ὁμῶς ἤμελλε παρὰ Πριάμοιο πόληϊ.
αἶψα δ' ἄρ' ἀμφοτέρωθε συνήλυθον εἰς ἕνα χῶρον

Τρώων ἔθνεα πολλὰ, μενεπτολέμων τ' Ἀργείων,
μαιμώοντ' ἐς Ἄρηα διεγρομένου πολέμοιο.
Πηλείδης δ' ἐν τοῖσι πολὺν περιδάμνατο λαὸν
δυσμενέων· πάντη δὲ φερέσβιος αἵματι γαῖα
δεύετο, καὶ νεκύεσσι περιστείνοντο ῥέεθρα
Ξάνθου, καὶ Σιμόεντος· ὁ δ' ἑσπόμενος κεράϊζε,
μέχρις ἐπὶ πτολίεθρον, ἐπεὶ φόβος ἄμφεχε λαούς.
καί νύ κε πάντας ὄλεσσε, πύλας δ' εἰς οὖδας ἔρεισε
θαιρῶν ἐξερύσας, ἢ καὶ συνέαξεν ὀχῆας,
δόχμιος ἐγχριμφθεὶς, Δαναοῖσι δ' ἔθηκε κέλευθον
ἐς Πριάμοιο πόληα, διέπραθε δ' ὄλβιον ἄστυ,
εἰ μή οἱ μέγα Φοῖβος ἀνηλεῖ χώσατο θυμῷ,
ὡς ἴδεν ἄσπετα φῦλα δαϊκταμένων ἡρώων.
αἶψα δ' ἀπ' Οὐλύμποιο κατήλυθε θηρὶ ἐοικὼς,
ἰοδόκην ὤμοισιν ἔχων καὶ ἀναλθέας ἰούς·
ἔστη δ' Αἰακίδαο καταντίον· ἀμφὶ δ' ἄρ' αὐτοῦ
γωρυτὸς καὶ τόξα μέγ' ἴαχεν· ἐκ δέ οἱ ὄσσων
πῦρ ἄμοτον μάρμαιρε· ποσὶν δ' ὑπεκίνυτο γαῖα·
σμερδαλέον δ' ἤϋσε μέγας θεὸς, ὄφρ' Ἀχιλῆα
τρέψῃ ἀπὸ πτολέμοιο, θεοῦ ὄπα ταρβήσαντα
θεσπεσίην, καὶ Τρῶας ὑπ' ἐκ θανάτοιο σαώσῃ·
Χάζεο Πηλείδη Τρώων ἑκὰς, οὐ γὰρ ἔοικεν
ὥς σ' ἔτι δυσμενέεσσι κακὰς ἐπὶ χεῖρας ἰάλλειν,
μή σε καὶ ἀθανάτων τις ἀπ' Οὐλύμποιο χαλέψῃ.
Ὣς ἄρ' ἔφη· ὁ δ' ἄρ' οὔτι θεοῦ τρέσεν ἄμβροτον αὐδήν·
ἤδη γάρ οἱ Κῆρες ἀμείλιχοι ἀμφεποτῶντο·
τοὔνεκ' ἄρ' οὐκ ἀλέγιζε θεοῦ· μέγα δ' ἴαχεν ἄντην·
Φοῖβε, τίη με θεοῖσι, καὶ οὐ μεμαῶτα, μάχεσθαι

ὀτρύνεις, Τρώεσσιν ὑπερφιάλοισιν ἀμύνων;
ἤδη γὰρ καὶ πρόσθε μ', ἀποστρέψας ὀρυμαγδοῦ,
ἤπαχες, ὁππότε πρῶτον ὑπεξεσάωσας ὀλέθρου
Ἕκτορα, τῷ μέγα Τρῶες ἀνὰ πτόλιν εὐχετόωντο.
ἀλλ' ἀναχάζεο τῆλε, καὶ ἐς μακάρων ἕδος ἄλλων
ἔρχεο, μή σε βάλοιμι, καὶ ἀθάνατόν περ ἐόντα.
Ὣς εἰπὼν, ἀπάτερθε θεὸν λίπε, βῆ δ' ἐπὶ Τρῶας,
οἵ ῥ' ἔτι που φεύγεσκον ἅμα προπάροιθε πόληος,
καὶ τοὺς μὲν σεύεσκεν· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Φοῖβος, ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
Ὢ πύποι, ὡς ὅγε μαίνετ' ἀεὶ φρένας· ἀλλά ἑ οὔτι
οὐδ' αὐτὸς Κρονίδης ἔτ' ἀνέξεται, οὔτε τις ἄλλος,
οὕτω μαργαίνοντα, καὶ ἀντιόωντα θεοῖσι.
Ὣς ἄρ' ἔφη, καὶ ἄϊστος ὁμοῦ νεφέεσσιν ἐτύχθη·
ἠέρα δ' ἑσσάμενος, στυγερὸν προέηκε βέλεμνον·
καί ἑ θοῶς οὔτησε κατὰ σφυρόν· αἶψα δ' ἀνίαι
δῦσαν ὑπὸ κραδίην· ὁ δ' ἀνετράπετ' ἠΰτε πύργος,
ὅν τε βίη τυφῶνος ὑποχθονίη στροφάλιγγι
ῥήξῃ ὑπὲρ δαπέδοιο, κραδαινομένης βαθὺ γαίης·
ὣς ἐκλίθη δέμας ἠῢ κατ' οὔδεος Αἰακίδαο·
ἀμφὶ δὲ παπτήνας, ὀλοὸν καὶ ἄκρατον ὁμόκλα·
Τίς νύ μοι αἰνὸν ὀϊστὸν ἐπιπροέηκε κρυφηδόν;
τλήτω μευ κατέναντα, καὶ εἰς ἀναφανδὸν ἱκέσθω,
ὄφρα κέ τοι μέλαν αἷμα καὶ ἔγκατα πάντα χυθείη
ἡμετέρῳ περὶ δουρὶ, καὶ ἄϊδα λυγρὸν ἵκηται·
οἶδα γὰρ ὡς οὔτις με δυνήσεται, ἐγγύθεν ἐλθὼν,
ἐγχείῃ δαμάσασθαι ἐπιχθονίων ἡρώων,
οὐδ' εἴπερ στέρνοισι μάλ' ἄτρομον ἦτορ ἔχῃσιν,
ἄτρομον ἦτορ ἔχῃσι λίην, καὶ χάλκεος εἴη.

κρύβδα δ' ἀνάλκιδες αἰὲν ἀγαυοτέρους λοχόωσι·
τῷ μευ ἴτω κατέναντα, καὶ εἰ θεὸς εὔχεται εἶναι
χωόμενος Δαναοῖς, ἐπειή νύ μοι ἦτορ ἔολπεν
ἔμμεναι Ἀπόλλωνα λυγρῇ κεκαλυμμένον ὄρφνῃ.
ὣς γάρ μοι τοπάροιθε φίλη διεπέφραδε μήτηρ,
κείνου ὑπαὶ βελέεσσιν ὀϊζυροῖς ἀπολέσθαι
Σκαιῇς ἀμφὶ πύλῃσι· τὸ δ' οὐκ ἀνεμώλιον ἦεν.
Ἦ, καὶ λυγρὸν ὀϊστὸν ἀμειλίκτοισι χέρεσσιν
ἕλκεος ἐξείρυσσεν ἀναλθέος, ἐκ δέ οἱ αἷμα
ἔσσυτο τειρομένου· πότμος δέ οἱ ἦτορ ἐδάμνα·
ἀσχαλόων δ' ἔῤῥιψε βέλος. τὸ δ' ἄῤ' αἶψα κιοῦσαι
πνοιαὶ ἀνηρείψαντο, δόσαν δέ μιν Ἀπόλλωνι
ἐς Διὸς οἰχομένῳ ζάθεον πέδον· οὐ γὰρ ἐῴκει
ἄμβροτον ἰὸν ὀλέσθαι ἀπ' ἀθανάτοιο μολόντα.
δεξάμενος δ' ὅγε, κραιπνὸς ἀφίκετο μακρὸν Ὄλυμπον,
ἄλλων ἀθανάτων ἐς ὁμήγυριν, ἧχι μάλιστα
πανσυδίῃ ἀγέροντο, μάχην ἐσορώμενοι ἀνδρῶν·
οἱ μὲν γὰρ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
οἱ δ' ἄῤ Ἀχαιοῖς, οἱ δὲ διάνδιχα μητιόωντες,
δέρκοντο κτείνοντας ἀνὰ μόθον, ὀλλυμένους τε.
Τὸν δ' ὁπότ' εἰσενόησε Διὸς πινυτὴ παράκοιτις,
αὐτίκα μιν νείκεσσεν ἀνιηροῖς ἐπέεσσιν·
Φοῖβε, τίη τόδ' ἔρεξας ἀτάσθαλον ἤματι τῷδε,
λησάμενος κείνοιο, τὸν ἀθάνατοι γάμον αὐτοὶ
ἀντιθέῳ Πηλῆϊ συνάρσαμεν, ἐν δὲ σὺ μέσσοις
δαινυμένοις ἤειδες, ὅπως Θέτιν ἀργυρόπεζαν
Πηλεὺς ἤγετ' ἄκοιτιν, ἁλὸς μέγα λαῖτμα λιποῦσαν,
καί σευ φορμίζοντος ἐπήϊεν ἀθρόα φῦλα,
θῆρές τ', οἰωνοί τε, βαθυσκόπελοί τε κολῶναι,

καὶ ποταμοὶ, καὶ πᾶσα βαθύσκιος ἤϊεν ὕλη·
ἀλλὰ τά γ' ἐξελάθου, καὶ ἀμείλιχον ἔργον ἔρεξας
κτείνας ἀνέρα δῖον, ὃν, ἀθανάτοισι σὺν ἄλλοις
νέκταρ ἀποσπένδων, ἠρήσαο παῖδα γενέσθαι
ἐκ Θέτιδος Πηλῆϊ· τεῆς δ' ἐπελήσαο ἀρῆς,
ἦρα φέρων λαοῖσι κραταιοῦ Λαομέδοντος,
ᾧ πάρα βουκολέεσκες· ὁ δ' ἀθάνατόν περ ἐόντα,
θνητὸς ἐὼν, ἀκάχιζε· σὺ δ' ἀφρονέων ἐνὶ θυμῷ,
ἦρα φέρεις Τρώεσσι, λελασμένος ὅσσ' ἐμόγησας.
σχέτλιε, οὐ νύ τοι οἶδας ἐνὶ φρεσὶ λευγαλέῃσιν,
οὔθ' ὅτις ἀργαλέος, καὶ ἐπάξιος ἄλγεα πάσχειν,
οὔθ' ὅτις ἀθανάτοισι τετιμένος· ἦ γὰρ Ἀχιλλεὺς
ἤπιος ἄμμι τέτυκτο, καὶ ἐξ ἡμέων γένος ἦεν.
ἀλλ' οὐ μὰν Τρώεσσιν ἐλαφρότερον πόνον οἴω
ἔσσεσθ' Αἰακίδαο δεδουπότος· οὕνεκ' ἄρ' αὐτοῦ
υἱὸς ἀπὸ Σκύροιο θοῶς ἐς ἀπηνέα δῆριν
Ἀργείοις ἐπαρωγὸς ἐλεύσεται, εἴκελος ἀλκὴν
πατρὶ ἑῷ· πολέσιν δὲ κακὸν δηΐοισι πελάσσει.
ἦ νύ σοι οὐ Τρώων ἐπιμέμβλεται, ἀλλ' Ἀχιλῆϊ
ἀμφ' ἀρετῆς ἐμέγηρας, ἐπεὶ πέλε φέρτατος ἀνδρῶν.
νήπιε, πῶς ἔτι σοῖσιν ἐν ὄμμασι Νηρηΐνην
ὄψει ἐν ἀθανάτοισι Διὸς ποτὶ δώματ' ἰοῦσαν,
ἥ σε πάρος κύδαινε, καὶ ὡς φίλον ἔδρακεν υἷα;
Ἦ, μέγα νεικείουσα πολυσθενέος Διὸς υἷα,
Ἥρη ἀκηχεμένη· ὁ δ' ἄρ' οὐκ ἀπαμείβετο μύθῳ·
ἅζετο γὰρ παράκοιτιν ἑοῦ πατρὸς ἀκαμάτοιο·
οὐδέ οἱ ὀφθαλμοῖσι καταντίον εἰσοράασθαι
ἔσθενεν, ἀλλ' ἀπάνευθε θεῶν ἄλληκτον ἐόντων,
ἧστο κατωπιόων· ἄμοτον δέ οἱ ἐσκύζοντο

ἀθάνατοι κατ' Ὄλυμπον, ὅσοι Δαναοῖσιν ἄμυνον·
ὅσσοι δ' αὖ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
κεῖνοί μιν κύδαινον, ἐνὶ φρεσὶ καγχαλόωντες,
κρύβδ' Ἥρης· πάντες γὰρ ἐναντίον Οὐρανίωνες
ἅζοντ' ἀσχαλόωσαν. ὁ δ' οὔπω λήθετο θυμοῦ
Πηλείδης· ἔτι γάρ οἱ ἀμαιμακέτοις ἐνὶ γυίοις
ἔζεεν αἷμα κελαινὸν, ἐελδομένοιο μάχεσθαι·
οὐδ' ἄρα οἱ Τρώων τις ἐτόλμα ἐγγὺς ἱκέσθαι,
βλημένου, ἀλλ' ἀπάνευθεν ἀφέστασαν, εὖτε λέοντος
ἀγρόται ἐν ξυλόχοισι τεθηπότες, ὅν τε βάλησι
θηρητήρ· ὁ δ' ἄρ' οὔτι, πεπαρμένος ἦτορ ἄκοντι,
λήθεται ἠνορέης, ἀλλὰ στρέφετ' ἄγριον ὄμμα,
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα Πηλείδαο, χόλος καὶ λοίγιον ἔγχος,
θυμὸν ἄδην ὀρόθυνε· θεοῦ δέ μιν ἰὸς ἐδάμνα·
ἀλλὰ καὶ ὣς ἀνόρουσε, καὶ ἔνθορε δυσμενέεσσι,
πάλλων ὄβριμον ἔγχος· ἕλεν δ' Ὀρυθάονα δῖον
Ἕκτορος ἐσθλὸν ἑταῖρον, ἐπὶ κροτάφοιο τυχήσας·
οὐ γάρ οἱ κόρυς ἔσχε μακρὸν δόρυ, καὶ μεμαῶτος,
ἀλλὰ δι' αὐτῆς αἶψα καὶ ὀστέου ἔνδον ἵκανεν
ἶνας ἐς ἐγκεφάλοιο· κέασσε δέ οἱ θαλερὸν κῆρ.
Ἱππόνοον δ' ἐδάμασσε, κατ' ὀφρύος ἔνδον ἐρείσας
ἐς θέμεθλ' ὀφθαλμοῖο· χαμαὶ δέ οἱ ἔκπεσε γλήνη
ἐκ βλεφάρων· ψυχὴ δὲ κατ' Ἄϊδος ἐξεποτήθη.
Ἀλκιθόου δ' ἄρ' ἔπειτα, διὰ γναθμοῖο περήσας,
γλῶσσαν ὅλην ἀπέκερσεν· ὁ δ' ἐς πέδον ἤριπε γαίης
ἀμπνείων· αἰχμὴ δὲ δι' οὔατος ἐξεφαάνθη.
καὶ τοὺς μὲν κατέπεφνε, καταντίον ἀΐσσοντας,
δῖος ἀνήρ· πολλῶν δὲ καὶ ἄλλων θυμὸν ἔλυσε

φευγόντων· ἔτι γάρ οἱ ἐνὶ φρεσὶν ἔζεεν αἷμα.
Ἀλλ' ὅτε οἱ ψύχοντο μέλη, καὶ ἀπήϊε θυμὸς,
ἔστη, ἐρεισάμενος μελίῃ ἔπι. τοὶ δ' ἐφέβοντο,
πανσυδίῃ τρομέοντες, ὁ δέ σφισι τοῖον ὁμόκλα·
Ἆ δειλοὶ Τρῶες, καὶ Δάρδανοι, οὐδὲ θανόντος
ἔγχος ἐμὸν φεύξεσθε ἀμείλιχον, ἀλλ' ἅμα πάντες
τίσεσθ' αἰνὸν ὄλεθρον Ἐριννύσιν ἡμετέρῃσιν.
Ὣς φάτο· τοὶ δ' ἀΐοντες ὑπέτρεσαν, εὖτ' ἐν ὄρεσσι
φθόγγον ἐριβρύχοιο νεβροὶ τρομέωσι λέοντος,
δείλαιοι, μέγα θῆρα πεφυζότες· ὣς ἄρα λαοὶ
Τρώων ἱπποπόλων, ἠδ' ἀλλοδαπῶν ἐπικούρων,
ὑστατίην Ἀχιλῆος ὑποτρομέεσκον ὁμοκλὴν,
ἐλπόμενοί μιν ἔτ' ἔμμεν ἀνούτατον· ὃς δ', ὑπὸ πότμῳ
θυμὸν τολμήεντα καὶ ὄβριμα γυῖα βαρυνθεὶς,
ἤριπεν ἀμφὶ νέκυσσιν, ἀλίγκιος οὔρεϊ μακρῷ·
γαῖα δ' ὑπεπλατάγησε, καὶ ἄσπετον ἔβραχε τεύχη,
Πηλείδαο πεσόντος ἀμύμονος. οἱ δ' ἔτι θυμῷ,
δήϊον εἰσορόωντες, ἀπειρέσιον τρομέεσκον.
ὡς δ' ὅτε θῆρα δαφοινὸν, ὑπ' αἰζηοῖσι δαμέντα,
μῆλα περιτρομέουσι, περὶ σταθμὸν ἀθρήσαντα
βλημένον, οὐδέ οἱ ἄγχι παρελθέμεναι μεμάασιν,
ἀλλά ἑ, ὡς ζώοντα, νέκυν περιπεφρίκασιν·
ὣς Τρῶες φοβέοντο, καὶ οὐκ ἔτ' ἐόντ' Ἀχιλῆα.
Ἀλλὰ καὶ ὣς, ἐπέεσσι Πάρις μέγα θαρσύνεσκε
λαὸν, ἐπεὶ φρεσὶν ᾗσιν ἐγήθεεν· ἦ γὰρ ἐώλπει
Ἀργείους παύσασθαι ἀμαιμακέτοιο κυδοιμοῦ,
Πηλείδαο πεσόντος· ὁ γὰρ Δαναοῖς πέλεν ἀλκή·
Ὦ φίλοι, εἰ ἐτεόν μοι ἀρήγετε εὐμενέοντες,
σήμερον ἠὲ θάνωμεν ὑπ' Ἀργείοισι δαμέντες,

ἠὲ σαωθέντες, ποτὶ Ἴλιον εὐρύσωμεν
ἵπποις Ἑκτορέοισι δεδουπότα Πηλείωνα,
οἵ μ' ἐς δηϊοτῆτα, κασιγνήτοιο θανόντος,
ἀχνύμενοι φορέουσιν, ἑὸν ποθέοντες ἄνακτα.
τοῖς εἴ πως ἐρύσαιμεν Ἀχιλλέα δῃωθέντα,
ἵπποις μὲν μέγα κῦδος ὀρέξομεν, ἠδὲ καὶ αὐτῷ
Ἕκτορι, εἴ γε τὶς ἐστὶ κατ' ἄϊδος ἀνθρώποισιν
ἢ νόος, ἠὲ θέμιστες· ὃ γὰρ κακὰ μήσατο Τρῶας·
καί μιν Τρωϊάδες, μεγάλα φρεσὶ καγχαλόωσαι,
ἀμφιπεριστήσονται ἀνὰ πτόλιν, ἠΰτε λυγραὶ
παρδάλιες τεκέων κεχολωμέναι, ἠὲ λέαιναι,
ἀνδρὶ πολυκμήτῳ μογερῆς ἐπιΐστορι θήρης·
ὣς Τρωαὶ περὶ νεκρὸν ἀποκταμένου Ἀχιλῆος
ἀθρόαι ἀΐξουσιν, ἀπειρέσιον κοτέουσαι·
αἱ μὲν ὑπὲρ τοκέων κεχολωμέναι, αἱ δὲ καὶ ἀνδρῶν·
αἱ δ' ἄρ' ὑπὲρ παίδων, αἱ δὲ γνωτῶν ἐριτίμων.
γηθήσει δὲ μάλιστα πατὴρ ἐμὸς, ἠδὲ γέροντες,
ὅσσους οὐκ ἐθέλοντας ἐν ἄστεϊ γῆρας ἐρύκει·
τόνδ' ἡμεῖς εἴπερ τε, ποτὶ πόλιν εἰρύσαντες,
θήσομεν οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.

Ὣς φάτο· τοὶ δὲ νέκυν κρατερόφρονος Αἰακίδαο
ἄμφεβαν ἐσσυμένως, οἵ μιν φοβέοντο πάροιθεν,
Γλαῦκός τ', Αἰνείας τε, καὶ ὀβριμόθυμος Ἀγήνωρ,
ἄλλοι τ' οὐλομένοιο δαήμονες ἰωχμοῖο,
εἰρῦσαι μεμαῶτες ἐς Ἰλίου ἱερὸν ἄστυ.
ἀλλά οἱ οὐκ ἀμέλησε θεοῖς ἐναλίγκιος Αἴας,
ἀλλὰ θοῶς περίβη· πάντας δ' ἀπὸ δούρατι μακρῷ
ὦθει ἀπὸ νέκυος· τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά οἱ ἀμφεμάχοντο περισταδὸν, ἀΐσσοντες

αἰὲν ἐπασσύτεροι, τανυχειλέες εὖτε μέλισσαι,
αἵ τε ἑὸν περὶ σίμβλον ἀπειρέσιαι ποτέονται,
ἄνδρ᾽ ἀπαμυνόμεναι, ὁ δ᾽ ἄρ᾽ οὐκ ἀλέγων ἐπιούσας,
κηροὺς ἐκτάμνησι μελίχροας, αἱ δ᾽ ἀκάχονται
καπνοῦ ὑπαὶ ῥιπῆς ἠδ᾽ ἀνέρος, ἀλλ᾽ ἄρα καὶ ὧς
ἀντίαι ἀΐσσουσιν, ὁ δ᾽ οὐκ ὄθετ᾽, οὐδ᾽ ἄρα βαιόν·
ὣς Αἴας τῶν οὔτι μάλ᾽ ἐσσυμένων ἀλέγιζεν,
ἀλλ᾽ ἄρα πρῶτον ἐνήραθ᾽, ὑπὲρ μαζοῖο τυχήσας,
Μαιονίδην Ἀγέλαον· ἔπειτα δὲ Θέστορα δῖον·
εἷλε δ᾽ ἄρ᾽ Ἀρκύθοον, καὶ Ἀγέστρατον, ἠδ᾽ Ἀγάνιππον,
Ζωρόν τε, Νίσσον τε, περικλειτόν τ᾽ Ἐρύμαντα,
ὃς Λυκίηθεν ἵκανεν ὑπαὶ μεγαλήτορι Γλαύκῳ·
ναῖε δ᾽ ὅγ᾽ αἰπεινὸν Μελανίππιον, ἱρὸν Ἀθήνης,
ἀντία Μασσικύτοιο, Χελιδονίης σχεδὸν ἄκρης,
τὴν μέγ᾽ ὑποτρομέουσι τεθηπότες εἰν ἁλὶ ναῦται,
εὖτε περιγνάμπτωσι μάλα στυφελὰς περὶ πέτρας·
τοῦ δ᾽ ἄρ᾽ ἀποφθιμένοιο, κλυτὸς πάϊς Ἱππολόχοιο
παχνώθη κατὰ θυμὸν, ἐπεί ῥά οἱ ἔσκεν ἑταῖρος·
καί ῥα θοῶς Αἴαντα κατ᾽ ἀσπίδα πουλυβόειαν
οὔτασεν· ἀλλά οἱ οὔτι διήλασεν ἐς χρόα καλόν·
ῥινοὶ γάρ μιν ἔρυντο βοῶν, καὶ ὑπ᾽ ἀσπίδι θώρηξ,
ὅς ῥά οἱ ἀκαμάτοισι περὶ μελέεσσιν ἀρήρει·
Γλαῦκος δ᾽ οὐκ ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ,
Αἰακίδην Αἴαντα δαμασσέμεναι μενεαίνων,
καί οἱ ἐπευχόμενος μέγ᾽ ἀπείλεεν ἄφρονι θυμῷ·
Αἶαν, ἐπεί νύ σέ φασι μέγ᾽ ἔξοχον ἔμμεναι ἄλλων
Ἀργείων, σοὶ δ᾽ αἰὲν ἔπι φρονέουσι μάλιστα
ἄσπετον, ὡς Ἀχιλῆϊ δαΐφρονι, τῷ σε θανόντι

ποιῷ συνθανέεσθαι ἐπ' ἤματι τῷδε καὶ αὐτόν.
Ὣς ἔφατ' ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδη,
ὅσσον ἀμείνονος ἀνδρὸς ἐναντίον ἔγχος ἐνώμα.
Τὸν δ' ὑποδερκόμενος, προσέφη μενεδήϊος Αἴας·
Ἀ δείλ', οὔτοι οἶδας, ὅσον σέο φέρτερος Ἕκτωρ
ἔπλετ' ἐνὶ πτολέμοισι; μένος δ' ἀλέεινε καὶ ἔγχος
ἡμέτερον· πινυτὸν γὰρ ὁμῶς ἔχε κάρτεϊ θυμόν·
σοὶ δ' ἤτοι νόος ἐστὶ ποτὶ ζόφον, ὅς ῥά μοι ἔτλης
ἐς μόθον ἐλθέμεναι, μέγ' ἀμείνονί περ γεγαῶτι.
οὐ γάρ μευ ξεῖνος πατρώϊος εὔχεαι εἶναι,
οὐδέ με, δωτίνῃσι παραιφάμενος, πολέμοιο
νόσφιν ἀποστρέψεις, ὡς Τυδέος ὄβριμον υἷα.
ἀλλὰ καὶ εἰ κείνοιο φύγες μένος, οὔ σέ τ' ἔγω γε
ζωὸν ἀπὸ πτολέμοιο μεθήσομαι ἀπονέεσθαι.
ἦ ἄλλοισι πέποιθας ἀνὰ κλόνον, οἳ μετὰ σεῖο,
μυίαις οὐτιδανῇσιν ἐοικότες, ἀΐσσουσιν
ἀμφὶ νέκυν Ἀχιλῆος ἀμύμονος; ἀλλ' ἄρα καὶ τοῖς
δώσω ἐπεσσυμένοις θάνατον, καὶ κῆρας ἐρεμνάς.
Ὣς εἰπὼν, Τρώεσσιν ἐπεστρωφᾶτο, λέων ὡς
ἐν κυσὶν ἀγρευτῇσι, κατ' ἄγκεα μακρὰ καὶ ὕλην·
πολλοὺς δ' αἶψ' ἐδάμασσε, μεμαότας εὖχος ἀρέσθαι,
Τρῶας ὁμῶς Λυκίοισι· περιτρομέοντο δὲ λαοὶ,
ἰχθύες ὡς ἀνὰ πόντον, ἐπερχομένου ἀλεγεινοῦ
κήτεος, ἢ δελφῖνος ἁλιτρεφέος μεγάλοιο·
ὣς Τρῶες φοβέοντο βίην Τελαμωνιάδαο,
αἰὲν ἐπεσσυμένοιο κατὰ κλόνον· ἀλλ' ἄρα καὶ ὣς
μάρναντ', ἀμφὶ δὲ νεκρὸν Ἀχιλλέος ἄλλοθεν ἄλλοι
μυρίοι ἐν κονίῃσιν, ὅπως σύες ἀμφὶ λέοντα,
κτείνοντ'· οὐλομένη δὲ περὶ σφίσι δῆρις ὀρώρει.

ἔνθα καὶ Ἱππολόχοιο δαΐφρονα δάμνατο παῖδα
Αἴας ὀβριμόθυμος· ὁ δ' ὕπτιος ἀμφ' Ἀχιλῆα
κάππεσεν, εὖτ' ἐν ὄρεσσι περὶ στερεὴν δρύα θάμνος·
ὣς ὅγε δουρὶ δαμεὶς, περικάππεσε Πηλείωνι
βλήμενος· ἀμφὶ δέ οἱ κρατερὸς πάϊς Ἀγχίσαο
πολλὰ πονησάμενος, σὺν ἀρηϊφίλοις ἑτάροισιν,
εἴρυσεν εἰς Τρῶας, καὶ ἐς Ἰλίου ἱερὸν ἄστυ
δῶκε φέρειν ἑτάροισι, μέγ' ἀχνυμένοις περὶ θυμῷ·
αὐτὸς δ' ἀμφ' Ἀχιλῆϊ μαχέσκετο· τὸν δ' ἄρα δουρὶ
μυῶνος καθύπερθεν ἀρήϊος οὔτασεν Αἴας
χειρὸς δεξιτερῆς· ὁ δ' ἄρ' ἐσσυμένως ἀπόρουσεν
ἐξ ὀλοοῦ πολέμοιο· κίεν δ' ἄφαρ ἄστεος εἴσω·
ἀμφὶ δέ οἱ πονέοντο περίφρονες ἰητῆρες,
οἵ ῥά οἱ αἷμα κάθηραν ἀφ' ἕλκεος, ἄλλα τε πάντα
τεῦχον, ὅσ' οὐταμένων ὀλοὰς ἀκέονται ἀνίας.
Αἴας δ' αἰὲν ἐμάρνατ', ἀλίγκιος ἀστεροπῇσι,
κτείνων ἄλλοθεν ἄλλον, ἐπεὶ μέγα τείρετο θυμῷ,
ἀχνύμενος δὴ αἰὲν ἀνεψιοῖο δαμέντος.
ἄγχι δὲ Λαέρταο δαΐφρονος υἱὸς ἀμύμων
μάρνατο δυσμενέεσσι· φοβοῦντο δέ μιν μέγα λαοί·
κτεῖνε δὲ Πείσανδρόν τε θοὸν, καὶ Ἀρήϊον υἷα
Μαινάλου, ὃς ναίεσκε περικλυτὸν οὖδας Ἀβύδου·
τῷ δ' ἔπι δῖον ἔπεφνεν Ἀτύμνιον, ὅν ποτε Νύμφη
Πηγασὶς ἠΰκομος σθεναρῷ τέκεν Ἠμαλίωνι,
Γρηνίκου ποταμοῖο παρὰ ῥόον· ἀμφὶ δ' ἄρ' αὐτῷ
Πρωτέος υἷα δάϊξεν Ὀρέσβιον, ὅς τε μακεδνῆς
Ἴδης ναιετάεσκεν ὑπὸ πτύχας, οὐδέ ἑ μήτηρ
δέξατο νοστήσαντα περικλειτὴ Πανάκεια,
ἀλλ' ἐδάμη παλάμῃσιν Ὀδυσσέος, ὅς τε καὶ ἄλλων

πολλῶν θυμὸν ἔλυσεν ὑπ᾽ ἔγχεϊ μαιμώωντι,
κτείνων ὅν κε κίχησι περὶ νέκυν· ἀλλά μιν Ἄλκων,
υἱὸς ἀρηϊθόοιο Μεγακλέος, ἔγχεϊ τύψε
πὰρ γόνυ δεξιτερόν, περὶ δὲ κνημῖδα φαεινὴν
ἔβλυσεν αἷμα κελαινόν· ὁ δ᾽ ἕλκεος οὐκ ἀλέγιζεν,
ἀλλ᾽ ἄφαρ οὐτήσαντι κακὸν γένεθ᾽, οὕνεκ᾽ ἄρ᾽ αὐτόν,
ἱέμενον πολέμοιο, δι᾽ ἀσπίδος οὔτασε δουρί·
ὦσε δέ μιν μεγάλῃ τε βίῃ, καὶ κάρτεϊ χειρὸς
ὕπτιον ἐς γαῖαν· κανάχησε δέ οἱ περὶ τεύχη,
βλημένου ἐν κονίῃσι· περὶ μελέεσσι δὲ θώρηξ
δεύετο φοινήεντι λύθρῳ· ὁ δὲ λοίγιον ἔγχος
ἐκ χροὸς ἐξείρυσσε, καὶ ἀσπίδος· ἕσπετο δ᾽ αἰχμῇ
θυμὸς ἀπαὶ μελέων, ἔλιπεν δέ μιν ἄμβροτος αἰών.
τοῦ δ᾽ ἑτάροις ἐπόρουσε, καὶ οὐτάμενός περ, Ὀδυσσεύς,
οὐδ᾽ ἀπέληγε μόθοιο δυσηχέος· ὣς δὲ καὶ ἄλλοι
πάντες ὁμῶς ἐπιμὶξ Δαναοὶ μέγαν ἀμφ᾽ Ἀχιλῆα
προφρονέως ἐμάχοντο, πολὺν δ᾽ ὑπὸ χείρεσι λαὸν
ἐσσυμένως ἐδάϊζον ἐϋξέστῃς μελίῃσιν.
εὖτ᾽ ἄνεμοι θοὰ φύλλα κατὰ χθονὸς ἀμφιχέωνται,
λάβρον ἐπιβρίσαντες ἐπ᾽ ἄλσεα ὑλήεντα,
ἀρχομένου λυκάβαντος, ὅτε φθινύθουσιν ὀπῶραι·
ὣς τοὺς ἐγχείῃσι βάλον Δαναοὶ μενεχάρμαι·
μέμβλετο γὰρ πάντεσσιν Ἀχιλλέος ἀμφὶ θανόντος,
ἐκπάγλως δ᾽ Αἴαντι δαΐφρονι· τοὔνεκ᾽ ἄρ᾽ ἔμπης
Τρῶας ἄδην ἐδάϊζε, κακῇ ἐναλίγκιος αἴσῃ.
τῷ δ᾽ ἐπὶ τόξ᾽ ἐτίταινε Πάρις· τὸν δ᾽ αἶψα νοήσας
κάββαλε χερμαδίῳ κατὰ κράατος· ἐν δ᾽ ἄρα θλάσσεν
ἀμφίφαλον κυνέην ὀλοὸς λίθος· ἀμφὶ δέ μιν νὺξ
μάρψεν· ὁ δ᾽ ἐν κονίῃσι κατήριπεν, οὐδέ οἱ ἰοὶ

ἤρκεσαν ἱεμένῳ· ἐκέχυντο γὰρ ἄλλυδις ἄλλοι
ἐν κονίῃ· κενεὴ δὲ παρεκτετάνυστο φαρέτρη·
τόξον δ᾽ ἔκφυγε χεῖρε· φίλοι δέ μιν ἁρπάξαντες,
ἵπποις Ἑκτορέοισι φέρον ποτὶ Τρώϊον ἄστυ
βαιὸν ἔτ᾽ ἐμπνείοντα, καὶ ἀργαλέον στενάχοντα·
οὐδὲ μὲν ἔντε᾽ ἄνακτος ἑκὰς λίπον, ἀλλὰ καὶ αὐτὰ
ἐκ πεδίοιο κόμισσαν ἑῷ βασιλῆϊ φέροντες.
τῷ δ᾽ Αἴας ἐπὶ μακρὸν ἀΰτεεν ἀσχαλόωντι·
Ὦ κύον, ὡς θανάτοιο βαρὺ σθένος ἐξυπάλυξας
σήμερον· ἀλλά σοι εἶθαρ ἐλεύσεται ὕστατον ἦμαρ,
ἤ τινος Ἀργείων ὑπὸ χείρεσιν, ἢ ἐμεῦ αὐτοῦ·
νῦν δ᾽ ἐμοὶ ἄλλα μέμηλε περὶ φρεσὶν, ὡς Ἀχιλῆος
ἐκ φόνου ἀργαλέοιο νέκυν Δαναοῖσι σαώσω.
Ὣς εἰπὼν, δηΐοισι κακὰς ἐπὶ κῆρας ἴαλλεν,
οἵ τ᾽ ἔτι δηριόωντο νέκυν πέρι Πηλείωνος.
Οἳ δέ οἱ ὡς ἄθρησαν ὑπὸ σθεναρῇσι χέρεσσι
πολλοὺς ἐκπνείοντας, ὑπέτρεσαν, οὐδ᾽ ἔτι μίμνον,
οὐτιδανοῖς γύπεσσιν ἐοικότες, οὕς τε φοβήσῃ
αἰετὸς οἰωνῶν προφερέστατος, εὖτ᾽ ἐν ὄρεσσι
πώεα δαρδάπτωσι λύκοις ὑποδηωθέντα·
ὣς τοὺς, ἄλλυδις ἄλλον, ἀπεσκέδασε θρασὺς Αἴας
χερμαδίοισι θοοῖσι, καὶ ἄορι, καὶ μένεϊ ᾧ·
οἱ δὲ μέγα τρομέοντες, ἀπὸ πτολέμοιο φέβοντο
πανσυδίῃ, ψήρεσσιν ἐοικότες, οὕς τε δαΐζων
κίρκος ἐπισσεύει· τοὶ δ᾽ ἰλαδὸν ἄλλος ἐπ᾽ ἄλλῳ
ταρφέες ἀΐσσουσιν, ἀλευόμενοι μέγα πῆμα·
ὣς οἵγ᾽ ἐκ πολέμοιο ποτὶ Πριάμοιο πόληα
φεῦγον ὀϊζυρῶς ἐπιειμένοι ἀκλέα φύζαν,
Αἴαντος μεγάλοιο περιτρομέοντες ὁμοκλὴν,

ὅς ῥ' ἔπετ' ἀνδρομέῳ πεπαλαγμένος αἵματι χεῖρας.
καί νύ κε δὴ μάλα πάντας ἐπασσυτέρους ἀπόλεσσεν,
εἰ μὴ πεπταμένῃσι πύλῃς ἐπέχυντο πόληος,
βαιὸν ἀναπνείοντες, ἐπεὶ φόβος ἦτορ ἵκανεν.
τοὺς δ' ἔλσας ἀνὰ ἄστυ, νομεὺς ὣς αἰόλα μῆλα,
ἤϊεν ἐς πεδίον, χθόνα δ' οὐ ποσὶ μάρπτεν ἑοῖσιν,
ἐμβαίνων τεύχεσσι καὶ αἵματι καὶ κταμένοισι·
κεῖτο γὰρ εὐρὺς ὅμιλος ἀπειρεσίη ἐπὶ γαίῃ
ἄχρις ἐφ' Ἑλλήσποντον ἀπ' εὐρυχόροιο πόληος
αἰζηῶν κταμένων, ὁπόσους λάχε δαίμονος αἶσα.
ὡς δ' ὅτε λήϊον αὖον ὑπ' ἀμητῆρσι πέσῃσι,
πυκνὸν ἐόν, τὰ δὲ πολλὰ καταυτόθι δράγματα κεῖται
βριθόμενα σταχύεσσι, γέγηθε δὲ θυμὸς ἐπ' ἔργῳ
ἀνέρος εἰσορόωντος, ὅ τις κλυτὸν οὖδας ἔχῃσιν·
ὣς οἱ ἀμφοτέρωθε κακῷ δμηθέντες ὀλέθρῳ
κεῖντο, πολυκλαύτοιο λελασμένοι ἰωχμοῖο,
πρηνέες· οὐδέ τι Τρῶας Ἀχαιῶν φέρτατοι υἷες
σύλεον ἐν κονίῃσι καὶ αἵματι δηωθέντας,
πρὶν Πηλήϊον υἷα πυρῇ δόμεν, ὅς σφιν ὄνειαρ
ἔπλετ' ἐνὶ πτολέμοισιν, ἑῷ μέγα κάρτεϊ θύων.
τοὔνεκά μιν βασιλῆες ἀπὸ πτολέμου ἐρύσαντες,
ἀμφὶ νέκυν πονέοντο ἀπείριτον, εὖτε φέροντες
κάτθεσαν ἐν κλισίῃσι, νεῶν προπάροιθε θοάων·
ἀμφὶ δέ μιν μάλα πάντες ἀγειράμενοι στενάχοντο,
ἀχνύμενοι κατὰ θυμόν· ὁ γὰρ πέλε κάρτος Ἀχαιῶν·
δὴ τότ' ἐνὶ κλισίῃσι λελασμένος ἐγχειάων,
κεῖτο βαρυγδούποιο παρ' ἠόσιν Ἑλλησπόντου·
οἷος ὑπερφίαλος Τιτυὸς πέσεν, ὁππότε Λητὼ
ἐρχομένην Πυθῶδε βιάζετο, καί ἑ χολωθεὶς,

ἀκάματόν περ ἐόντα, θοῶς ὑπεδάμνατ' Ἀπόλλων
λαιψηροῖς βελέεσσιν, ὁ δ' ἀργαλέῳ ἐνὶ λύθρῳ
πουλυπέλεθρος ἔκειτο κατὰ χθονὸς εὐρυπέδοιο
μητρὸς ἑῆς· ἡ δ' υἷα περιστονάχησε πεσόντα,
ἐχθόμενον μακάρεσσι, γέλασσε δὲ πότνια Λητώ·
τοῖος ἄρ' Αἰακίδης δηΐων ἐπικάππεσε γαίῃ,
χάρμα φέρων Τρώεσσι, γόον δ' ἀλίαστον Ἀχαιοῖς,
λαῶν μυρομένων· περὶ δ' ἔβρεμε βένθεα πόντου·
θυμὸς δ' αὐτίκα πᾶσι κατεκλάσθη φίλος ἔνδον,
ἐλπομένων κατὰ δῆριν ὑπὸ Τρώεσσιν ὀλέσθαι.
μνησάμενοι δ' ἄρα τοίγε φίλων παρὰ νηυσὶ τοκήων,
τοὺς λίπον ἐν μεγάροισι, νεοδμήτων τε γυναικῶν,
αἵ που ὀδυρόμεναι μίνυθον κενεοῖς λεχέεσσιν,
νηπιάχοις σὺν παισὶ, φίλους ποτιδέγμεναι ἄνδρας,
μᾶλλον ἀνεστενάχοντο· γόου δ' ἔρος ἔμπεσε θυμῷ·
κλαῖόν τ' αὖ ἀλίαστον, ἐπὶ ψαμάθοισι βαθείαις
πρηνέες ἐκχύμενοι, μεγάλῳ παρὰ Πηλείωνι,
χαίτας ἐκ κεφαλῆς προθελύμνους δηϊόωντες·
χευάμενοι δ' ᾔσχυναν ἅδην ψαμάθοισι κάρηνα.
οἵη δ', ἐκ πολέμοιο βροτῶν ἐς τεῖχος ἀλέντων,
οἰμωγὴ πέλεται, ὅτε δήϊοι ἐμμεμαῶτες
καίωσιν μέγα ἄστυ, κατακτείνωσι δὲ λαοὺς
πανσυδίῃ, πάντῃ δὲ διὰ κτῆσιν φορέωνται·
τοίη τοι παρὰ νηυσὶν Ἀχαιῶν ἔπλετ' ἀϋτὴ,
οὕνεκ' ἀοσσητὴρ Δαναῶν, πάϊς Αἰακίδαο,
κεῖτο μέγας παρὰ νηυσὶ θεοκμήτοισι βελέμνοις,
οἷος Ἄρης, ὅτε μιν δεινὴ θεὸς ὀβριμοπάτρη
Τρώων ἐν πεδίῳ πολυαχθέϊ κάββαλε πέτρῃ.
Μυρμιδόνες δ' ἄλληκτον ἀνεστενάχοντ' Ἀχιλῆα,

εἰλύμενοι περὶ νεκρὸν ἀμύμονος οἷο ἄνακτος,
ἠπίου, ὃς πάντεσσιν ἴσος πάρος ἦεν ἑταῖρος·
οὐ γὰρ ὑπερφίαλος πέλεν ἀνδράσιν, οὐδ᾽ ὀλοόφρων,
ἀλλὰ σαοφροσύνῃ καὶ κάρτεϊ πάντ᾽ ἐκέκαστο.
Αἴας δ᾽ ἐν πρώτοισι, μέγα στενάχων, ἐγεγώνει,
πατροκασιγνήτοιο φίλον ποθέων ἅμα παῖδα,
βλήμενον ἐκ θεόφιν· θνητῶν γε μὲν οὔτινι βλητὸς
ἦεν, ὅσοι ναίουσιν ἐπὶ χθονὸς εὐρυπέδοιο·
τὸν τότε κῆρ ἀχέων ὀλοφύρετο φαίδιμος Αἴας,
ἄλλοτε μὲν κλισίας Πηληϊάδαο δαμέντος
ἐσφοιτῶν, ὅτε δ᾽ αὖτε παρὰ ψαμάθοισι θαλάσσης
ἐκχύμενος μάλα πουλὺς, ἔπος δ᾽ ὀλοφύρατο τοῖον·
Ὦ Ἀχιλεῦ, μέγα ἕρκος ἐϋσθενέων Ἀργείων,
κάτθανες ἐν Τροίῃ Φθίης ἑκὰς εὐρυπέδοιο,
ἔκποθεν ἀπροφάτοιο λυγρῷ βεβλημένος ἰῷ,
τόν ῥα ποτὶ κλόνον ἄνδρες ἀνάλκιδες ἰθύνουσιν.
οὐ γάρ τις πισυνός γε σάκος μέγα νωμήσασθαι,
ἠδὲ περὶ κροτάφοισιν ἐπιστάμενος ἐς Ἄρηα
εὖ θέσθαι πήληκα, καὶ ἐν παλάμῃ δόρυ πῆλαι,
καὶ χαλκὸν δηΐοισι περὶ στέρνοισι δαΐξαι,
ἰοῖσίν γ᾽ ἀπάνευθεν ἐπεσσυμένως πολεμίζει.
εἰ γάρ σευ κατέναντα τότ᾽ ἤλυθεν, ὅς σ᾽ ἔβαλέν περ,
οὐκ ἂν ἀνουτητί γε τεοῦ φύγεν ἔγχεος ὁρμήν.
ἀλλὰ Ζεὺς τάχα που νῦν μήδετο πάντ᾽ ἀπολέσσαι,
ἡμέων δ᾽ ἐν καμάτοισιν ἐτώσια ἔργα τίθησιν·
ἤδη γὰρ Τρώεσσι κατ᾽ Ἀργείων τάχα νίκην
νεύσει, ἐπεὶ τόσσον περ Ἀχαιῶν ἕρκος ἀπηύρα.
ὢ πόποι, ὡς ἄρα πάγχυ γέρων ἐν δώμασι Πηλεὺς
ὀχθήσει μέγα πένθος, ἀτερπεῖ γήραϊ κύρσας·

αὐτῇ σὺν φήμῃ μιν ἀποῤῥαίσει μεγάθυμον·
ὧδε δέ οἱ καὶ ἄμεινον ὀϊζύος αἶψα λαθέσθαι·
εἰ δέ κεν οὐ φθίσει ἑ κακὴ περὶ υἷεος αἶσα,
ἆ δειλός, χαλεποῖς ἐνὶ πένθεσι γῆρας ἰάψει,
αἰὲν ἐπ᾽ ἐσχαρόφιν βίοτον κατέδων ὀδύνῃσι,
Πηλεύς, ὃς μακάρεσσι φίλος περιώσιος ἦεν·
ἀλλ᾽ οὐ πάντα τελοῦσι θεοὶ μογεροῖσι βροτοῖσιν.
Ὣς ὁ μὲν ἀσχαλόων ὀλοφύρετο Πηλείωνα·
Φοῖνιξ δ᾽ αὖθ᾽ ὁ γεραιὸς ἀάσπετα κωκύεσκεν,
ἀμφιχυθεὶς δέμας ἠῢ θρασύφρονος Αἰακίδαο·
καί ῥ᾽ ὀλοφυδνὸν ἄϋσε μέγ᾽ ἀχνύμενος πινυτὸν κῆρ
Ὤλεό μοι, φίλε τέκνον, ἐμοὶ δ᾽ ἄχος αἰὲν ἄφυκτον
κάλλιπες· ὡς ὄφελέν με χυτὴ κατὰ γαῖα κεκεύθει,
πρὶν σέο πότμον ἰδέσθαι ἀμείλιχον· οὐ γὰρ ἔμοι γε
ἄλλο χερειότερόν ποτ᾽ ἐσήλυθεν ἐς φρένα πῆμα,
οὐδ᾽ ὅτε πατρίδ᾽ ἐμὴν λιπόμην, ἀγανούς τε τοκῆας,
φεύγων ἐς Πηλῆα δι᾽ Ἑλλάδος, ὅς μ᾽ ὑπέδεκτο,
καί μοι δῶρα πόρεν, Δολόπεσσι δ᾽ ἔθηκεν ἀνάσσειν·
καί σε γ᾽ ἐν ἀγκοίνῃσι φορεύμενος ἀμφὶ μέλαθρον,
κόλπῳ ἐμῷ κατέθηκε, καὶ ἐνδυκέως ἐπέτελλεν
νηπίαχον κομέειν, ὡσεὶ φίλον υἷα γεγῶτα.
τῷ πιθόμην· σὺ δ᾽ ἐμοῖσι περὶ στέρνοισι γεγηθὼς,
πολλάκι παππάζεσκες, ἔτ᾽ ἄκριτα χείλεσι βάζων·
καί μευ νηπιέῃσιν ὑπ᾽ ἐννεσίῃσι δίηνας
στήθεά τ᾽ ἠδὲ χιτῶνας· ἔχον δέ σε χερσὶν ἐμῇσι
πολλὸν καγχαλόων, ἐπεί νύ μοι ἦτορ ἐώλπει
θρέψειν κηδεμονῆα βίου, καὶ γήραος ἄλκαρ.
καὶ τὰ μὲν ἐλπομένῳ βαιὸν χρόνον ἔπλετο πάντα·
νῦν δ᾽ οἴχῃ μὲν ἄϊστος ὑπὸ ζόφον· ἀμφὶ δ᾽ ἐμὸν κῆρ

ἄχνυτ᾽ ὀϊζυρῶς, ἐπεὶ νύ με πένθος ἰάπτει
λευγαλέον· τό με εἴθε καταφθίσειε γοῶντα,
πρὶν Πηλῆα πυθέσθαι ἀμύμονα, τόν περ ὀΐω
κωκύσειν ἀλίαστον, ὅτ᾽ ἀμφί ἑ φῆμις ἵκηται·
οἴκτιστον γὰρ νῶϊν ὑπὲρ σέθεν ἔσσεται ἄλγος,
πατρί τε σῷ καὶ ἐμοί, τοί περ, μέγα σεῖο θανόντος
ἀχνύμενοι, τάχα γαῖαν ὑπὲρ Διὸς ἄσπετον αἶσαν
δυσόμεθ᾽ ἐσσυμένως· καί κεν πολὺ λώϊον εἴη,
ἢ ζώειν ἀπάνευθεν ἀοσσητῆρος ἑοῖο.
Ἦ ῥ᾽ ὁ γέρων, ἀλίαστον ἐνὶ φρεσὶ πένθος ἀέξων·
πὰρ δέ οἱ Ἀτρείδης ὀλοφύρετο δάκρυα χεύων·
ᾤμωξεν δ᾽, ὀδύνῃσι μέγ᾽ αἰθόμενος κέαρ ἔνδον·
Ὤλεο, Πηλείδη, Δαναῶν μέγα φέρτατε πάντων,
ὤλεο, καὶ στρατὸν εὐρὺν ἀνερκέα θῆκας Ἀχαιῶν·
ῥηΐτεροι δ᾽ ἄρα σεῖο καταφθιμένου πελόμεσθα
δυσμενέσιν· σὺ δὲ χάρμα πεσὼν Τρώεσσιν ἔθηκας,
οἵ σε πάρος φοβέοντο, λέονθ᾽ ὡς αἴολα μῆλα·
νῦν δ᾽ ἐπὶ νηυσὶ θοῇσι λιλαιόμενοι μαχέονται.
Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ βροτοὺς ψευδέσσι λόγοισι
θέλγεις, ὅς κατένευσας ἐμοὶ Πριάμοιο ἄνακτος
ἄστυ διαπραθέειν· νῦν δ᾽ οὐ τελέεις ὅσ᾽ ὑπέστης,
ἀλλὰ λίην ἀκάχησας ἐμὰς φρένας· οὐ γὰρ ὀΐω
εὑρέμεναι πολέμοιο τέκμωρ φθιμένου Ἀχιλῆος.
Ὣς ἔφατ᾽, ἀχνύμενος κέαρ ἔνδοθεν· ἀμφὶ δὲ λαοὶ
κώκυον ἐκ θυμοῖο θρασὺν περὶ Πηλείωνα·
τοῖς δ᾽ ἄρ᾽ ἐπεβρόμεον νῆες παρὰ μυρομένοισιν·
ἠχὴ δ᾽ ἄσπετος ὦρτο δι᾽ αἰθέρος ἀκαμάτοιο.
ὡς δ᾽ ὅτε κύματα μακρὰ βίῃ μεγάλου ἀνέμοιο
ὀρνύμεν᾽ ἐκ πόντοιο, πρὸς ἠϊόνας φορέονται

σμερδαλέον, πάντη δὲ, προσαγνυμένης ἁλὸς αἰεὶ,
ἀκταὶ δμῶς ῥηγμῖσιν ἀπειρέσιαι βοόωσι·
τοῖος ἄρ᾽ ἀμφὶ νέκυν Δαναῶν στόνος αἰνὸς ὀρώρει,
μυρομένων ἄλληκτον ἀταρβέα Πηλείωνα.
Καί σφιν ὀδυρομένοισι τάχ᾽ ἤλυθε κυανέη νὺξ,
εἰ μὴ ἄρ᾽ Ἀτρείδην προσεφώνεε Νηλέος υἱὸς
Νέστωρ, ὅς ῥά τ᾽ ἔχεσκεν ἐνὶ φρεσὶ μυρίον ἄλγος,
μνησάμενος σφοῦ παιδὸς ἐΰφρονος Ἀντιλόχοιο·
Ἀργείων σκηπτοῦχε μέγα κρατέων, Ἀγάμεμνον,
νῦν μὲν ἀποσχώμεσθα δυσηχέος αἶψα γόοιο
σήμερον· οὐ γάρ ἔτ᾽ αὖθις ἐρωήσει τις Ἀχαιοὺς
κλαυθμοῦ ἄδην κορέσασθαι, ἐπ᾽ ἤματα πολλὰ γοῶντας·
ἀλλ᾽ ἄγε δὴ βρότον αἰνὸν ἀταρβέος Αἰακίδαο
λούσαντες, λεχέεσσ᾽ ἐνὶ θείομεν· οὐ γὰρ ἔοικεν
αἰσχύνειν ἐπὶ δηρὸν ἀκηδείῃσι θανόντας.
Καὶ τὰ μὲν ὣς ἐπέτελλε περίφρων Νηλέος υἱός·
αὐτὰρ ὁ, οἷς ἑτάροισιν ἐπισπέρχων, ἐκέλευεν,
ὕδατος ἐν πυρὶ θέντας ἄφαρ κρυεροῖο λέβητας
θερμῆναι, λοῦσαί τε νέκυν, περί θ᾽ εἵματα ἕσσαι
καλὰ, τά οἱ πόρε παιδὶ φίλῳ ἁλιπόρφυρα μήτηρ
ἐς Τροίην ἀνιόντι· θοῶς δ᾽ ἐπίθησαν ἄνακτι·
ἐνδυκέως δ᾽ ἄρα πάντα πονησάμενοι, κατὰ κόσμον,
κάτθεσαν ἐν κλισίῃσι δεδουπότα Πηλείωνα.
τὸν δ᾽ ἐσιδοῦσ᾽ ἐλέησε περίφρων Τριτογένεια·
στάζε δ᾽ ἄρ᾽ ἀμβροσίην κατὰ κράατος, ἥν ἄρα φασὶ
δηρὸν ἐρυκακέειν νεαρὸν χρόα κηρὶ δαμέντων·
θῆκε δ᾽ ἄρ᾽ ἐρσήεντα, καὶ εἴκελον ἀμπνείοντι·
σμερδαλέον δ᾽ ἄρα τεῦξεν ἐπισκύνιον περὶ νεκρῷ,

οἷον, ὅτ' ἀμφ' ἑτάροιο δαϊκταμένου, Πατρόκλοιο,
χωομένου ἐπέκειτο κατὰ βλοσυροῖο προσώπου·
βριθύτερον δ' ἄρα θῆκε δέμας, καὶ ἄρειον ἰδέσθαι·
Ἀργείους δ' ἕλε θάμβος, ὁμιλαδὸν ἀθρήσαντας
Πηλείδην, ζώοντι πανείκελον· ὅς ῥ' ἐπὶ λέκτροις
ἐκχύμενος, μάλα πουλὺς, ἄδην εὕδοντι ἐῴκει.
Ἀμφὶ δέ μιν μογεραὶ ληΐτιδες, ἅς ῥά ποτ' αὐτὸς,
Λῆμνόν τε ζαθέην Κιλίκων τ' αἰπὺ πτολίεθρον
Θήβην Ἠετίωνος ἑλὼν, ληΐσσατο κούρας,
ἱστάμεναι γοάασκον, ἀμύσσουσαι χρόα καλόν·
στήθεά τ' ἀμφοτέρῃσι πεπληγυῖαι παλάμῃσιν,
ἐκ θυμοῦ στενάχεσκον ἐΰφρονα Πηλείωνα·
τὰς γὰρ δὴ τίεσκε, καὶ ἐκ δηΐων περ ἐούσας.
πασάων δ' ἔκπαγλον ἀκηχεμένη κέαρ ἔνδον
Βρισηῒς, παράκοιτις ἐϋπτολέμου Ἀχιλῆος,
ἀμφὶ νέκυν στρωφᾶτο, καὶ ἀμφοτέρῃς παλάμῃσι
δρυπτομένη χρόα καλὸν, ἀΰτεεν· ἐκ δ' ἁπαλοῖο
στήθεος αἱματόεσσαι ἀνὰ σμώδιγγες ἄερθεν
θεινομένης· φαίης κεν ἐπὶ γλάγος αἷμα χέασθαι
φοίνιον· ἀγλαΐη δὲ καὶ ἀχνυμένης ἀλεγεινῶς
ἱμερόεν μάρμαιρε· χάρις δέ οἱ ἄμφεχεν εἶδος·
τοῖον δ' ἔκφατο μῦθον ὀϊζυρὸν γοόωσα·
Ὦ μοι ἐγὼ πάντων περιώσιον αἰνὰ παθοῦσα·
οὐ γάρ μοι τόσσον περ ἐπήλυθεν ἄλλοτε πῆμα,
οὔτε κασιγνήτων, οὔτ' εὐρυχόρου περὶ πάτρης,
ὅσσον σεῖο θανόντος· ἐπεὶ σύ μοι ἱερὸν ἦμαρ,
καὶ φάος ἠελίοιο πέλες, καὶ μείλιχος αἰὼν,
ἐλπωρή τ' ἀγαθοῖο, καὶ ἄσπετον ἄλκαρ ἀνίης·
πάσης τ' ἀγλαΐης πολὺ φέρτερος, ἠδὲ τοκήων

ἔπλεο· πάντα γάρ οἷος ἔῃς δμωῇ περ ἐούσῃ·
καί ῥά μ᾽ ἔθηκας ἄκοιτιν, ἑλὼν ἀπὸ δούλια ἔργα·
νῦν δέ τις ἐν νήεσσιν Ἀχαιῶν ἄξεται ἄλλος
Σπάρτην εἰς ἐρίβωλον, ἢ ἐς πολυδίψιον Ἄργος·
καί νύ κεν ἀμφιπολεῦσα, κακὰς ὑποτλήσομ᾽ ἀνίας
σεῦ ἀπονοσφισθεῖσα, δυσάμμορος· ὡς ὄφελόν με
γαῖα χυτὴ ἐκάλυψε, πάρος σέο πότμον ἰδέσθαι.
Ὣς ἡ μὲν δμηθέντ᾽ ὀλοφύρετο Πηλείωνα
δμωῇς σὺν μογερῇσι, καὶ ἀχνυμένοισιν Ἀχαιοῖς,
μυρομένη καὶ ἄνακτα, καὶ ἀνέρα· τῆς δ᾽ ἀλεγεινὸν
οὔ ποτ᾽ ἐτέρσετο δάκρυ, κατείβετο δ᾽ ἄχρις ἐπ᾽ οὖδας
ἐκ βλεφάρων, ὡσεί τε μέλαν κατὰ πίδακος ὕδωρ
πετραίης, ἧς πουλὺς ὕπερ παγετός τε, χίων τε,
ἐκκέχυται στυφελοῖο κατ᾽ οὔδεος, ἀμφὶ δὲ πάχνη
τήκεθ᾽ ὁμῶς Εὔρῳ τε, καὶ ἠελίοιο βολῇσι.
Καὶ τότε δή ῥ᾽ ἐσάκουσαν ὀρινομένοιο γόοιο
θυγατέρες Νηρῆος, ὅσαι μέγα βένθος ἔχουσι·
πάσῃσιν δ᾽ ἀλεγεινὸν ὑπὸ κραδίην πέσεν ἄλγος·
οἰκτρὸν δ᾽ ἐστονάχησαν, ἐπίαχε δ᾽ Ἑλλήσποντος·
ἀμφὶ δὲ κυανέοισι καλυψάμεναι χρόα πέπλοις,
ἐσσυμένως οἴμησαν, ὅπῃ στόλος ἔπλετ᾽ Ἀχαιῶν,
πανσυδίῃ πολιοῖο δι᾽ οἴδματος· ἀμφὶ δ᾽ ἄρα σφιν
νισσομένῃσι θάλασσα διΐστατο· ταὶ δ᾽ ἐφέροντο
κλαγγηδὸν, κραιπνῇσιν ἐειδόμεναι γεράνοισιν,
ὀσσομένῃς μέγα χεῖμα· περιστενάχοντο δὲ λυγρὸν
κήτεα μυρομένῃσιν· ἔβαν δ᾽ ἄφαρ ἧχι νέοντο,
παῖδα κασιγνήτης κρατερόφρονα κωκύουσαι
ἐκπάγλως. Μοῦσαι δὲ θοῶς Ἑλικῶνα λιποῦσαι,
ἤλυθον, ἄλγος ἄλαστον ἐνὶ στέρνοισιν ἔχουσαι,

ἀρνύμεναι τιμὴν ἑλικώπιδι Νηρηΐνῃ.
Ζεὺς δὲ μέγ' Ἀργείοισι καὶ ἄτρομον ἔμβαλε θάρσος,
ὄφρα μὴ ἐσθλὸν ὅμιλον ὑποδδείσωσι θεάων,
ἀμφαδὸν ἀθρήσαντες ἀνὰ στρατόν· αἵ δ' Ἀχιλῆος
ἀμφὶ νέκυν στενάχοντο καὶ ἀθάνατοί περ ἐοῦσαι,
πᾶσαι ὁμῶς· ἀκταὶ δὲ περίαχον Ἑλλησπόντου·
δεύετο δὲ χθὼν πᾶσα περὶ νέκυν Αἰακίδαο
δάκρυσι, καὶ μέγα βένθος ἀνέστενεν· ἀμφὶ δὲ λαῶν
μυρομένων, δάκρυσσι φορύνετο τεύχεα πάντα,
καὶ κλισίαι, καὶ νῆες, ἐπεὶ μέγα πένθος ὀρώρει.
μήτηρ δ' ἀμφιχυθεῖσα, κύσε στόμα Πηλείωνος,
παιδὸς ἑοῦ, καὶ τοῖον ἔπος φάτο δακρυχέουσα·
Γηθείτω ῥοδόπεπλος ἀν' οὐρανὸν Ἠριγένεια,
γηθείτω φρεσὶν ᾗσι, μεθεὶς χόλον Ἀστεροπαίου,
Ἄξιος εὐρυρέεθρος, ἰδὲ Πριάμοιο γενέθλη·
αὐτὰρ ἐγὼ πρὸς Ὄλυμπον ἀφίξομαι· ἀμφὶ δὲ ποσσὶ
κείσομαι ἀθανάτοιο Διὸς μεγάλα στενάχουσα,
οὕνεκά μ' οὐκ ἐθέλουσαν ὑπ' ἀνέρι δῶκε δαμῆναι,
ἀνέρι, ὃν τάχα γῆρας ἀμείλιχον ἀμφιμέμαρφε,
Κῆρές τ' ἐγγὺς ἔασι, τέλος θανάτοιο φέρουσαι.
ἀλλά μοι οὐ κείνοιο μέλει τόσον, ὡς Ἀχιλῆος,
ὅν μοι Ζεὺς κατένευσεν, ἐν Αἰακίδαο δόμοισιν
ἴφθιμον θήσειν, ἐπεὶ οὔτι μοι ἥνδανεν εὐνή·
ἄλλοτε μὲν ζαὴς ἄνεμος πέλον, ἄλλοτε δ' ὕδωρ,
ἄλλοτε δ' οἰωνῷ ἐναλίγκιος, ἢ πυρὸς ὁρμῇ·
οὐ μοι θνητὸς ἀνὴρ δύνατ' ἐν λεχέεσσι μιγῆναι
γιγνομένῃ, ὅσα γαῖα καὶ οὐρανὸς ἐντὸς ἐέργει,
μέσφ' ὅτε μοι κατένευσεν Ὀλύμπιος, υἷεα δῖον
ἔκπαγλον θήσειν, καὶ ἀρήϊον· ἀλλὰ τὰ μέν που

ἀτρεκέως ἐτέλεσσεν· ὁ γὰρ πέλε φέρτατος ἀνδρῶν·
ἀλλά μιν ὠκύμορον ποιήσατο, καί μ' ἀκάχησεν.
τοὔνεκ' ἐς οὐρανὸν εἶμι· Διὸς δ' ἐς δώματ' ἰοῦσα,
κωκύσω φίλον υἷα, καὶ, ὁππόσα πρόσθ' ἐμόγησα
ἀμφ' αὐτῷ, καὶ παισὶν ἀεικέα τειρομένοισιν,
μνήσω ἀκηχεμένη, ἵνα οἱ σὺν θυμὸν ὀρίνω.
Ὣς ἔφατ', αἰνὰ γοῶσ' ἁλίη Θέτις· ἡ δέ οἱ αὐτὴ
Καλλιόπη φάτο μῦθον ἀρηραμένη φρεσὶ θυμόν·
Ἴσχεο κωκυτοῖο, θεὰ Θέτι, μηδ' ἀλύουσα,
εἵνεκα παιδὸς ἑοῖο, θεῶν μηδέοντι καὶ ἀνδρῶν
σκύζεο· καὶ γὰρ Ζηνὸς ἐριβρεμέταο ἄνακτος
υἷες ὁμῶς ἀπόλοντο, κακῇ περὶ κηρὶ δαμέντες.
κάτθανε δ' υἱὸς ἐμεῖο, καὶ αὐτῆς ἀθανάτοιο,
Ὀρφεὺς, οὗ μολπῇσιν ἐφέσπετο πᾶσα μὲν ὕλη,
πᾶσα δ' ἄρ' ὀκρυόεσσα πέτρη, ποταμῶν τε ῥέεθρα
πνοιαί τε λιγέων ἀνέμων ἀμέγαρτον ἀέντων,
οἰωνοί τε θοῇσι διεσσύμενοι πτερύγεσσιν.
ἀλλ' ἔτλην μέγα πένθος, ἐπεὶ θεὸν οὔτιν' ἔοικεν
πένθεσι λευγαλέοισι καὶ ἄλγεϊ θυμὸν ἀχεύειν.
τῷ σε καὶ ἀχνυμένην μεθέτω γόος υἷεος ἐσθλοῦ·
καὶ γάρ οἱ κλέος αἰὲν ἐπιχθονίοισιν ἀοιδοὶ
καὶ μένος ἀείσουσιν, ἐμῇ ἰότητι καὶ ἄλλων
Πιερίδων· σὺ δὲ μή τι κελαινῷ πένθεϊ θυμὸν
δάμνασο, θηλυτέρῃσιν ἴσον γοόωσα γυναιξίν·
ἦ οὐκ ἀΐεις ὅτι πάντας, ὅσοι χθονὶ ναιετάουσιν,
ἀνθρώπους, ὀλοὴ περιπέπταται ἄσχετος Αἶσα,
οὐδὲ θεῶν ἀλέγουσα; τόσον σθένος ἔλλαχε μούνη·
ἣ καὶ νῦν Πριάμοιο πολυχρύσοιο πόληα
ἐκπέρσει, Τρώων τε καὶ Ἀργείων ὀλέσασα

ἀνέρας, ὅττε θέλῃσι· θεῶν δ' οὔτις μιν ἐρύξει.
Ὣς φάτο Καλλιόπη, πινυτὰ φρεσὶ μητιόωσα·
ἠέλιος δ' ἀπόρουσεν ἐς ὠκεανοῖο ῥέεθρα·
ὦρτο δὲ νὺξ μεγάλοιο κατ' ἠέρος ὀρφνήεσσα,
ἥ τε καὶ ἀχνυμένοισι πέλει θνητοῖσιν ὄνειαρ.
αὐτοῦ δ' ἐν ψαμάθοισιν Ἀχαιῶν ἔδραθον υἷες
ἰλαδὸν, ἀμφὶ νέκυν, μεγάλῃ βεβαρηότες ἄτῃ·
ἀλλ' οὐχ ὕπνος ἔμαρπτε θοὴν Θέτιν. ἄγχι δὲ παιδὸς
ἧστο σὺν ἀθανάτῃς Νηρηΐσιν· ἀμφὶ δὲ Μοῦσαι
ἀχνυμένην ἀνὰ θυμὸν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη,
πολλὰ παρηγορέεσκον, ὅπως λελάθοιτο γόοιο.
Ἀλλ' ὅτε καγχαλόωσα δι' αἰθέρος ἤλυθεν ἠὼς,
λαμπρότατόν τε φάος πᾶσι Τρώεσσι φέρουσα,
καὶ Πριάμῳ, Δαναοὶ δὲ, μέγ' ἀχνύμενοι, Ἀχιλῆα
κλαῖον ἐπ' ἤματα πολλὰ, περιστενάχοντο δὲ μακραὶ
ἠϊόνες πόντοιο, μέγας δ' ὀλοφύρετο Νηρεὺς,
ἦρα φέρων κούρῃ Νηρηΐδι, σὺν δέ οἱ ἄλλοι
εἰνάλιοι μύροντο θεοὶ, φθιμένου Ἀχιλῆος,
καὶ τότε δὴ μεγάλοιο νέκυν Πηληϊάδαο
Ἀργεῖοι πυρὶ δῶκαν, ἀάσπετα νηήσαντες
δοῦρα, τά οἱ φορέοντες ἀπ' οὔρεος Ἰδαίοιο
πάντες ὁμῶς ἐμόγησαν, ἐπεὶ σφέας ὀτρύνοντες
Ἀτρεΐδαι προέηκαν ἀπείριτον οἰσέμεν ὕλην,
ὄφρα θοῶς καίοιτο νέκυς κταμένου Ἀχιλῆος.
ἀμφὶ δὲ τεύχεα πολλὰ πυρῇ περινηήσαντο
αἰζηῶν κταμένων· πολλοὺς δ' ἐφύπερθε βάλοντο
Τρώων δῃώσαντες ὁμῶς περικαλλέας υἷας,
ἵππους τε χρεμέθοντας ἐϋσθενέας θ' ἅμα ταύρους,
σὺν δ' ὄϊας τε σύας τ' ἔβαλον βρίθοντας ἀλοιφῇ·

φάρεα δ' ἐκ χηλῶν φέρον ἄσπετα κωκύουσαι
δμωϊάδες, καὶ πάντα πυρῆς καθύπερθε βάλοντο·
χρυσόν τ' ἤλεκτρόν τ' ἐπενήνεον· ἀμφὶ δὲ χαίτας
Μυρμιδόνες κείραντο, νέκυν δ' ἐκάλυψαν ἄνακτος·
καὶ δ' αὐτὴ Βρισηῒς, ἀκηχεμένη περὶ νεκρῷ,
κειραμένη πλοκάμους πύματον πόρε δῶρον ἄνακτι.
πολλοὺς δ' ἀμφιφορῆας ἀλείφατος ἀμφιχέοντο·
ἄλλους δ' ἀμφὶ πυρῇ μέλιτος θέσαν, ἠδὲ καὶ οἴνου
ἡδέος, οὗ μέθυ λαρὸν ὀδώδεε νέκταρι ἶσον·
ἄλλα δὲ πολλὰ βάλοντ' εὐώδεα, θαῦμα βροτοῖσιν,
ὅσσα χθὼν φέρει ἐσθλὰ, καὶ ὁππόσα δῖα θάλασσα.
Ἀλλ' ὅτε δὴ περὶ πάγχυ πυρὴν διεκοσμήσαντο,
πεζοὶ ἅμ' ἱππήεσσι, σὺν ἔντεσιν, ἐῤῥώσαντο
ἀμφὶ πυρὴν πολύδακρυν· ὁ δ' ἔκτοθεν Οὐλύμποιο
Ζεὺς ψεκάδας κατέχευεν ὕπερ νέκυν Αἰακίδαο
ἀμβροσίας, δίῃ τε φέρων Νηρηΐδι τιμὴν
Ἑρμείην προέηκεν ἐς Αἴολον, ὄφρα καλέσσῃ
λαιψηρῶν ἀνέμων ἱερὸν μένος· ἦ γὰρ ἔμελλεν
καίεσθ' Αἰακίδαο νέκυς· τοῦ δ' αἶψα μολόντος,
Αἴολος οὐκ ἀπίθησε· καλεσσάμενος δ' ἀλεγεινὸν
καρπαλίμως Βορέην, Ζεφύροιό τε λάβρον ἀήτην,
ἐς Τροίην προέηκε, θοῇ θύοντας ἀέλλῃ·
οἱ δὲ θοῶς οἴμησαν ὕπερ πόντοιο φέρεσθαι
ῥιπῇ ἀπειρεσίῃ· περὶ δ' ἴαχεν ἐσσυμένοισι
πόντος ὁμοῦ καὶ γαῖα· περικλονέοντο δ' ὕπερθε
πάντα νέφη, μεγάλοιο δι' αἰθέρος ἀΐσσοντα.
οἱ δὲ, Διὸς βουλῇσι, δαϊκταμένου Ἀχιλῆος
αἶψα πυρῇ ἐνόρουσαν ἀολλέες· ὦρτο δ' ἀϋτμὴ
Ἡφαίστου μαλεροῖο· γόος δ' ἀλίαστος ὀρώρει

Μυρμιδόνων· ἄνεμοι δὲ, καὶ ἐσσύμενοί περ ἀέλλῃ,
πανῆμαρ καὶ νύκτα νέκυν περιποιπνύοντες,
καῖον ἐΰ πνείοντες ὁμῶς· ἀνὰ δ᾽ ἔγρετο πουλὺς
καπνὸς ἐς ἠέρα δῖον, ἐπέστενε δ᾽ ἄσπετος ὕλη
δαμναμένη πυρὶ πᾶσα, μέλαινα δ᾽ ἐγίγνετο τέφρη.
οἱ δὲ μέγ᾽ ἐκτελέσαντες ἀτειρέες ἔργον ἀῆται,
εἰς ἑὸν ἄντρον ἕκαστος ὁμοῦ νεφέεσσι φέροντο.
Μυρμιδόνες δ᾽, ὅτ᾽ ἄνακτα πελώριον, ὕστατον ἄλλων,
ἤνυσε πῦρ ἀΐδηλον, ἀποκταμένων περὶ νεκρῷ,
ἵππων τ᾽, αἰζηῶν τε, καὶ, ἄλλ᾽ ὅσα δακρυχέοντες
ὄβριμον ἀμφὶ νέκυν κειμήλια θῆκαν Ἀχαιοὶ,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ᾽ αὐτοῦ
φαίνετ᾽ ἀριφραδέως, ἐπεὶ οὐχ ἑτέροισιν ὁμοῖα
ἦν, ἀλλ᾽ οἷα γίγαντος ἀτειρέος· οὐδὲ μὲν ἄλλα
σὺν κείνοις ἐμέμικτ᾽, ἐπειὴ βόες, ἠδὲ καὶ ἵπποι,
καὶ παῖδες Τρώων, μίγδα κταμένοισι καὶ ἄλλοις,
βαιὸν ἄπωθε κέοντο περὶ νέκυν· ὃς δ᾽ ἐνὶ μέσσοις
ῥιπῇ ὑφ᾽ Ἡφαίστοιο δεδμημένος, οἶος ἔκειτο.
τοῦ δὲ καὶ ὀστέα πάντα περιστενάχοντες ἑταῖροι
ἄλλεγον ἐς χηλὸν πολυχανδέα τε βριαρήν τε,
ἀργυρέην· χρυσῷ δὲ διαυγέϊ πᾶσ᾽ ἐκέκαστο·
καὶ τὰ μὲν ἀμβροσίῃ, καὶ ἀλείφατι πάγχυ δίηναν
κοῦραι Νηρῆος, μέγ᾽ Ἀχιλλέα κυδαίνουσαι·
ἐς δὲ βοῶν δημὸν θέσαν, ἀθρόα ταρχύσασαι
σὺν μέλιτι λιαρῷ· μήτηρ δέ οἱ ἀμφιφορῆα
ὤπασε, τόν ῥα πάροιθε Διώνυσος πόρε δῶρον,
Ἡφαίστου κλυτὸν ἔργον ἐΰφρονος· ᾧ ἔνι θῆκαν
ὀστέ᾽ Ἀχιλλῆος μεγαλήτορος· ἀμφὶ δὲ τύμβον

Ἀργεῖοι καὶ σῆμα πελώριον ἀμφεβάλοντο
ἀκτῇ ἐπ' ἀκροτάτῃ παρὰ βένθεσιν Ἑλλησπόντου,
Μυρμιδόνων βασιλῆα θρασὺν περικωκύοντες.
Οὐδὲ μὲν ἄμβροτοι ἵπποι ἀταρβέος Αἰακίδαο
μίμνον ἀδάκρυτοι παρὰ νήεσιν, ἀλλὰ καὶ αὐτοὶ
μύροντο σφετέροιο δαϊκταμένου βασιλῆος·
οὐδ' ἔθελον μογεροῖσιν ἔτ' ἀνδράσιν, οὐδὲ μὲν ἵπποις
μίσγεσθ' Ἀργείων, ὀλοὸν πέρι πένθος ἔχοντες,
ἀλλ' ὑπὲρ ὠκεανοῖο ῥοὰς, καὶ Τηθύος ἄντρα,
ἀνθρώπων ἀπάτερθεν ὀϊζυρῶν, φορέεσθαι,
ἧχι σφέας τοπάροιθεν ἐγείνατο δῖα Ποδάργη,
ἄμφω ἀελλόποδας, Ζεφύρῳ κελάδοντι μιγεῖσα.
καί νύ κεν αἶψ' ἐτέλεσσαν ὅσα σφίσι μήδετο θυμός,
εἰ μὴ σφέας κατέρυξε θεῶν νόος, ὄφρ' Ἀχιλῆος
ἔλθοι ἀπὸ Σκύροιο θοὸς πάϊς, ὃν ῥα καὶ αὐτοὶ
δέχνυνθ', ὁππόθ' ἵκοιτο ποτὶ στρατόν· οὕνεκ' ἄρα σφιν
θέσφατα γιγνομένοισι Χάους ἱεροῖο θύγατρες
Μοῖραι ἐπεκλώσαντο, καὶ ἀθανάτοις περ ἐοῦσι
πρῶτα Ποσειδάωνι δαμήμεναι· αὐτὰρ ἔπειτα
θαρσαλέῳ Πηλῆϊ, καὶ ἀκαμάτῳ Ἀχιλῆϊ·
τέτρατον αὖτ' ἐπὶ τοῖσι, Νεοπτολέμῳ μεγαθύμῳ,
τὸν καὶ ἐς Ἠλύσιον πεδίον μετόπισθεν ἔμελλον
Ζηνὸς ὑπ' ἐννεσίῃσι φέρειν, μακάρων ἐπὶ γαῖαν·
τοὔνεκα, καὶ στυγερῇ βεβολημένοι ἦτορ ἀνίῃ,
μίμνον πὰρ νήεσσιν, ἑὸν κατὰ θυμὸν ἄνακτα
τὸν μὲν ἀκηχέμενοι, τὸν δ' αὖ ποθέοντες ἰδέσθαι.
Καὶ τότ' ἐριγδούποιο λιπὼν ἁλὸς ὄβριμον οἶδμα,
ἤλυθεν Ἐννοσίγαιος ἐπ' ἠόνας· οὐδέ μιν ἄνδρες
ἔδρακον, ἀλλὰ θεῇσι παρίσατο Νηρηΐνῃς·

καί ῥα Θέτιν προσέειπεν ἔτ' ἀχνυμένην Ἀχιλῆος·
Ἴσχεο νῦν περὶ παιδὸς ἀπειρέσιον γοόωσα·
οὐ γάρ ὅγε φθιμένοισι μετέσσεται, ἀλλὰ θεοῖσιν,
ὡς ἠΰς Διόνυσος, ἰδὲ σθένος Ἡρακλῆος.
οὐ γάρ μιν μόρος αἰνὸς ὑπὸ ζόφον αἰὲν ἐρύξει,
οὐδ' Ἀΐδης, ἀλλ' αἶψα καὶ ἐς Διὸς ἵξεται αὐγάς·
καί οἱ δῶρον ἔγω γε θεουδέα νῆσον ὀπάσσω
Εὔξεινον κατὰ πόντον, ὅπῃ θεὸς ἔσσεται αἰὲν
σὸς πάϊς· ἀμφὶ δὲ φῦλα περικτιόνων μέγα λαῶν
κεῖνον κυδαίνοντα θυηπολίῃς ἐρατεινῆς,
ἶσον ἐμοὶ τίσουσι· σὺ δ' ἴσχεο κωκύουσα
ἐσσυμένως, καὶ μή τι χαλέπτεο πένθεϊ θυμόν.
Ὣς εἰπὼν, ἐπὶ πόντον ἀπήϊεν εἴκελος αὔρῃ,
παρφάμενος μύθοισι Θέτιν· τῆς δ' ἐν φρεσὶ θυμὸς
βαιὸν ἀνέπνευσεν. τὰ μέν οἱ θεὸς ἐξετέλεσσεν·
Ἀργεῖοι δὲ γοῶντες ἀπήϊον, ἧχι ἑκάστῳ
νῆες ἔσαν, τὰς ἦγον ἀφ' Ἑλλάδος· αἱ δ' Ἑλικῶνα
Πιερίδες νίσσοντο, καὶ εἰς ἅλα Νηρηΐναι
δῦσαν, ἑὸν στενάχουσαι ἐΰφρονα Πηλείωνα.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Δ.

Οὐδὲ μὲν Ἱππολόχοιο δαΐφρονος ὄβριμον υἱὸν
Τρῶες ἀδάκρυτον δειλοὶ λίπον, ἀλλὰ καὶ αὐτοὶ
Δαρδανίης προπάροιθε πύλης ἐρικυδέα φῶτα
πυρκαϊῆς καθύπερθε βάλον· τὸν δ' αὐτὸς Ἀπόλλων
ἐκ πυρὸς αἰθομένοιο μάλ' ἐσσυμένως ἀναείρας,
δῶκε θοοῖς Ἀνέμοισι φέρειν Λυκίης σχεδὸν αἴης·
οἵ δέ μιν αἶψ' ἀπένεικαν ὑπ' ἄγκεα Τηλάνδροιο
χῶρον ἐς ἱμερόεντα, πέτρην δ' ἐφύπερθε βάλοντο
ἄῤῥηκτον· Νύμφαι δὲ περίβλυσαν ἱερὸν ὕδωρ
ἀενάου ποταμοῖο, τὸν εἰσέτι φῦλ' ἀνθρώπων
Γλαῦκον ἐπικλείουσιν ἐΰῤῥοον· ἀλλὰ τὰ μέν που
ἀθάνατοι τεῦξαντο γέρας Λυκίων βασιλῆϊ·
Ἀργεῖοι δ' ἐρίθυμον ἀνεστενάχοντ' Ἀχιλῆα
νηυσὶ παρ' ὠκυπόροισιν· ἔτειρε δὲ πάντας ἀνίη
λευγαλέη, καὶ πένθος, ἐπεί ῥά μιν ὡς ἑὸν υἷα
δίζοντ', οὐδέ τις ἦεν ἀνὰ στρατὸν εὐρὺν ἄδακρυς·
Τρῶες δ' αὖ ἀλίαστον ἐγήθεον, εἰσορόωντες
τοὺς μὲν ἀκηχεμένους, τὸν δ' ἐν πυρὶ δῃωθέντα·
καί τις ἐπευχόμενος, μῦθον ποτὶ τοῖον ἔειπεν·

Νῦν πάντεσσιν ἄελπτον ἀπ' Οὐλύμποιο Κρονίων
ἡμῖν ὤπασε χάρμα, λιλαιομένοισιν ἰδέσθαι
ἐν Τροίῃ Ἀχιλῆα δεδουπότα· ἦ γὰρ ὀΐω
βλημένου ἀμπνεύσειν Τρώων ἐρικυδέα φῦλα,
αἵματος ἐξ ὀλοοῖο, καὶ ἀνδροφόνου ὑσμίνης·
αἰεὶ γάρ οἱ χερσὶν ἐμαίνετο λοίγιον ἔγχος,
λύθρῳ ὑπ' ἀργαλέῳ πεπαλαγμένον· οὐδέ τις ἡμέων
κείνῳ ἔναντ' ἐλθὼν, ἔτ' ἐπέδρακεν Ἠριγένειαν·
νῦν δ' ὀΐω φεύξεσθαι Ἀχαιῶν ὄβριμα τέκνα
νηυσὶν ἐϋπρώροισι, δαϊκταμένου Ἀχιλῆος·
ὡς ὄφελον μένος ἦεν ἔθ' Ἕκτορος, ὄφρ' ἅμα πάντας
Ἀργείους σφετέρῃσιν ἐνὶ κλισίῃσιν ὀλέσσῃ.
Ὣς ἄρ' ἔφη Τρώων τις, ἐνὶ φρεσὶ πάγχυ γεγηθώς·
ἄλλος δ' αὖ ἑτέρωθε, πύκα φρονέων, φάτο μῦθον·
Φῆσθα σὺ μὲν Δαναῶν ὀλοὸν στρατὸν ἔνδοθι νηῶν
πόντον ἐπ' ἠερόεντα, πεφυζότας αἶψα νέεσθαι·
ἀλλ' οὐ μὰν δείσουσι, λιλαιόμενοι μέγα χάρμης·
εἰσὶν γὰρ κρατεροί τε καὶ ὄβριμοι ἀνέρες ἄλλοι,
Τυδείδης, Αἴας τε, καὶ Ἀτρέος ὄβριμοι υἷες·
τοὺς ἔτ' ἐγὼ δείδοικα, κατακταμένου Ἀχιλῆος.
τοὺς εἴθ' ἀργυρότοξυς ἀναιρήσειεν Ἀπόλλων,
καί κεν ἀνάπνευσις πολέμου, καὶ ἀεικέος οἴτου,
ἡμῖν εὐχομένοισιν ἐλεύσεται ἤματι κείνῳ.
Ὣς ἔφατ'· ἀθάνατοι δὲ κατ' οὐρανὸν ἐστενάχοντο,
ὅσσοι ἔσαν Δαναοῖσιν ἐϋσθενέεσσιν ἀρωγοί·
ἀμφὶ δὲ κρᾶτ' ἐκάλυψαν ἀπειρεσίοις νεφέεσσι,
θυμὸν ἀκηχέμενοι· ἑτέρωθε δ' ἐγήθεον ἄλλοι,
εὐχόμενοι Τρώεσσι πέρας θυμηδὲς ὀρέξαι.
καὶ τότε δὴ Κρονίωνα κλυτὴ προσεφώνεεν Ἥρη·

Ζεῦ πάτερ ἀργικέραυνε, τίη Τρώεσσιν ἀρήγεις,
κούρης ἠϋκόμοιο λελασμένος, ἥν ῥα πάροιθεν
ἀντιθέῳ Πηλῆϊ πόρες θυμήρε' ἄκοιτιν,
Πηλίου ἐν βήσσῃσι; γάμον δέ οἱ αὐτὸς ἔτευξας
ἄμβροτον· οἱ δέ νυ πάντες ἐδαινύμεθ' ἤματι κείνῳ
ἀθάνατοι, καὶ πολλὰ δόμεν περικαλλέα δῶρα·
ἀλλὰ τά γ' ἐξελάθου· μέγα δ' Ἑλλάδι μήσαο πένθος.
Ὣς ἄρ' ἔφη· τὴν δ' οὔτι προσέννεπεν ἀκάματος Ζεύς·
ἧστο γὰρ ἀχνύμενος κραδίην, καὶ πολλὰ μενοινῶν,
οὕνεκεν ἤμελλον Πριάμου πόλιν ἐξαλαπάξειν
Ἀργεῖοι, τοῖς αἰνὸν ἐμήδετο λοιγὸν ὀπάσσαι
ἐν πολέμῳ στονόεντι, καὶ ἐν βαρυηχέϊ πόντῳ·
καὶ τὰ μὲν ὣς ὥρμαινε, τὰ δὴ μετόπισθε τέλεσσεν.
Ἠὼς δ' ὠκεανοῖο βαθὺν ῥόον εἰσαφίκανεν·
κυανέην δ' ἄρα γαῖαν ἐπήϊεν ἄσπετος ὄρφνη,
ἦμος ἀναπνείουσι βροτοὶ βαιὸν καμάτοιο·
Ἀργεῖοι δ' ἐπὶ νηυσὶν ἐδόρπεον, ἀχνύμενοί περ.
οὐ γὰρ νηδύος ἐστὶν ἀπωσέμεναι μεμαυίης
λιμὸν ἀταρτηρὸν, ὁπόταν στέρνοισιν ἵκηται,
ἀλλ' εἶθαρ θοὰ γυῖα βαρύνεται, οὐδέ τι μῆχος
γίγνεται, ἢν μή τις κορέσῃ θυμαλγέα νηδύν·
τοὔνεκα δῆτ' ἐπάσαντο, καὶ ἀχνύμενοι Ἀχιλῆος·
αἰνὴ γὰρ μάλα πάντας ἐποτρύνεσκεν ἀνάγκη.
τοῖσι δὲ πασσαμένοισιν ἐπήλυθε νήδυμος ὕπνος,
λῦσε δ' ἀπὸ μελέων ὀδύνας, ἐπὶ δὲ σθένος ὦρσεν.
Ἀλλ' ὅτε δὴ κεφαλὰς μὲν ἐπ' ἀντολίην ἔχον ἄρκτοι,
δέγμεναι ἠελίοιο θοὸν φάος, ἔγρετο δ' Ἠώς,
δὴ τότ' ἀνέγρετο λαὸς ἐϋσθενέων Ἀργείων,
πορφύρων Τρώεσσι φόνον, καὶ κῆρ' ἀΐδηλον·

κίνυτο δ' ἠΰτε πόντος ἀπείριτος Ἰκαρίοιο,
ἠδὲ καὶ αὐαλέον βαθὺ λήϊον, ὁππόθ' ἵκηται
ῥιπὴ ἀπειρεσίη νεφεληγερέος Ζεφύροιο.
ὣς ἄρα κίνυτο λαὸς ἐπ' ᾐόσιν Ἑλλησπόντου.
καὶ τότε Τυδέος υἱὸς ἐελδομένοισιν ἔειπεν·
Ὦ φίλοι, εἰ ἐτεόν γε μενεπτόλεμοι πελόμεσθα,
νῦν μᾶλλον στυγεροῖσι μαχώμεθα δυσμενέεσσι,
μή πως θαρσήσωσιν, Ἀχιλλέος οὐκ ἔτ' ἐόντος·
ἀλλ' ἄγε σὺν τεύχεσσι καὶ ἅρμασιν, ἠδὲ καὶ ἵπποις
ἴομεν ἀμφὶ πόληα· πόνος δ' ἄρα κῦδος ὀρέξει.
Ὣς ἔφατ' ἐν Δαναοῖσιν. ἀμείβετο δ' ὄβριμος Αἴας·
Τυδείδη, σὺ μὲν ἐσθλὰ καὶ οὐκ ἀνεμώλια βάζεις,
ὀτρύνων Τρώεσσιν ἐϋπτολέμοισι μάχεσθαι
ἀγχεμάχους Δαναούς, οἵπερ μεμάασι καὶ αὐτοί·
ἀλλὰ χρὴ ἐν νήεσσι μένειν, ἄχρις ἐξ ἁλὸς ἔλθῃ
δῖα Θέτις· μάλα γάρ οἱ ἐνὶ φρεσὶν ἥδεται ἦτορ
υἷεος ἀμφὶ τάφῳ περικαλλέα θεῖναι ἄεθλα·
ὣς χθιζή μοι ἔειπεν, ὅτ' εἰς ἁλὸς ἤϊε βένθος,
νόσφ' ἄλλων Δαναῶν· καί ἑ σχεδὸν ἔλπομαι εἶναι
ἐσσυμένην. Τρῶες δὲ, καὶ εἰ θάνε Πηλέος υἱός,
οὐ μάλα θαρσήσουσιν, ἔτι ζώοντος ἐμεῖο,
καί σεύ, ἠδὲ καὶ αὐτοῦ ἀμύμονος Ἀτρείδαο.
Ὣς ἄρ' ἔφη Τελαμῶνος ἐῢς πάϊς, οὐδέ τι ᾔδη
ὅττι ῥά οἱ μετ' ἄεθλα κακὸς μόρον ἔντυε δαίμων
ἀργαλέον· τὸν δ' αὖθις ἀμείβετο Τυδέος υἱός·
Ὦ φίλος, εἰ ἐτεὸν Θέτις ἔρχεται ἤματι τῷδε
υἷεος ἀμφὶ τάφῳ περικαλλέα θεῖναι ἄεθλα,
πὰρ νήεσσι μένωμεν, ἐρυκανόωντε καὶ ἄλλους·
καὶ γὰρ δὴ μακάρεσσι θεοῖς πείθεσθαι ἔοικε·

καὶ δ' ἄλλως Ἀχιλῆϊ, καὶ ἀθανάτων ἀέκητι,
αὐτοὶ φραζώμεσθα δόμεν θυμηδέα τιμήν.
Ὣς φάτο Τυδείδαο δαΐφρονος ὄβριμον ἦτορ·
καὶ τότ' ἄρ' ἐκ πόντοιο κίεν Πηλῆος ἄκοιτις,
αὔρῃ ὑπηώῃ ἐναλίγκιος· αἶψα δ' ἵκανεν
Ἀργείων ἐς ὅμιλον, ὅπῃ μεμαῶτες ἔμιμνον,
οἱ μὲν ἀεθλεύσοντες ἀπειρεσίῳ ἐν ἀγῶνι,
οἱ δὲ φρένας καὶ θυμὸν ἀεθλητῆρσιν ἰῆναι·
τοῖσι δ' ἄμ' ἀγρομένοισι Θέτις κυανοκρήδεμνος
θῆκεν ἄεθλα φέρουσα, καὶ ὀτρύνεσκεν Ἀχαιοὺς
αὐτίκ' ἀεθλεύειν· τοὶ δ' ἀθανάτῃ πεπίθοντο.
Πρῶτος δ' ἐν μέσσοισιν ἀνίστατο Νηλέος υἱός,
οὐ μὲν πυγμαχίῃσι λιλαιόμενος πονέεσθαι,
οὔτε παλαισμοσύνῃ πολυτειρεῖ· τοῦ γὰρ ὕπερθε
γυῖα καὶ ἅψεα πάντα λυγρὸν κατεδάμνατο γῆρας·
ἀλλά οἱ ἐν στέρνοισιν ἔτ' ἔμπεδος ἔπλετο θυμὸς
καὶ νόος· οὐδέ τις ἄλλος ἐριδμαίνεσκεν Ἀχαιῶν
κείνῳ, ὅτ' εἰν ἀγορῇ ἐπέων πέρι δῆρις ἐτύχθη·
τῷ καὶ Λαέρταο κλυτὸς πάϊς εἵνεκα μύθων
εἰν ἀγορῇ ὑπόεικε, καί, ὃς βασιλεύτατος ἦεν
πάντων Ἀργείων, μέγ' ἐϋμμελίης Ἀγαμέμνων·
τοὔνεκ' ἐνὶ μέσσοισιν ἐΰφρονα Νηρηΐνην
ὕμνεεν, ὡς πάσῃσι μετέπρεπεν εἰναλίῃσιν,
εἵνεκ' ἐϋφροσύνης, καὶ εἴδεος· ἡ δ' ἀΐουσα
τέρπεθ'· ὁ δ' ἱμερόεντα γάμον Πηλῆος ἔνισπε,
τόν ῥά οἱ ἀθάνατοι μάκαρες συνετεκτήναντο
Πηλίου ἀμφὶ κάρηνα· καὶ ἄμβροτον ὡς ἐπάσαντο
δαῖτα παρ' εἰλαπίνῃσιν, ὅτ' εἴδατα θεῖα φέρουσαι
χερσὶν ὑπ' ἀμβροσίῃσι θεαὶ παρενήνεον Ὧραι·

χρυσείοις κανέοισι, Θέμις δ' ἄρα καγχαλόωσα,
ἀργυρέας ἐτίταινεν ἐπισπέρχουσα τραπέζας,
πῦρ δ' Ἥφαιστος ἔκαιεν ἀκήρατον, ἀμφὶ δὲ Νύμφαι
ἀμβροσίην ἐκέραιρον ἐνὶ χρυσέοισι κυπέλλοις,
αἳ δ' ἄρ' ἐς ὀρχηθμὸν Χάριτες τράπεν ἱμερόεντα,
Μοῦσαι δ' ἐς μολπὴν, ἐπετέρπετο δ' οὔρεα πάντα,
καὶ ποταμοὶ, καὶ θῆρες, ἰαίνετο δ' ἄφθιτος αἰθὴρ,
ἄντρα τε Χείρωνος περικαλλέα, καὶ θεοὶ αὐτοί.
Καὶ τὰ μὲν ἄρ Νηλῆος ἐῢς πάϊς Ἀργείοισι
πάντα μάλ' ἱεμένοις κατελέξατο· τοὶ δ' ἀΐοντες
τέρπονθ', ὅσσ' Ἀχιλῆος ἀμύμονος ἄφθιτα ἔργα
μέλπε μέσῳ ἐν ἀγῶνι· πολὺς δ' ἀμφίαχε λαὸς
ἀσπασίως· ὁ δ' ἄρ' ἔνθεν ἑλὼν ἐρικύδεα φῶτα
ἐκπάγλως κύδαινεν ἀρηραμένοις ἐπέεσσιν·
δώδεχ' ὅπως διέπερσε κατὰ πλόον ἄστεα φωτῶν,
ἕνδεκα δ' αὖ κατὰ γαῖαν ἀπείριτον· ὡς ἐδάϊξεν
Τήλεφον, ἠδὲ βίην ἐρικυδέος Ἠετίωνος
Θήβης ἐν δαπέδοισι, καὶ ὡς Κύκνον ἔκτανε δουρὶ
υἷα Ποσειδάωνος, ἰδ' ἀντίθεον Πολύδωρον,
καὶ Τρώϊλον θηητὸν, ἀμύμονά τ' Ἀστεροπαῖον·
αἵματι δ' ὡς ἐρύθηνεν ἄδην ποταμοῖο ῥέεθρα
Ξάνθου, καὶ νεκύεσσιν ἀπειρεσίοισι κάλυψεν
πάντα ῥόον κελάδοντα, Λυκάονος ὁππότε θυμὸν
νοσφίσατ' ἐκ μελέων, ποταμοῦ σχεδὸν ἠχήεντος·
Ἕκτορά θ' ὡς ἐδάμασσε, καὶ ὡς ἕλε Πενθεσίλειαν,
ἠδὲ καὶ υἷεα δῖον ἐϋθρόνου Ἠριγενείης.
καὶ τὰ μὲν Ἀργείοισιν ἐπισταμένοισι καὶ αὐτοῖς
μέλπε, καὶ ὡς ἐτέτυκτο πελώριος, ὥς τέ οἱ οὔτις
ἴσθενε δηριάασθαι ἐναντίον, οὔτ' ἐν ἀέθλοις

αἰζηῶν, ὅτε ποσσὶ νέοι περιδηριόωνται,
οὐδὲ μὲν ἱππασίῃ, οὐδὲ σταδίῃ ἐνὶ χάρμῃ·
κάλλεϊ θ' ὡς Δαναοὺς μέγ' ὑπείρεχεν, ὥς τέ οἱ ἀλ-
ἔπλετ' ἀπειρεσίη, ὁπότ' Ἄρεος ἔσσυτο δῆρις·
εὔχετο δ' ἀθανάτοισι, καὶ υἱέα τοῖον ἰδέσθαι
κείνου, ἀπὸ Σκύροιο πολυκλύστοιο μολόντα.
Ἀργεῖοι δ' ἄρα πᾶσιν ἐπευφήμησαν ἔπεσσιν,
αὐτή τ' ἀργυρόπεζα Θέτις, καί οἱ πόρεν ἵππους
ὠκύποδας, τοὺς πρόσθεν ἐϋμμελίῃ Ἀχιλῆϊ
Τήλεφος ὤπασε δῶρον ἐπὶ προχοῇσι Καΐκου,
εὖτέ ἑ μοχθίζοντα κακῷ περὶ ἕλκεϊ θυμὸν
ἠκέσατ' ἐγχείῃ, τῇ μιν βάλε δηριόωντα
αὐτὸς ἔσω μηροῖο· διήλασε δ' ὄβριμον αἰχμήν.
καὶ τοὺς μὲν Νέστωρ Νηλήϊος οἷς ἑτάροισιν
ὤπασεν· οἱ δ' ἐς νῆας ἄγον μέγα κυδαίνοντες
ἀντίθεον βασιλῆα. Θέτις δ' ἐς μέσσον ἀγῶνα
θῆκεν ἄρ' ἀμφὶ δρόμοιο βόας δέκα· τῇσι δὲ πάσῃς
καλαὶ πόρτιες ἦσαν ὑπὸ μαζοῖσιν ἰοῦσαι·
τάς ποτε Πηλεΐδαο θρασὺ σθένος ἀκαμάτοιο
ἤλασεν ἐξ Ἴδης, μεγάλῳ περὶ δουρὶ πεποιθώς.
Τῶν πέρι οἵδε ἀνέσταν, ἐελδόμενοι μέγα νίκης·
Τεῦκρος μὲν πρῶτος Τελαμώνιος, ἠδὲ καὶ Αἴας,
Αἴας, ὅς τε Λοκροῖσι μετέπρεπεν ἰοβόλοισιν·
ἀμφὶ δ' ἄρα ζώσαντο θοῶς περὶ μήδεα χερσὶν
φάρεα· πάντα δ' ἔνερθεν, ἅπερ θέμις, ἐκρύψαντο
αἰδόμενοι Πηλῆος ἐϋσθενέος παράκοιτιν,
ἄλλας τ' εἰναλίας Νηρηΐδας, ὅσσαι ἅμ' αὐτῇ
ἤλυθον, Ἀργείων κρατεροὺς ἐσιδέσθαι ἀέθλους.
τοῖσι δὲ σημαίνεσκε δρόμου τέλος ὠκυτάτοιο·

Ἀτρείδης, ὃς πᾶσι μετ' Ἀργείοισιν ἄνασσε
τοὺς δ' Ἔρις ὠτρύνεσκεν ἀκήρατος. οἱ δ' ἀπὸ νύσσης
καρπαλίμως οἴμησαν, ἐοικότες ἰρήκεσσιν
τῶν δὲ καὶ ἀμφήριστος ἔην δρόμος· οἱ δ' ἑκάτερθεν
Ἀργεῖοι λεύσσοντες ἐπίαχον, ἄλλυδις ἄλλος.
ἀλλ' ὅτε τέρματ' ἔμελλον ἱκανέμεναι μεμαῶτες,
δὴ τότε που Τεύκροιο μένος καὶ γυῖα πέδησαν
ἀθάνατοι· τὸν γάρ ῥα θεὸς βάλεν, ἠέ τις ἄτη
ὄζον ἐς ἀλγινόεντα βαθυῤῥίζοιο μυρίκης·
τῷ δ' ἄρ' ἐνιχριμφθεὶς, χαμάδις πέσε· τοῦ δ' ἀλεγεινῶς
ἄκρον ἀνεγνάμφθη λαιοῦ ποδὸς, αἱ δ' ὑπανέσταν
οἰδαλέαι ἑκάτερθε περὶ φλέβες· οἱ δ' ἰάχησαν
Ἀργεῖοι κατ' ἀγῶνα· παρήϊξεν δέ μιν Αἴας
γηθόσυνος· λαοὶ δὲ συνέδραμον, οἵ οἱ ἕποντο,
Λοκροί· αἶψα δὲ χάρμα περὶ φρένας ἤλυθε πάντων·
ἐκ δ' ἔλασαν μετὰ νῆας ἄγειν βόας, ὄφρα νέμωνται.
Τεῦκρον δ' ἐσσυμένως ἕταροι περιποιπνύοντες,
ἦγον ἐπισκάζοντα· θοῶς δέ οἱ ἰητῆρες
ἐκ ποδὸς αἷμ' ἀφέλοντο, θέσαν δ' ἐφύπερθε μοτάων
εἴρια, συνδεύσαντες ἀλείφασιν· ἀμφὶ δὲ μίτρην
δῆσαντ' ἐνδυκέως· ὀλοὰς δ' ἐκέδασσαν ἀνίας.
Ἄλλω δ' αὖθ' ἑτέρωθε παλαισμοσύνης ὑπερόπλου
καρπαλίμως μνώοντο δύω κρατερόφρονε φῶτε,
Τυδέος ἱπποδάμοιο πάϊς, καὶ ὑπέρβιος Αἴας,
οἵ ῥ' ἴσαν ἐς μέσσον· θάμβος δ' ἔχεν ἀθρήσαντας
Ἀργείους· ἄμφω γὰρ ἔσαν μακάρεσσιν ὁμοῖοι·
σὺν δ' ἔβαλον θήρεσσιν ἐοικότες, οἵ τ' ἐν ὄρεσσιν
ἀμφ' ἐλάφοιο μάχονται, ἐδητύος ἰσχανόωντες·
ἶσον δ' ἀμφοτέροισι πέλει σθένος· οὐδέ τις αὐτῶν

ἄλλη δ᾽ αὖ μετὰ δόρπον ὕδωρ ἐπέχευε χέρεσσι·
ἡ δ᾽ ἑτέρη ἀπὸ δαιτὸς ἀεὶ φορέεσκε τράπεζαν·
τὰς δ᾽ ἄρα Τυδείδαο μένος καὶ ὑπέρβιος Αἴας,
δασσάμενοι, προέηκαν ἐϋπρώρους ἐπὶ νῆας.
Ἀμφὶ δὲ πυγμαχίης πρῶτον σθένος Ἰδομενῆος
ὦρνυτ᾽, ἐπεί οἱ θυμὸς ἴδρις πέλε παντὸς ἀέθλου·
τῷ δ᾽ οὔτις κατέναντα κίεν· μάλα γάρ μιν ἅπαντες
αἰδόμενοι ὑπόειξαν, ἐπεί ῥα γεραίτερος ἦεν·
τῷ δ᾽ ἄρ᾽ ἐνὶ μέσσοισι Θέτις πόρεν ἅρμα, καὶ ἵππους
ὠκύποδας, τοὺς πρόσθε βίη μεγάλου Πατρόκλοιο
ἤλασεν ἐκ Τρώων, Σαρπηδόνα δῖον ὀλέσσας·
καὶ τοὺς μὲν θεράποντι πόρεν ποτὶ νῆας ἄγεσθαι
Ἰδομενεύς· αὐτὸς δὲ κλυτῷ ἐν ἀγῶνι μένεσκε.
Φοῖνιξ δ᾽ Ἀργείοισιν ἐϋσθενέεσσι μετηύδα·
Νῦν μὲν ἄρ᾽ Ἰδομενῆϊ θεοὶ δόσαν ἐσθλὸν ἄεθλον
αὔτως, οὐ κάμνοντι βίῃ καὶ χερσὶ καὶ ὤμοις,
ἀλλ᾽ ἄρ᾽ ἀναιμωτὶ, προγενέστερον ἄνδρα τίοντες·
ἀλλ᾽ ἄλλοι νέοι ἄνδρες ἐπεντύνεσθε ἄεθλον,
χεῖρας ἐπ᾽ ἀλλήλοισι δαήμονας ἰθύνοντες
πυγμαχίης, καὶ θυμὸν ἰήνατε Πηλείωνος.
Ὣς φάτο· τοὶ δ᾽ ἀΐοντες, ἐπέδρακον ἀλλήλοισιν·
ἦκα δὲ πάντες ἔμιμνον ἀναινόμενοι τὸν ἄεθλον,
εἰ μὴ σφέας ἐνένισπεν ἀγαυοῦ Νηλέος υἱός·
Ὦ φίλοι, οὔτι ἔοικε δαήμονας ἄνδρας ἀϋτῆς,
πυγμαχίην ἀλέασθαι ἐπήρατον, ἥ τε νέοισι
τερπωλὴ πέλεται, καμάτῳ δ᾽ ἐπὶ κῦδος ἀγινεῖ.
ὣς εἴθ᾽ ἐν γυίοισιν ἐμοῖς ἔτι κάρτος ἔκειτο,
οἷον ὅτ᾽ ἀντίθεον Πελίην κατεθάπτομεν ἡμεῖς,
αὐτὸς ἐγὼ, καὶ Ἄκαστος, ἀνεψιοὶ, εἰς ἓν ἰόντες,

ὁππότ' ἄρ' ἀμφήριστος ἐγὼ Πολυδεύκεϊ δίῳ
πυγμαχίῃ γενόμην, ἔλαβον δέ οἱ ἶσον ἄεθλον·
ἐν δὲ παλαισμοσύνῃ με, καὶ ὁ κρατερώτερος ἄλλων
Ἀγκαῖος θάμβησε καὶ ἔτρεσεν· οὐδέ μοι ἔτλη
ἀντίον ἐλθέμεναι νίκης ὕπερ, οὕνεκ' ἄρ' αὐτὸν
ἤδη που τοπάροιθε παρ' ἀγχεμάχοισιν Ἐπειοῖς
νίκησ' ἠῢν ἐόντα· πεσὼν δ' ἐκονίσσατο νῶτα,
σῆμα παρὰ φθιμένου Ἀμαρυγκέος, ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλοὶ θηήσαντο βίην, καὶ κάρτος ἐμεῖο·
τῷ νύ μοι οὐκ ἔτι κεῖνος ἐναντίον ἤρατο χεῖρας,
καὶ κρατερός περ ἐών· ἔλαβον δ' ἀκόνιτος ἄεθλον.
νῦν δέ με γῆρας ἔπεισι, καὶ ἄλγεα· τοὔνεκ' ἄνωγα
ὑμέας, οἷσιν ἔοικεν, ἀέθλια χερσὶ φέρεσθαι·
κῦδος γὰρ νέῳ ἀνδρὶ φέρειν ἀπ' ἀγῶνος ἄεθλον.
Ὣς φαμένοιο γέροντος ἀνίστατο θαρσαλέος φώς,
υἱὸς ὑπερθύμοιο καὶ ἀντιθέου Πανοπῆος,
ὅς τε καὶ ἵππον ἔτευξε, κακὸν Πριάμοιο πόληϊ,
ὕστερον· ἀλλ' οὔθ' οἵ τις ἐτόλμα ἔνεγγυς ἱκέσθαι
εἵνεκα πυγμαχίης· πολέμου δ' οὐ πάγχυ δαήμων
ἔπλετο λευγαλέου, ὁπότ' Ἄρεος ἔσσυτο δῆρις.
καί κεν ἀνιδρωτὶ περικαλλέα δῖος Ἐπειὸς
ἤμελλεν τότ' ἄεθλα φέρειν ποτὶ νῆας Ἀχαιῶν,
εἰ μή οἱ σχεδὸν ἦλθεν ἀγαυοῦ Θησέος υἱός,
αἰχμητὴς Ἀκάμας· μέγα δ' ἐν φρεσὶ κάρτος ἀέξων
ἀζαλέους ἱμάντας ἔχεν περὶ χερσὶ θοῇσι,
τούς οἱ ἐπισταμένως Εὐηνορίδης Ἀγέλαος
ἀμφέβαλεν παλάμῃσιν, ἐποτρύνων βασιλῆα·
ὣς δ' αὔτως ἕταροι Πανοπηϊάδαο ἄνακτος
θαρσύνεσκον Ἐπειόν· ὁ δ' ἐν μέσσοισι, λέων ὥς,

εἱστήκει, περὶ χερσὶν ἔχων βοὸς ἶφι δαμέντος
ῥινοὺς ἀζαλέας· μέγα δ' ἴαχον ἔνθα καὶ ἔνθα
λαοί, ἐποτρύνοντες ἐϋσθενέων μένος ἀνδρῶν
μῖξαι ἐν αἵματι χεῖρας ἀτειρέας· οἱ δὲ καὶ αὐτοὶ
ἔσταν μαιμώωντες ἐνὶ ξυνοχῇσιν ἀγῶνος,
ἄμφω χεῖρας ἑὰς πειρώμενοι, εἴπερ ἔασιν
ὡς ποτ' ἐΰτρόχαλοι, μήδ' ἐκ πολέμου βαρύθοιεν·
αἶψα δ' ἄρ' ἀλλήλοισι καταντία χεῖρας ἄειραν
ταρφέα παπταίνοντες· ἐπ' ἀκροτάτοις δὲ πόδεσσι
βαίνοντες, κατὰ βαιὸν ἑὸν γόνυ γουνὸς ἄμειβον,
ἀλλήλων ἐπὶ δηρὸν ἀλευόμενοι μέγα κάρτος·
σὺν δ' ἔβαλον νεφέλῃσιν ἐοικότες αἰψηρῇσιν,
αἵτ' ἀνέμων ῥιπῇσιν ἐπ' ἀλλήλῃσι θοροῦσαι,
ἀστεροπὴν προϊᾶσι, μέγας δ' ὀροθύνεται αἰθὴρ
θεινομένων νεφέων, βαρὺ δὲ κτυπέουσιν ἄελλαι·
ὣς τῶν ἀζαλέῃσι περικτυπέοντο γένεια
ῥινοῖς· αἷμα δὲ πουλὺ κατέῤῥεεν· ἐκ δὲ μετώπων,
ἱδρὼς αἱματόεις θαλερὰς ἐρύθαινε παρειάς·
οἱ δ' ἄμοτον πονέοντο μεμαότες· οὐδ' ἄρ' Ἐπειὸς
λῆγεν, ἐπέσσυτο δ' αἰὲν ἑῷ περὶ κάρτεϊ θύων·
τὸν δ' ἄρα Θησέος υἱός, ἐΰφρονέων ἐν ἀέθλῳ,
πολλάκις ἐς κενεὸν κρατερὰς χέρας ἰθύνεσθαι
θῆκε· καὶ ἰδρείῃσι διατμήξας ἑκάτερθε
χεῖρας, ἐς ὀφρύα τύψεν ἐπάλμενος, ἄχρις ἱκέσθαι
ὀστέον. ἐκ δέ οἱ αἷμα κατέῤῥεεν ὀφθαλμοῖο·
ἀλλὰ καὶ ὣς Ἀκάμαντα, βαρείῃ χειρὶ τυχήσας,
τύψε κατὰ κροτάφοιο· χαμαὶ δέ οἱ ἤλασε γυῖα·
αὐτὰρ ὅγ' αἶψ' ἀνόρουσε, καὶ ἔνθορε φωτὶ κραταιῷ
πλῆξε δέ οἱ κεφαλήν· ὁ δ' ἄρ' ἔμπαλιν ἀΐσσοντος,

βαιὸν ὑποκλίνας, σκαιῇ χειρὶ τύψε μέτωπον·
ἄλλῃ δ' ἤλασε ῥῖνας ἐπάλμενος· ὣς δὲ καὶ αὐτὸς
μήτεϊ παντοίῃ χέρας ὤρεγε· τοὺς δ' ἄρ' Ἀχαιοὶ
ἀλλήλων ἀπέρυξαν, ἐελδομένους πονέεσθαι
νίκης ἀμφ' ἐρατῆς· τῶν δ' ἐσσυμένων θεράποντες
ῥινοὺς αἱματόεντας ἄφαρ σθεναρῶν ἀπὸ χειρῶν
λῦσαν· τοὶ δ' ἄρα τυτθὸν ἀνέπνευσαν καμάτοιο,
μορξάμενοι σπόγγοισι πολυτρήτοισι μέτωπα·
τοὺς δ' ἕταροί τε φίλοι τε, παρηγορέοντες, ἄγεσκον
ἄντικρυς ἀλλήλων, ὣς κεν χόλου ἀλγινόεντος
ἐσσυμένως λελάθωνται, ἀρεσσάμενοι φιλότητι·
ἀλλ' οἱ μὲν πεπίθοντο παραιφασίῃσιν ἑταίρων·
ἀνδράσι γὰρ πινυτοῖσι πέλει νόος ἤπιος αἰεί·
κύσσαν δ' ἀλλήλους· ἔριδος δ' ἐπελήθετο θυμὸς
λευγαλέης. τοῖς δ' αἶψα Θέτις κυανοκρήδεμνος
ἀργυρέους κρητῆρας ἐελδομένοισιν ὄπασσεν,
δοιὼ, τοὺς Εὔνηος Ἰάσονος ὄβριμος υἱὸς
ὦνον ὑπὲρ κρατεροῖο Λυκάονος ἐγγυάλιξεν
ἀντιθέῳ Ἀχιλῆϊ περικλύστῳ ἐνὶ Λήμνῳ·
τοὺς Ἥφαιστος ἔτευξεν ἀριπρεπεῖ Διονύσῳ
δῶρον, ὅτ' εἰς Οὔλυμπον ἀνήγαγε δῖαν ἄκοιτιν,
Μίνωος κούρην ἐρικυδέα, τήν ποτε Θησεὺς
κάλλιπεν οὐκ ἐθέλων γε περικλύστῳ ἐνὶ Δίῃ·
τοὺς δ' ἠΰς Διόνυσος ἑῷ πόρεν υἱέϊ δῶρον
νέκταρος ἐμπλήσας· ὁ δ' ἄρ' ὤπασεν Ὑψιπυλείῃ
πολλοῖς σὺν κτεάτεσσι Θόας· ἡ δ' υἱέϊ δίῳ
κάλλιπεν· ὃς δ' Ἀχιλῆϊ Λυκάονος εἵνεκα δῶκε.
τῶν δ' ἕτερον μὲν ἔχεσκεν ἀγαυοῦ Θησέος υἱὸς,
ἄλλον δ' ἠΰς Ἐπειὸς ἑὰς ἐπὶ νῆας ἴαλλεν

γηθόσυνος· τῶν δ' ἀμφιτετρυμμένα τύμματα πάντα
ἠκέσατ' ἐνδυκέως Ποδαλείριος, οὕνεκ' ἄρ' αὐτὸς
πρῶτα μὲν ἐκμύζησεν, ἔπειτα δὲ χερσὶν ἑῇσιν
ῥάψεν ἐπισταμένως· καθύπερθε δὲ φάρμακα θῆκε
κεῖνα, τά οἱ προπάροιθε πατὴρ ἑὸς ἐγγυάλιξε·
τοῖσι δ' ἄρ' ἐσσυμένως καὶ ἀναλθέα τύμματα φωτῶν
αὐτῆμαρ μορόεντος ὑπὲκ κακοῦ ἰαίνονται·
τῶν δ' ἄφαρ ἀμφὶ πρόσωπα, καὶ εὐκομόωντα κάρηνα,
τύμματ' ἀπαλθαίνοντο· κατηπιόωντο δ' ἀνίαι.
Ἀμφὶ δὲ τοξοσύνης, Τεῦκρος καὶ Ὀϊλέος υἱὸς
ἔστασαν, οἳ καὶ πρόσθε δρόμου πέρι πειρήσαντο·
τῶν δ' ἄρα τηλόσε θῆκεν ἐϋμμελίης Ἀγαμέμνων
ἱππόκομον τρυφάλειαν· ἔφη δὲ ἑ πολλὸν ἀμείνω
ἔσσεσθ', ὃς κέρσειεν ἀπὸ τρίχας ὀξέϊ χαλκῷ.
Αἴας δ' αὐτίκα πρῶτος ἑὸν προέηκε βέλεμνον·
πλῆξε δ' ἄρα τρυφάλειαν· ἐπηΰτησε δὲ χαλκὸς
ὀξύτατον· Τεῦκρος δὲ μέγ' ἐγκονέων ἐνὶ θυμῷ,
δεύτερος ἧκεν ὀϊστόν· ἄφαρ δ' ἀπέκερσεν ἐθείρας
ὀξὺ βέλος· λαοὶ δὲ μέγ' ἴαχον ἀθρήσαντες·
καί μιν κυδαίνεσκον ἀπείριτον, οὕνεκ' ἄρ' αὐτὸν
πληγὴ ἐπαλγύνεσκε θοοῦ ποδός· ἀλλά μιν οὔτι
βλάψεν ὑπαὶ παλάμῃσι θοὸν βέλος ἰθύνοντα.
καί οἱ τεύχεα καλὰ πόρεν Πηλῆος ἄκοιτις
ἀντιθέου Τρωΐλοιο, τὸν ἠϊθέων μέγ' ἄριστον
Τροίῃ ἐν ἠγαθέῃ Ἑκάβη τέκετ', οὐδ' ἀπόνητο,
ἀγλαόν· ἤδη γάρ μιν ἀταρτηροῦ Ἀχιλῆος
ἔγχος ὁμοῦ καὶ κάρτος ἀπήμερσαν βιότοιο·
ὡς δ' ὁπόθ', ἑρσήεντα καὶ εὐθαλέοντ' ἀνὰ κῆπον,
ὑδρηλῆς καπέτοιο μάλ' ἀγχόθι τηλεθάοντα

ἢ στάχυν, ἢ μήκωνα, πάρος καρποῖο τυχῆσαι,
κέρσῃ τις δρεπάνῳ νεοθηγέϊ, μήδ' ἄρ' ἐάσῃ
ἐς τέλος ἡδὺ μολεῖν, μήδ' ἐς σπόρον ἄλλον ἱκέσθαι,
ἀμήσας κενεόν τε καὶ ἄσπορον αἴθοπι χαλκῷ,
μέλλονθ' ἑρσήεντος ὑπ' εἴαρος ἀλδαίνεσθαι·
ὣς υἱὸν Πριάμοιο, θεοῖς ἐναλίγκιον εἶδος,
Πηλείδης κατέπεφνεν ἔτ' ἄχνοον, εἰσέτι νύμφης
νήϊδα, νηπιάχοισιν ὁμῶς ἔτι κουρίζοντα·
ἀλλά μιν εἰς πόλεμον φθισίμβροτον ἤγαγε μοῖρα
ἥβης ἀρχόμενον πολυγηθέος, ὁππότε φῶτες
θαρσαλέοι τελέθουσιν, ὅτ' οὐκέτι δεύεται ἦτορ.

Αὐτίκα δ' αὖτε σόλον περιμήκεά τε βριαρόν τε
πολλοὶ πειρήσαντο θοῆς ἀπὸ χειρὸς ἰῆλαι·
τὸν δ' οὔτις βαλέειν δύνατο στιβαρὸν μάλ' ἐόντα
Ἀργείων· οἶος δ' ἔβαλεν μενεδήϊος Αἴας
χειρὸς ἀπὸ κρατερῆς, ὡσεὶ δρυὸς ἀγρονόμοιο
ὄζον ἀπαυανθέντα, θέρους εὐθαλπέος ὥρῃ,
ὁππότε λήϊα πάντα κατὰ χθονὸς αὐαίνηται·
θάμβησαν δ' ἄρα πάντες, ὅσον χερὸς ἐξεποτήθη
χαλκὸς, ὃν ἀνέρε χερσὶ δύω μογέοντες ἄειραν·
τόν ῥα μὲν Ἀνταίοιο βίη ῥίπτασκε πάροιθεν
ῥηϊδίως ἀπὸ χειρὸς, ἑῆς πειρώμενος ἀλκῆς,
πρὶν κρατερῇσι χέρεσσι δαμήμεναι Ἡρακλῆος·
Ἡρακλέης δέ μιν ἠῢς ἑλὼν, σὺν ληΐδι πολλῇ,
ἀκαμάτης ἔχε χειρὸς ἀέθλιον· ἀλλά μιν ἐσθλῷ
ὕστερον Αἰακίδῃ δῶρον πόρεν, ὁππότ' ἄρ' αὐτῷ
Ἰλίου εὐπύργοιο συνέπραθε κύδιμον ἄστυ·
κεῖνος δ' υἱέϊ δῶκεν· ὁ δ' ὠκυπόροις ἐνὶ νηυσὶν
ἐς Τροίην μιν ἔνεικεν, ἵνα σφετέροιο τοκῆος

μνωόμενος, Τρώεσσιν ἐϋσθενέεσσι μάχοιτο
προφρονέως, εἴη δὲ πόνος πειρωμένῳ ἀλκῆς·
τόν ῥ᾽ Αἴας μάλα πολλὸν ἀπὸ στιβαρῆς βάλε χειρός.
καὶ τότε οἱ Νηρηῒς ἀγακλυτὰ τεύχεα δῶκεν
Μέμνονος ἀντιθέοιο, τὰ καὶ μέγα θηήσαντο
Ἀργεῖοι· λίην γὰρ ἔσαν περιμήκεα πάντα·
καὶ τάγε καγχαλόων ὑπεδέξατο κύδιμος ἀνήρ·
οἴῳ γὰρ κείνῳ γε περὶ βριαροῖσι μέλεσσιν
ἥρμοσεν ἀπλήτοιο κατὰ χροὸς ἀμφιτεθέντα·
αὐτὸς δ᾽ αὖτ᾽ ἀνάειρε μέγαν σόλον, ὄφρα οἱ εἴη
τερπωλὴ, μένος ἠΰ λιλαιομένῳ πονέεσθαι.
Οἱ δ᾽ ἄρα δηριόωντες ἐφ᾽ ἅλματι πολλοὶ ἀνέσταν·
τῶν ἄρ᾽ ὑπέρθορε πολλὸν ἐϋμμελίης Ἀγαπήνωρ
σήματα· τοὶ δ᾽ ὁμάδησαν ἐπ᾽ ἀνέρι μακρὰ θορόντι·
καί οἱ τεύχεα καλὰ πόρε μεγάλοιο Κύκνοιο
δῖα Θέτις· τὸν γάρ ῥα, φόνῳ ἐπὶ Πρωτεσιλάου
πολλῶν θυμὸν ἑλόντα, κατέκτανε Πηλέος υἱὸς
πρῶτον ἀριστήων· Τρῶας δ᾽ ἄχος ἀμφεκάλυψεν.
Αἰγανέῃ δ᾽ ἄρα πολλὸν ὑπέρβαλε δηριόωντας
Εὐρύαλος· λαοὶ δὲ μέγ᾽ ἴαχον· οὐ γὰρ ἔφαντο
κεῖνον ὑπερβαλέειν, οὐδὲ πτερόεντι βελέμνῳ·
τοὔνεκά οἱ φιάλην πολυχανδέα δῶκε φέρεσθαι
μήτηρ Αἰακίδαο δαΐφρονος, ἥν ποτ᾽ Ἀχιλλεὺς
ἀργυρέην κτεάτισσε, βαλὼν ὑπὸ δουρὶ Μύνητα,
ὁππότε Λυρνησσοῖο διέπραθε Τρώϊον ἄστυ.
Αἴας δ᾽ ὀβριμόθυμος, ἐελδόμενος πονέεσθαι
χερσὶν ὁμῶς καὶ ποσσὶν, ἀνιστάμενος, καλέεσκεν
ἐς μέσον ἡρώων τὸν ὑπέρτατον· οἱ δ᾽ ὁρόωντες,
θάμβεον ὄβριμον ἄνδρα καὶ ἄλκιμον· οὐδέ τις ἔτλη

ἄντα μολεῖν· πάντων γὰρ ὑπέκλασε δεῖμ' ἀλεγεινὸν
ἠνορέην· φοβέοντο δ' ἀνὰ φρένα, μή τινα χερσὶ
τύψας ἀκαμάτῃσιν, ὑπὸ πληγῇσι πρόσωπον
συγχέῃ ἐσσυμένως, μέγα δ' ἀνέρι πῆμα γένηται·
ὀψὲ δὲ πάντες ἔλευσσον ἐπ' Εὐρυάλῳ μενεχάρμῃ,
ἴδμονι πυγμαχίης, εὖ εἰδότι· ὃς δ' ἐνὶ μέσσοις
τοῖον ἔπος προέηκεν, ὑποτρομέων θρασὺν ἄνδρα·
Ὦ φίλοι, ἄλλον μέν τιν' Ἀχαιῶν, ὅν κε θέλητε,
τλήσομαι ἀντιόωντα, μέγαν δ' Αἴαντα τέθηπα·
πολλὸν γὰρ προβέβηκε· διαῤῥαίσει δέ μοι ἦτορ,
ἤν μιν ἐπιβρίσαντα λάβῃ χόλος· οὐ γὰρ ὀΐω
ἀνδρὸς ἀπ' ἀκαμάτοιο σόος ποτὶ νῆας ἱκέσθαι.
Ὣς φαμένοιο, γέλασσαν· ὁ δ' ἐν φρεσὶ πάμπαν ἰάνθη
Αἴας ὀβριμόθυμος· ἄειρε δὲ δοιὰ τάλαντα
ἀργύρου αἰγλήεντος, ἅ οἱ Θέτις εἵνεκ' ἀέθλου
δῶκεν ἄτερ καμάτοιο· φίλου δ' ἐμνήσατο παιδὸς
Αἴαντ' εἰσορόωσα· γόος δέ οἱ ἔμπεσε θυμῷ.

Οἱ δ' αὖθ' ἱππασίῃ μεμελημένον ἦτορ ἔχοντες,
ἐσσυμένως ἀνόρουσαν ἐποτρύνοντος ἀέθλου·
πρῶτος μὲν Μενέλαος, ἰδ' Εὐρύπυλος θρασυχάρμης,
Εὔμηλός τε, Θόας τε, καὶ ἰσόθεος Πολυποίτης.
ἵπποις δ' ἀμφὶ λέπαδνα βάλον, καὶ ὑφ' ἅρματ' ἔρυσσαν
πάντες ἐπειγόμενοι, πολυγηθέος εἵνεκα νίκης·
αἶψα δ' ἄρ' εἰς δῆριν ξύνισαν βεβαῶτ' ἐνὶ δίφροις,
χῶρον ἀν' ἠμαθόεντ'· ἐπὶ νύσσης δ' ἔσταν ἕκαστοι·
καρπαλίμως δ' εὔληρα λάβον κρατερῇς παλάμῃσιν·
ἵπποι δ' ἐγχριμφθέντες ἐν ἅρμασι ποιπνύεσκον,
ὅππως τις προάλοιτο· πόδας δ' ὑπεκίνυον αὔτως·
οὔατα δ' ὀρθώσαντο, καὶ ἄμπυκα δεύεσαν ἀφρῷ·

οἱ δ' ἄφαρ ὀτρύνοντες ἐλαφροπόδων μένος ἵππων
μάστιον· οἱ δὲ, θοῇσιν ἐοικότες Ἁρπυίῃσιν,
καρπαλίμως ζεύγλῃσι μέγ' ἔκθορον ἀσχαλόωντες·
ἅρματα δ' ὦκα φέρεσκον, ἀπὸ χθονὸς ἀΐσσοντα·
οὐδ' ἁρματροχίας ἰδέειν ἦν, οὐδὲ ποδοῖιν
ἐν χθονὶ σήματα· τόσσον ὑπεξέφερον δρόμον ἵπποι·
πουλὺς δ' αἰθέρ' ἵκανε κονίσσαλος ἐκ πεδίοιο,
καπνῷ ἢ ὀμίχλῃ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσιν
ἀμφιχέῃ πρώνεσσι Νότου μένος, ἢ Ζεφύροιο,
χείματος ἐγρομένου, ὁπότ' οὔρεα δεύεται ὄμβρῳ.
ἵπποι δ' Εὐμήλοιο μέγ' ἔνθορον· αἱ δ' ἐφέποντο
ἀντιθέοιο Θόαντος· ἐπ' ἄλλῳ δ' ἄλλος ἀΰτει
ἅρμασι· τοὶ δ' ἐφέροντο δι' εὐρυχόρου πεδίοιο

— — — — — — —

— — — — — — —

ὅντινα δήϊοι ἄνδρες ὑποτρομέουσι μάλιστα

— — — — — — —

Ἤλιδος ἐκ δίης, ἐπεὶ μέγα ἔργον ἔρεξεν
παρφθάμενος θοὸν ἅρμα κακόφρονος Οἰνομάοιο,
ὅς ῥα τότ' ἠϊθέοισιν ἀνηλέα τεῦχεν ὄλεθρον,
κούρης ἀμφὶ γάμοιο, περίφρονος Ἱπποδαμείης·
ἀλλ' οὐ μὰν κεῖνός γε καὶ ἱππασίῃσι μεμηλὼς,
ἵππους ὠκύποδας τοίους ἔχεν, ἀλλ' ἄρα πολλὸν
ποσσὶν ἀφαυροτέρους· οἱ γάρ τ' εἴδοντ' ἀνέμοισιν.
Ἦ, μέγα κυδαίνων ἵππων μένος, ἠδὲ καὶ αὐτὸν
Ἀτρείδην· ὁ γὰρ ἦσι περὶ φρεσὶ γήθεε θυμῷ·
τοὺς δὲ, μέγ' ἀσθμαίνοντας, ἄφαρ θεράποντες ἔλυσαν
ζεύγλης· οἱ δὲ καὶ αὐτοὶ ἀελλόποδας λύον ἵππους
πάντες, ὅσοις ἐν ἀγῶνι δρόμου πέρι δῆρις ἐτύχθη.

ἀντίθεον δὲ Θόαντα, καὶ Εὐρύπυλον μενεχάρμην
ἠκέσατ' ἐσσυμένως Ποδαλείριος ἕλκεα πάντα,
ὅσσα περιδρύφθησαν, ἀπ' ἐκ δίφροιο πεσόντες.
Ἀτρείδης δ' ἀλίαστον ἐγήθεεν εἵνεκα νίκης·
καί οἱ ἐϋπλόκαμος Θέτις ὤπασε καλὸν ἄλεισον
χρύσεον, ἀντιθέοιο μέγα κτέαρ Ἠετίωνος,
πρὶν Θήβης κλυτὸν ἄστυ διαπραθέειν Ἀχιλῆα.
Ἄλλοι δ' αὖθ' ἑτέρωθε μονάμπυκας ἔντυον ἵππους
ἐς δρόμον ἰθύνοντες· ἕλοντο δὲ χερσὶ βοείας
μάστιγας· καὶ πάντες ἀναΐξαντες ἐφ' ἵππων,
ἕζοντ'· οἱ δὲ χαλινὰ γενειάσιν ἀφρίζοντες
δάπτον, καὶ ποσὶ γαῖαν ἐπέκτυπον, ἐγκονέοντες
ἐκθορέειν· τοῖς δ' αἶψα δρόμος τέταθ'. οἱ δ' ἀπὸ νύσσης
καρπαλίμως οἴμησαν, ἐριδμαίνειν μεμαῶτες,
εἴκελοι ἢ Βορέαο μέγα πνείοντος ἀέλλης,
ἠὲ Νότου κελάδοντος, ὅτ' εὐρέα πόντον ὄρινεν
λαίλαπι καὶ ῥιπῇσι, θυτήριον εὖτ' ἀλεγεινὸν
ἀντέλλῃ, ναύτῃσι φέρον πολύδακρυν ὀϊζύν·
ὣς οἵ γ' ἐσσεύοντο κόνιν ποσὶ καρπαλίμοισιν
ἐν πεδίῳ κλονέοντες ἀπείριτον· οἱ δ' ἐλατῆρες
ἵπποις οἷσιν ἕκαστος ἐκέκλετο, τῇ μὲν ἱμάσθλῃ
ταρφέα πεπληγὼς, ἑτέρῃ δ' ἐν χειρὶ τινάσσων
νωλεμὲς ἀμφὶ γένυσσι μέγα κτυπέοντα χαλινόν·
ἵπποι δ' ἐῤῥώοντο· βοὴ δ' ἀνὰ λαὸν ὀρώρει
ἄσπετος· οἱ δ' ἐπέτοντο διὰ πλατέος πεδίοιο.
καί νύ κεν ἐσσυμένως ἐξ Ἄργεος αἰόλος ἵππος
νίκησεν μάλα πολλὸν, ἐφεζομένου Σθενέλοιο,
εἰ μὴ ἄρ' ἐξήρπαξε δρόμον, πεδίον δ' ἀφίκανε
πολλάκις· οὐδέ μιν ἐσθλὸς ἐὼν Καπανήϊος υἱὸς
κάμψαι ἐπέσθενε χερσὶν, ἐπεί ῥ' ἔτι νῆϊς ἀέθλων

ἵππος ἔην· γενεῇ δὲ μάλ' οὐ κακός, ἀλλὰ θοοῖο
θεσπέσιον γένος ἔσκεν Ἀρίονος, ὃν τέκεν ἵππων
Ἅρπυια Ζεφύρῳ πολυηχεῖ, φέρτατον ἄλλων
πολλὸν, ἐπεὶ ταχέεσσιν ἐριδμαίνεσκε πόδεσσι
πατρὸς ἑοῖο θοῇσι καταιγίσι· καί μιν Ἄδρηστος
ἐκ μακάρων ἔχε δῶρον, ὅθεν γένος ἔπλετο κείνου·

— — — — — — —

καί μιν Τυδέος υἱὸς ἑῷ πόρε δῶρον ἑταίρῳ
Τροίῃ ἐνὶ ζαθέῃ· ὁ δέ οἱ μέγα ποσσὶ πεποιθὼς,
ὠκὺν ἐόντ' ἐς ἀγῶνα καὶ εἰς ἔριν ἤγαγεν ἵππων,
αὐτὸς ἐνὶ πρώτοισιν ὀϊόμενος μέγα κῦδος
ἱππασίης ἀνελέσθαι· ὁ δ' οὔτι οἱ ἦτορ ἴηνεν
ἀμφ' Ἀχιλῆος ἄεθλα πονεύμενος· ἦ γὰρ ἵκανεν
δεύτερος· Ἀτρείδης δὲ παρήλασεν ὠκὺν ἐόντα
ἱδρείῃ· λαοὶ δ' Ἀγαμέμνονα κυδαίνεσκον,
ἵππον τε Σθενέλοιο θρασύφρονος, ἠδὲ καὶ αὐτὸν,
οὕνεκα δεύτερος ἦλθε, καὶ εἰ μάλα πολλάκι νύσσης
ἐξέθορεν, μεγάλῳ περὶ κάρτεϊ οἷς ποσὶ θύων.

Καὶ τότ' ἄρ' Ἀτρείδῃ Θέτις ὤπασε καγχαλόωντι
ἀργύρεον θώρηκα θεηγενέος Πολυδώρου·
δῶκε δ' ἄρα Σθενέλῳ βριαρὴν κόρυν Ἀστεροπαίου
χαλκείην, καὶ δοῦρε δύω, καὶ ἀτειρέα μίτρην·
ἄλλοις δ' ἱππήεσσι, καὶ ὁππόσοι ἤματι κείνῳ
ἦλθον ἀεθλήσοντες Ἀχιλλῆος ποτὶ τύμβῳ,
δῶρα πόρεν πάντεσσιν. ἐπὶ σφίσι δ' ἄχνυτο θυμὸν
υἱὸς Λαέρταο δαΐφρονος, οὕνεκ' ἄρ' αὐτὸν,
ἀλκῆς ἱέμενον, κρατερῶν ἀπέρυξεν ἀέθλων
ἕλκος ἀνιηρὸν, τό μιν οὔτασεν ὄβριμος Ἄλκων,
ἀμφὶ νέκυν κρατεροῖο πονεύμενον Αἰακίδαο.

# ΚΟΙΝΤΟΥ
# ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
## ΒΙΒΛΙΟΝ Ε.

Ἀλλ' ὅτε δὴ πολλοὶ μὲν ἀπηνύσθησαν ἄεθλοι,
δὴ τότ' Ἀχιλλῆος μεγαλήτορος ἄμβροτα τεύχη
θῆκεν ἐνὶ μέσσοισι θεὰ Θέτις· ἀμφὶ δὲ πάντη
δαίδαλα μαρμαίρεσκεν, ὅσα σθένος Ἡφαίστοιο
ἀμφὶ σάκος ποίησε θρασύφρονος Αἰακίδαο.
καὶ τὰ μὲν εὖ ἤσκητο θεοκμήτῳ ἐπὶ ἔργῳ·
Οὐρανὸς, ἠδ' αἰθὴρ, γαίῃ δ' ἅμα κεῖτο θάλασσα·
ἐν δ' ἄνεμοι, νεφέλαι τε, σελήνη τ', ἠέλιός τε,
κεκριμέν' ἄλλυδις ἄλλα· τέτυκτο δὲ τείρεα πάντα,
ὁππόσα δινήεντα κατ' οὐρανὸν ἀμφιφέρονται.
τῶν δ' ἄρ' ὁμῶς ὑπένερθεν ἀπειρέσιος κέχυτ' ἀήρ·
ἐν τῷ δ' ὄρνιθες τανυχειλέες ἀμφεποτῶντο·
φαίης κεν ζώοντας ἅμα πνοιῇσι φέρεσθαι.
Τηθὺς δ' ἀμφιτέτυκτο, καὶ ὠκεανοῦ βαθὺ χεῦμα·
τῷ δ' ἄφαρ ἐξεχέοντο ῥοαὶ ποταμῶν κελαδεινῶν,
κυκλόθεν ἄλλυδις ἄλλη, ἑλισσομένων διὰ γαίης.
ἀμφὶ δ' ἄρ' εὖ ἤσκηντο κατ' οὔρεα μακρὰ λέοντες
σμερδαλέοι, καὶ θῶες ἀναιδέες· ἐν δ' ἀλεγειναὶ
ἄρκτοι, παρδάλιές τε, σύες δ' ἅμα τῇσι πέλοντο

ὄβριμοι, ἀλγινόεντας ὑπὸ βλοσυρῇσι γένυσσι
θήγοντες καναχηδὸν ἐΰκτυπέοντας ὀδόντας·
ἐν δ' ἀγρόται μετόπισθε κυνῶν μένος ἰθύνοντες·
ἄλλοι δ' αὖ, λάεσσι καὶ αἰγανέῃσι θοῇσι
βάλλοντες, πονέοντο καταντίον, ὡς ἐτεόν περ.
ἐν δ' ἄρα καὶ πόλεμοι φθισήνορες· ἐν δὲ κυδοιμοὶ
ἀργαλέοι ἐνέκειντο· περικτείνοντο δὲ λαοὶ
μίγδα ἑοῖς ἵπποισι· πέδον δ' ἅπαν αἵματι πολλῷ
δευομένῳ ἤϊκτο, κατ' ἀσπίδος ἀκαμάτοιο·
ἐν δὲ Φόβος, καὶ Δεῖμος ἔσαν, στονόεσσά τ' Ἐνυώ,
αἵματι λευγαλέῳ πεπαλαγμένη ἅψεα πάντα·
ἐν δ' Ἔρις οὐλομένη, καὶ Ἐριννύες ὀβριμόθυμοι,
ἡ μὲν ἐποτρύνουσα ποτὶ κλόνον ἄσχετον ἄνδρας
ἐλθέμεν, αἳ δ' ὀλοοῖο πυρὸς πνείουσαι ἀϋτμήν·
ἀμφὶ δὲ Κῆρες ἔθυνον ἀμείλιχοι· ἐν δ' ἄρα τῇσι
φοίτα λευγαλέου θανάτου μένος· ἀμφὶ δ' ἄρ' αὐτῷ,
ὑσμῖναι ἐνέκειντο δυσηχέες· ὧν πέρι πάντη
ἐκ μελέων εἰς οὖδας ἀπέῤῥεεν αἷμα καὶ ἱδρώς·
ἐν δ' ἄρα Γοργόνες ἔσκον ἀναιδέες· ἀμφὶ δ' ἄρα σφιν
σμερδαλέοι πεπόνηντο περὶ πλοχμοῖσι δράκοντες,
αἰνὸν λιχμώωντες· ἀπειρέσιον δ' ἄρα θαῦμα
δαίδαλα κεῖνα πέλοντο, μέγ' ἀνδράσι δεῖμα φέροντα,
οὕνεκ' ἔσαν ζωοῖσιν ἐοικότα κινυμένοισι.
καὶ τὰ μὲν ἄρ πολέμοιο τεράατα πάντα τέτυκτο·
εἰρήνης δ' ἀπάνευθεν ἔσαν περικαλλέος ἔργα·
ἀμφὶ δὲ μυρία φῦλα πολυτλήτων ἀνθρώπων
ἄστεα καλὰ νέμοντο· δίκη δ' ἐπιΐκετο πάντα·
ἄλλοι δ' ἄλλ' ἐπὶ ἔργα χέρας φέρον· ἀμφὶ δ' ἀλωαὶ
καρποῖσι βρίθοντο· μέλαινα δὲ γαῖα τεθήλει·

αἰπύτατον δὲ τέτυκτο θεοδμήτῳ ἐπὶ ἔργῳ
καὶ τρηχὺ ζαθέης Ἀρετῆς ὄρος· ἐν δὲ καὶ αὐτὴ
εἱστήκει φοίνικος ἐπεμβεβαυῖα κατ᾽ ἄκρης,
ὑψηλή, ψαύουσα πρὸς οὐρανόν· ἀμφὶ δὲ πάντες
ἀτραπιτοὶ θαμέεσσι διειργόμενοι σκοπέλοισι,
ἀνθρώπων ἀπέρυκον ἐὺν πάτον· οὕνεκα πολλοὶ
εἰσοπίσω χάζοντο, τεθηπότες αἰπὰ κέλευθα,
παῦροι δ᾽ ἱερὸν οἶμον ἀνήϊον ἱδρώοντες.
ἐν δ᾽ ἔσαν ἀμητῆρες ἀνὰ πλατὺν ὄγμον ἰόντες,
σπεύδοντες δρεπάνῃσι νεηκέσι· τῶν δ᾽ ὑπὸ χερσὶ,
πολλοὶ ἀμαλλοδετῆρες· ἀέξετο δ᾽ ἐς μέγα ἔργον·
ἐν δὲ βόες ζεύγλῃσιν ὑπ᾽ αὐχένας αἰὲν ἔχοντες·
οἱ μὲν ἀπήνας εἷλκον ἐϋσταχύεσσιν ἀμάλλαις
βριθομένας· οἱ δ᾽ αὖθις ἀροτρεύεσκον ἀρούρας·
τῶν δὲ πέδον μετόπισθε μελαίνετο· τοὶ δ᾽ ἐφέποντο
αἰζηοὶ μετὰ τοῖσι, βοοσσόα κέντρα φέροντες
χερσὶν ἀμοιβαδίῃς· ἀνεφαίνετο δ᾽ ἄσπετον ἔργον.
ἐν δ᾽ αὐλοὶ, κιθάραι τε, παρ᾽ εἰλαπίνῃσι πέλοντο·
ἐν δὲ χοροὶ ἵσταντο νέων παρὰ ποσσὶ γυναικῶν·
αἱ δ᾽ ἄρ᾽ ἔσαν ζωῇσιν ἀλίγκια ποιπνύουσαι·
ἄγχι δ᾽ ἄρ᾽ ὀρχηθμοῦ τε, καὶ εὐφροσύνης ἐρατεινῆς,
ἀφρὸν ἔτ᾽ ἀμφὶ κόμῃσιν ἔχουσ᾽, ἀνεδύετο πόντου
Κύπρις ἐϋστέφανος, τὴν δ᾽ Ἵμερος ἀμφεποτᾶτο,
μειδιόωσ᾽ ἐρατεινὰ σὺν ἠϋκόμοις Χαρίτεσσιν.
ἐν δ᾽ ἄρ᾽ ἔσαν Νηρῆος ὑπερθύμοιο θύγατρες,
ἐξ ἁλὸς εὐρυπόροιο κασιγνήτην ἀνάγουσαι
ἐς γάμον Αἰακίδαο δαΐφρονος· ἀμφὶ δὲ πάντες
ἀθάνατοι δαίνυντο μακρὴν ἀνὰ Πηλίου ἄκρην·
ἀμφὶ δ᾽ ἄρ᾽ ὕδρηλοί τε καὶ εὐθαλέες λειμῶνες

ἔσκον, ἀπειρεσίοισι κεκασμένοι ἄνθεσι ποίης·
ἄλσεά τε, κρῆναί τε, διειδέες ὕδατι καλῷ.
νῆες δὲ στονόεσσαι ὑπὲρ πόντοιο φέροντο,
αἱ μὲν ἄρ᾽ ἐσσύμεναι ἐπικάρσιαι, αἱ δὲ κατ᾽ ἰθὺ
νισσόμεναι· περὶ δέ σφιν ἀέξετο κῦμ᾽ ἀλεγεινὸν,
ὀρνύμενον· ναῦται δὲ τεθηπότες ἄλλοθεν ἄλλος
ἐσσυμένας φοβέοντο καταιγίδας, ὡς ἐτεόν περ,
λαίφεα λεύκ᾽ ἐρύοντες, ἵν᾽ ἐκ θανάτοιο φύγωσιν·
οἱ δ᾽ ἕζοντ᾽ ἐπ᾽ ἐρετμὰ πονεύμενοι· ἀμφὶ δὲ νηυσὶ,
πυκνὸν ἐρεσσομένῃσι, μέλας λευκαίνετο πόντος·
τοῖς δ᾽ ἔπι κυδιόων μετὰ κήτεσιν εἰναλίοισιν
ἤσκητ᾽ Ἐννοσίγαιος· ἀελλόποδες δέ μιν ἵπποι,
ὡς ἐτεὸν σπεύδοντες, ὑπὲρ πόντοιο φέρεσκον,
χρυσείῃ μάστιγι πεπληγότες· ἀμφὶ δὲ κῦμα
στόρνυτ᾽ ἐπεσσυμένων· ὁμαλὴ δ᾽ ἄρα πρόσθε γαλήνη
ἔπλετο· τοὶ δ᾽ ἑκάτερθεν ἀολλέες ἀμφὶς ἄνακτα
ἀγρόμενοι δελφῖνες ἀπειρέσιον κεχάροντο,
σαίνοντες βασιλῆα· κατ᾽ ἠερόεν δ᾽ ἁλὸς οἶδμα
νηχομένοις εἴδοντο, καὶ ἀργύρεοί περ ἐόντες·
ἄλλα δὲ μυρία κεῖτο κατ᾽ ἀσπίδα τεχνηέντως,
χερσὶν ὑπ᾽ ἀθανάτῃς πυκινόφρονος Ἡφαίστοιο.
πάντα δ᾽ ἄρ᾽ ἐστεφάνωτο βαθὺς ῥόος ὠκεανοῖο·
οὕνεκ᾽ ἔην ἔκτοσθε κατ᾽ ἄντυγος· ᾗ ἔνι πᾶσα
ἀσπὶς ἐνεστήρικτο, δέδεντο δὲ δαίδαλα πάντα.
τῇ δ᾽ ἄρα πὰρ κατέκειτο κόρυς μέγα βεβριθυῖα·
Ζεὺς δέ οἱ ἀμφετέτυκτο, μέγ᾽ ἀσχαλόωντι ἐοικὼς,
οὐρανῷ ἐμβεβαώς· περὶ δ᾽ ἀθάνατοι πονέοντο,
Τιτήνων ἐριδαινομένων, Διῒ συμμεμαῶτες·
τοὺς δ᾽ ἤδη κρατερὸν πῦρ ἄμφεχεν· ἐκ δὲ κεραυνοὶ

ἄλληκτοι, νιφάδεσσιν ἐοικότες, ἐξεχέοντο
οὐρανόθεν· Ζηνὸς γὰρ ἀάσπετον ὄρνυτο κάρτος·
οἱ δ' ἄρ' ἔτ', αἰθομένοισιν ἐοικότες, ἀμπνείεσκον.
ἀμφὶ δὲ θώρηκος γύαλον παρεκέκλιτο καλὸν,
ἄῤῥηκτον βριαρόν τε, τὸ χάνδανε Πηλείωνα.
κνημῖδες δ' ἤσκηντο πελώριαι· ἀμφὶ δ' ἐλαφραὶ
μούνῳ ἔσαν Ἀχιλῆϊ, μάλα στιβαραί περ ἐοῦσαι.
ἀγχόθι δ' ἄσχετον ἆορ ἄδην περιμαρμαίρεσκε,
χρυσείῳ τελαμῶνι κεκασμένον, ἀργυρέῳ τε
κουλεῷ· ᾧ ἔπι κώπη ἀρηραμένη ἐλέφαντος,
θεσπεσίοις τεύχεσσι μετέπρεπε, παμφανόωσα.
τοῖς δὲ παρεκτετάνυστο κατὰ χθονὸς ὄβριμον ἔγχος,
Πηλιὰς, ὑψικόμῃσιν ἐειδομένη ἐλάτῃσι,
λύθρου ἔτι πνείουσα, καὶ αἵματος Ἑκτορέοιο.
καὶ τότ' ἐν Ἀργείοισι Θέτις κυανοκρήδεμνος
θεσπέσιον φάτο μῦθον, ἀκηχεμένη Ἀχιλῆος·
Νῦν μὲν δὴ κατ' ἀγῶνος ἀέθλια πάντα τελέσθη,
ὅσσ' ἐπὶ παιδὶ θανόντι μέγ' ἀχνυμένη κατέθηκα·
ἀλλ' ἴτω ὅς κ' ἐσάωσε νέκυν, καὶ ἄριστος Ἀχαιῶν,
καί νύ κέν οἱ θνητὰ, καὶ ἄμβροτα, τεύχη ἕσασθαι
δώσω, ἃ καὶ μακάρεσσι μετεύαδεν ἀθανάτοισι.
Ὣς φάτο· τοὶ δ' ἀνόρουσαν ἐριδμαίνοντ' ἐπέεσσιν,
υἱὸς Λαέρταο, καὶ ἀντιθέου Τελαμῶνος
Αἴας, ὃς μέγα πάντας ὑπείρεχεν ἐν Δαναοῖσιν·
ἀστὴρ ὡς ἀρίδηλος ἀν' οὐρανὸν αἰγλήεντα
Ἕσπερος, ὅς μέγα πᾶσι μετ' ἀστράσι παμφαίνῃσι·
τῷ εἰκὼς, τεύχεσσι παρίστατο Πηλείδαο·
ἤτεε δ' Ἰδομενῆ' αὐτὸν, καὶ Νηλέος υἷα,
ἠδ' ἄρα μητιόεντ' Ἀγαμέμνονα· τοὺς γὰρ ἐώλπει

ἴδμεναι ἀτρεκέως ἐρικυδέος ἔργα μόθοιο.
ὣς δ' αὔτως Ὀδυσεὺς κείνοις ἔπι πάγχυ πεποίθει·
οἵ γὰρ ἔσαν πινυτοὶ, καὶ ἀμύμονες ἐν Δαναοῖσι.
Νέστωρ δ' Ἰδομενῆϊ καὶ Ἀτρέος υἷει δίῳ,
ἄμφω ἐελδομένοισιν, ἔπος φάτο, νόσφιν ἀπ' ἄλλων·
Ὦ φίλοι, ἦ μέγα πῆμα, καὶ ἄσχετον ἤματι τῷδε
ἡμῖν συμφορέουσιν ἀκηδέες Οὐρανίωνες,
Αἴαντος μεγάλοιο περιφραδέος τ' Ὀδυσῆος
ἐσσυμένων ἐπὶ δῆριν ἀάσχετον ἀργαλέην τε·
τῶν γάρ θ' ὁπποτέρῳ δώῃ θεὸς εὖχος ἀρέσθαι,
γηθήσει κατὰ θυμόν· ὁ δ' αὖ μέγα πένθος ἀέξει,
πάντας ἀτεμβόμενος Δαναοὺς· περὶ δ' ἔξοχα πάντων
ἡμέας· οὐδ' ἔτι κεῖνος ἐν ἡμῖν ὡς τὸ πάροιθε
στήσεται ἐν πολέμῳ· μέγα δ' ἔσσεται ἄλγος Ἀχαιοῖς,
κείνων ὅντινα δεινὸς ἕλῃ χόλος· οὕνεκα πάντων
ἡρώων προφέρουσιν, ὁ μὲν πολέμῳ, ὁ δὲ βουλῇ.
ἀλλ' ἄγ' ἐμοὶ πείθεσθον, ἐπεί ῥα γεραίτερος εἰμὶ
λίην, οὐκ ὀλίγον περ· ἔχω δ' ἐπὶ γήραϊ πολλῷ
καὶ νόον, οὕνεκεν ἐσθλὰ καὶ ἄλγεα πολλὰ μόγησα
αἰεὶ δ' ἐν βουλῇσι γέρων πολύϊδρις ἀμείνων
ὁπλοτέρου πέλει ἀνδρὸς, ἐπεὶ μάλα μυρία οἶδε·
τοὔνεκα Τρωσὶν ἐφῶμεν ἐΰφροσι τήνδε δικάσσαι
ἀντιθέῳ τ' Αἴαντι, φιλοπτολέμῳ τ' Ὀδυσῆϊ,
ἠδ' ὅτις ἐξεσάωσε νέκυν Πηληϊάδαο
ἐξ ὀλοοῦ πολέμοιο· δορύκτητοι γὰρ ἐν ἡμῖν
πολλοὶ Τρῶες ἔασι, νεοδμήτῳ ὑπ' ἀνάγκῃ·
οἵ ῥα δίκην ἰθεῖαν ἐπὶ σφίσι ποιήσονται,
οὔτινι ἦρα φέροντες, ἐπεὶ μάλα πάντας Ἀχαιοὺς
ἶσον ἀπεχθαίρουσι, κακῆς μεμνημένοι ἄτης.

Ὣς φάμενον προσέειπεν ἐϋμμελίης Ἀγαμέμνων·
Ὦ γέρον, ὡς οὔτις πινυτώτερος ἄλλος ἐν ἡμῖν
σεῖο πέλει Δαναῶν, οὔτ' ἂρ νέος, οὔτε παλαιὸς,
ὃς φῂς Ἀργείοισιν ἀνηλεγέως χαλεπῆναι
ἀνέρα, ὅντινα τῶνδε θεοὶ μετόπισθε βάλωνται
νίκης· οἱ γὰρ ἄριστοι ἐνί σφισι δηριόωνται·
καί ῥά μοι ἔνδοθεν ἦτορ ἐνὶ φρεσὶ ταῦτα μενοινᾷ,
ὄφρα δορυκτήτοισι δικασπολίην ὀπάσωμεν·
τοὺς καὶ ἀτεμβόμενός τις, ὀλέθρια μήσεται ἔργα
Τρωσὶν ἐϋπτολέμοισι, χόλον δ' οὐκ ἄμμιν ὀπάσσει.
Ὣς φάτο· τοὶ δ' ἕνα θυμὸν ἐνὶ στέρνοισιν ἔχοντες,
ἀμφαδὸν ἠνήναντο δικασπολίην ἐρατεινήν·
τῶν δ' ἄρ' ἀναινομένων, Τρώων ἐρικυδέες υἷες
ἕζοντ' ἐν μέσσοισι, δορύκτητοί περ ἐόντες,
ὄφρα θέμιν, καὶ νεῖκος ἀρήϊον, ἰθύνωσιν·
Αἴας δ' ἐν μέσσοισι, μέγ' ἀσχαλόων, φάτο μῦθον·
Ὦ Ὀδυσεῦ φρένας αἰνὲ, τί τοι νόον ἤπαφε δαίμων
ἶσον ἐμοὶ φρονέειν περὶ κάρτεος ἀκμήτοιο;
ἢ φῂς αἰνὸν ὅμιλον ἐρυκακέειν Ἀχιλῆος
βλημένου ἐν κονίῃσιν, ὅτ' ἀμφί ἓ Τρῶες ἔβησαν,
ὁππότ' ἐγὼ κείνοισι φόνον στονόεντ' ἐφέηκα
σεῖο καταπτώσσοντος; ἐπεί νύ σε γείνατο μήτηρ
δείλαιον, καὶ ἄναλκιν, ἀφαυρότερόν περ ἐμεῖο,
ὅσσον τίς τε κύων μεγαλοβρύχοιο λέοντος·
οὐ γάρ τοι στέρνοισι πέλει μενεδήϊον ἦτορ,
ἀλλά σοι ἀμφιμέμηλε θράσος, καὶ ἀτάσθαλα ἔργα.
ἦε τόδ' ἐξελάθου, ὅτ' ἐς Ἴλιον ἱερὸν ἄστυ
ἐλθέμεναι ἀλέεινες ἅμ' ἀγρομένοισιν Ἀχαιοῖς,
καί σε καταπτώσσοντα, καὶ οὐκ ἐθέλοντ' ἐφέπεσθαι,

ἤγαγον Ἀτρεῖδαι; ὡς μὴ ὤφειλες ἱκέσθαι·
σῆς γὰρ ὑπ' ἐννεσίῃσι κλυτὸν Ποιάντιον υἷα
Λήμνῳ ἐν ἠγαθέῃ λίπομεν μεγάλα στενάχοντα.
οὐκ οἴῳ δ' ἄρα τῷγε λυγρὴν ἐπεμήσαο λώβην,
ἀλλὰ καὶ ἀντιθέῳ Παλαμήδεϊ θῆκας ὄλεθρον,
ὃς σέο φέρτερος ἔσκε βίῃ, καὶ ἔΰφρονι βουλῇ·
νῦν δ' ἤδη καὶ ἐμεῖο καταντίον ἐλθέμεν ἔτλης,
οὔτ' εὐεργεσίης μεμνημένος, οὔτε τι θυμῷ
ἀζόμενος σέο πολλὸν ὑπέρτερον· ὅς σ' ἐνὶ χάρμῃ
ἐξεσάωσα πάροιθεν, ὑποτρομέοντα κυδοιμὸν
δυσμενέων, ὅτε σ' ἄλλοι ἀνὰ μόθον οἰωθέντα
κάλλιπον ἐν δηΐων ὁμάδῳ, φεύγοντα καὶ αὐτόν.
ὡς ὄφελον καὶ ἐμεῖο θρασὺ σθένος ἐν δαΐ κείνῃ
αὐτὸς Ζεὺς ἐφόβησεν ἀπ' αἰθέρος, ὄφρα σε Τρῶες
ἀμφιτόμοις ξιφέεσσι διαμελεϊστὶ κέδασσαν
δαῖτα κυσὶ σφετέροισι· καὶ οὐκ ἂν ἐμεῖο μενοίνας
ἐλθέμεναι κατέναντα, δολοφροσύνῃσι πεποιθώς.
σχέτλιε, τίπτε βίῃ πολὺ φέρτατος ἔμμεναι ἄλλων
εὐχόμενος, μέσσοισιν ἔχες νέας, οὐδέ τι θυμῷ
ἔτλης, ὥσπερ ἔγωγε, θοὰς ἔκτοσθεν ἐρύσσαι
νῆας; ἐπεί νύ σε τάρβος ἐπήϊεν· οὐδὲ μὲν αἰνὸν
πῦρ νηῶν ἀπάλαλκες· ἐγὼ δ' ὑπ' ἀταρβέϊ θυμῷ
ἔστην καὶ πυρὸς ἄντα, καὶ Ἕκτορος, ὅς μ' ὑπόεικε
πάντῃ ἐν ὑσμίνῃ· σὺ δέ μιν περιδείδιες αἰεί·
ὡς ὄφελον τόδε νῶϊν ἐνὶ πτολέμῳ τις ἄεθλον
θῆκεν, ὅτ' ἀμφ' Ἀχιλῆϊ δεδουπότι δῆρις ὀρώρει,
ὄφρ' ἐκ δυσμενέων με καὶ ἀργαλέοιο κυδοιμοῦ
ἔδρακες ἔντεα καλὰ ποτὶ κλισίας φορέοντα
αὐτῷ ὁμῶς Ἀχιλῆϊ δαΐφρονι· νῦν δ' ἄρα μύθων

ἰδρείη πίσυνος, μεγάλων ἐπιμαίεαι ἔργων·
οὐ γάρ τοι σθένος ἐστὶν ἐν ἔντεσιν ἀκαμάτοισιν
δύμεναι Αἰακίδαο δαΐφρονος, οὐδὲ μὲν ἔγχος
νωμῆσαι παλάμῃσιν· ἐμοὶ δ' ἄρα πάντα τέτυκται
ἄρτια, καί μοι ἔοικε φορήμεναι ἀγλαὰ τεύχη,
οὔτι καταισχύνοντι θεοῦ περικαλλέα δῶρα.
ἀλλὰ τίη, μύθοισιν ἐριδμαίνοντε κακοῖσιν,
ἕσταμεν ἀμφ' Ἀχιλῆος ἀμύμονος ἀγλαὰ τεύχη;

— — — — — — —

ὅς τις φέρτερός ἐστιν ἐνὶ φθισήνορι χάρμῃ·
ἀλκῆς γὰρ τόδ' ἄεθλον ἀρήϊον, οὐκ ἀλεγεινῶν
θῆκεν ἐνὶ μέσσοις ἐπέων Θέτις ἀργυρόπεζα·
μύθων δ' εἰν ἀγορῇ χρειὼ πέλει ἀνθρώποισιν·
οἶδα γὰρ ὡς σέο πολλὸν ἀγαυότερος, καὶ ἀρείων,
εἰμί· γένος δέ μοι ἐστὶν, ὅθεν μεγάλῳ Ἀχιλῆϊ.
Ὣς φάτο· τὸν δ' ἀλεγεινὰ παραβλήδην ἐνένισπεν
υἱὸς Λαέρταο, πολύτροπα μήδεα νωμῶν·
Αἶαν ἀμετροεπὲς, τί νύ μοι τόσα μὰψ ἀγορεύεις;
οὐτιδανόν τε μ' ἔφησθα, καὶ ἀργαλέον καὶ ἄναλκιν
ἔμμεναι, ὃς σέο πολλὸν ὑπέρτερος εὔχομαι εἶναι
μήδεσι, καὶ μύθοισι, τά τ' ἀνδράσι κάρτος ἀέξει·
καὶ γάρ τ' ἠλίβατον πέτρην, ἄῤῥηκτον ἐοῦσαν,
μήτι ὑποτμήγουσιν ἐν οὔρεσι λατόμοι ἄνδρες
ῥηϊδίως, μήτι δὲ μέγαν βαρυηχέα πόντον
ναῦται ὑπεκπερόωσιν, ὅτ' ἄσπετα κυμαίνηται·
τέχνῃσι δ' ἀγρόται κρατεροὺς δαμόωσι λέοντας,
παρδάλιάς τε, σύας τε, καὶ ἄλλων ἔθνεα θηρῶν·
ταῦροι δ' ὀβριμόθυμοι ὑπὸ ζεύγλῃς δαμόωνται
ἀνθρώπων ἰότητι· νόῳ δέ τε πάντα τελεῖται·

αἰεὶ δ' ἀφραδέος πέλει ἀνέρος, ἀμφὶ πόνοισι
πᾶσι, καὶ ἐν βουλῇσιν, ἀνὴρ πολύϊδρις ἀμείνων.
τοὔνεκ' ἐΰφρονέοντα θρασὺς πάϊς Οἰνείδαο
λέξατό μ' ἐκ πάντων ἐπιτάῤῥοθον, ὄφρ' ἀφίκωμαι
ἐς φύλακας· μέγα δ' ἔργον ὁμῶς ἐτελέσσαμεν ἄμφω.
καὶ δ' αὐτὸν Πηλῆος ἐΰσθενέα κλυτὸν υἷα
ἤγαγον Ἀτρείδῃσιν ἐπίῤῥοθον· ἢν δὲ καὶ ἄλλου
ἥρωος χρειώ τις ἐν Ἀργείοισι πέληται,
οὐδ' ὅ γε χερσὶ τεῇσιν ἐλεύσεται, οὐδὲ μὲν ἄλλων
Ἀργείων βουλῇσιν· ἐγὼ δέ ἑ μοῦνος Ἀχαιῶν
ἄξω μειλιχίοισι παραυδήσας ἐπέεσσι,
δῆριν ἐς αἰζηῶν· μέγα γὰρ κράτος ἀνδράσι μῦθος
γίγνεται, εὐφροσύνῃσι μεμιγμένος· ἠνορέη δὲ
ἄπρηκτος τελέθει, μέγεθος τ' εἰς οὐδὲν ἀέξει
ἀνέρος, εἰ μή οἱ πινυτὴ ἐπὶ μῆτις ἕπηται.
αὐτὰρ ἐμοὶ καὶ κάρτος ὁμῶς, καὶ μῆτιν, ὄπασσαν
ἀθάνατοι· τεῦξαν δὲ μέγ' Ἀργείοισιν ὄνειαρ.
οὐδὲ μὲν, ὡς σύ μ' ἔφησθα, πάρος φεύγοντα σάωσας
δηΐων ἐξ ἐνοπῆς· οὐ γὰρ φύγον, ἀλλ' ἅμα πάντας
Τρῶας ἐπεσσυμένους μένον ἔμπεδον· οἳ δ' ἐπέχυντο
ἀλκῇ μαιμώωντες· ἐγὼ δ' ὑπὸ κάρτεϊ χειρῶν
πολλῶν θυμὸν ἔλυσα· σὺ δ' οὐκ ἄρ ἐτήτυμα βάζεις·
οὐ γάρ μοί γ' ἐπάμυνας ἀνὰ μόθον, ἀλλὰ σοὶ αὐτῷ
ἔστης ἦρι φέρων, μή τίς σε δουρὶ δαμάσσῃ
φεύγοντ' ἐκ πολέμοιο· νέας δ' ἐς μέσσον ἔρυσσα,
οὔ τι περιτρομέων δηΐων μένος, ἀλλ' ἵνα μῆχος
ξὺν ἅμ' Ἀτρείδῃσιν ὑπὲρ πολέμοιο φέρωμαι·
καὶ σὺ μὲν ἔκτοσθε στῆσας νέας· αὐτὰρ ἔγωγε,
αὐτὸν ἀεικίσσας πληγῇς ὑπὸ λευγαλέῃσιν,

ἐς Τρώων πτολίεθρον ἐσήλυθον, ὄφρα πύθωμαι
ὁππόσα μητιόωντο ὑπὲρ πολέμου ἀλεγεινοῦ·
οὐδὲ μὲν Ἕκτορος ἔγχος ἐδείδιον, ἀλλὰ καὶ αὐτὸς
ἐν πρώτοις ἀνόρουσα, μαχέσσασθαι μενεαίνων
κείνῳ, ὅτ' ἠνορέῃ πίσυνος προκαλέσσατο πάντας.
νῦν δέ σευ ἀμφ' Ἀχιλῆϊ πολὺ πλέονας κτάνον ἄνδρας
δυσμενέων· ἐσάωσα δ' ὁμῶς τεύχεσσι θανόντα.
οὐδὲ μὲν ἐγχείην τρομέω σέθεν, ἀλλά με λυγρὸν
ἕλκος ἔτ' ἀμφ' ὀδύνῃς περινίσσεται, εἵνεκα τευχέων
τῶνδέ περ οὐτηθέντα, δαϊκταμένου Ἀχιλῆος,
καὶ δέ μοι, ὡς Ἀχιλῆϊ πέλει Διὸς ἔξοχον αἷμα.
Ὣς ἄρ' ἔφη· τὸν δ' αὖθις ἀμείβετο καρτερὸς Αἴας·
Ὦ Ὀδυσεῦ δολομῆτα, καὶ ἀργαλεώτατε πάντων,
οὔ νύ σ' ἐκεῖσ' ἐνόησα πονεύμενον, οὐδέ τις ἄλλος
Ἀργείων, ὅτε Τρῶες Ἀχιλλέα δῃωθέντα
ἑλκέμεναι μενέαινον· ἐγὼ δ', ὑπὸ δουρὶ καὶ ἀλκῇ,
τῶν μὲν γούνατ' ἔλυσα κατὰ μόθον, οὓς δ' ἐφόβησα,
αἰὲν ἐπεσσύμενος· τοὶ δ' ἀργαλέως φοβέοντο,
χήνεσιν ἢ γεράνοισιν ἐοικότες, οἷς ἐπορούσῃ
αἰετὸς ἠϊόεν πεδίον καταβοσκομένοισιν·
ὣς Τρῶες, πτώσσοντες ἐμὸν δόρυ καὶ θοὸν ἄορ,
Ἴλιον ἐς κατέδυσαν, ἀλευάμενοι μέγα πῆμα·
σοὶ δὲ καὶ εἰ τότε κάρτος ἐπήλυθεν, οὔτι μευ ἄγχι
μάρναο δυσμενέεσσιν· ἑκὰς δέ που ἦσθα, καὶ αὐτὸς
ἀμφ' ἄλλῃσι φάλαγξι πονεύμενος, οὐ περὶ νεκρῷ
ἀντιθέου Ἀχιλῆος, ὅπου μάλα δῆρις ὀρώρει.
Ὣς φάτο. τὸν δ' Ὀδυσῆος ἀμείβετο κερδαλέον κῆρ·
Αἶαν, ἐγὼν αὖ σεῖο κακώτερος ἔλπομαι εἶναι
οὐ νόον, οὐδὲ βίην, εἰ καὶ μάλα φαίδιμός ἐσσι·

ἀλλὰ νόον μὲν ἔγωγε πολὺ προφερέστερός εἰμι
σεῖο μετ᾽ Ἀργείοισι, βίῃ δέ κεν ἀμφήριστος,
ἢ καὶ ἀγαυότερος· τὸ δέ που καὶ Τρῶες ἴσασιν,
οἵ με μέγα τρομέουσι, καὶ ἢν ἀπάτερθεν ἴδωνται.
καὶ δ᾽ αὐτὸς σάφα οἶδας ἐμὸν μένος, ἠδὲ καὶ ἄλλοι
ἀμφὶ παλαισμοσύνῃ πολυτειρέϊ πολλὰ μογήσας,
ὁππότε δὴ περὶ σῆμα δαϊκταμένου Πατρόκλοιο
Πηλείδης ἐρίθυμος ἀγακλυτὰ θῆκεν ἄεθλα.
  Ὣς φάτο Λαέρταο κλυτὸς πάϊς ἀντιθέοιο·
καὶ τότε Τρώϊοι υἷες ἔριν δικάσαντ᾽ ἀλεγεινὴν
αἰζηῶν· νίκην δὲ καὶ ἄμβροτα τεύχεα δῶκαν,
πάντες ὁμοφρονέοντες, ἐϋπτολέμῳ Ὀδυσῆϊ·
τοῦ δ᾽ ἄμοτον γήθησε νόος· στονάχησε δὲ λαός·
πυκνώθη δ᾽ Αἴαντος ἐΰ σθένος· αἶψα δ᾽ ἄρ᾽ αὐτῷ
ἄτη ἀνιηρὴ περικάππεσε· πᾶν δέ οἱ εἴσω
ἔζεσε φοίνιον αἷμα· χολὴ δ᾽ ὑπερέβλυσεν αἰνή·
ἥπατι δ᾽ ἔγκατ᾽ ἔμικτο· περὶ κραδίῃ δ᾽ ἀλεγεινὸν
ἷξεν ἄχος, καὶ δριμὺ δι᾽ ἐγκεφάλοιο θεμέθλων
ἐσσύμενον, μήνιγγας ἄδην ἀμφήλυθεν ἄλγος·
σὺν δ᾽ ἔχεεν νόον ἀνδρός· ἐπὶ χθονὶ δ᾽ ὄμματα πήξας,
ἔστη ἀκινήτῳ ἐναλίγκιος· ἀμφὶ δ᾽ ἑταῖροι
ἀγνύμενοί μιν ἄγεσκον ἐϋπρώρους ἐπὶ νῆας,
αρηγορέοντες· ὁ δ᾽ ὑστατίην ποσὶν οἶμον
ἐθέλων· σχεδόθεν δέ οἱ ἕσπετο Μοῖρα.
ὅτε δὴ μετὰ νῆας ἔβαν καὶ ἀτειρέα πόντον
δόρποιο μεμαότες ἠδὲ καὶ ὕπνου,
ἔσω μεγάλοιο Θέτις κατεδύσετο πόντου·
δέ οἱ ἄλλαι ἴσαν Νηρηΐδες· ἀμφὶ δ᾽ ἄρα σφιν
ιτο κήτεα πολλά, τά τε τρέφει ἁλμυρὸν οἶδμα.

αἳ δὲ μέγα σκύζοντο Προμηθεῖ μητιόεντι,
μνώμεναι, ὡς κείνοιο θεοπροπίῃσι Κρονίων
δῶκε Θέτιν Πηλῆϊ, καὶ οὐκ ἐθέλουσαν, ἄγεσθαι.
Κυμοθόη δ' ἐνὶ τῇσι, μέγ' ἀσχαλόωσ', ἀγόρευεν·
Ὢ πόποι, ὡς ὅγε λυγρὸς ἐπάξια πήμαθ' ὑπέτλη
δεσμῷ ἐν ἀῤῥήκτῳ, ὅτε οἱ μέγας αἰετὸς ἧπαρ
κεῖρεν ἀεξόμενον, κατὰ νηδύος ἔνδοθι βαίνων.
Ὣς φάτο Κυμοθόη κυανοπλοκάμοις ἁλίῃσιν·
ἠέλιος δ' ἀπόρουσεν, ἐπεσκιόωντο δ' ἀλωαὶ,
νυκτὸς ἐπεσσυμένης, ἐπεκίδνατο δ' οὐρανὸν ἄστρα·
Ἀργεῖοι δ' ἐπὶ νηυσὶ τανυπρώροισιν ἴαυον,
ὕπνῳ ὕπ' ἀμβροσίῳ δεδμημένοι, ἠδὲ καὶ οἴνῳ
ἡδεῖ, τὸν Κρήτηθε παρ' Ἰδομενῆος ἀγαυοῦ
ναῦται ὑπὲρ πόντοιο πολυκλύστοιο φέρεσκον.
Αἴας δ' Ἀργείοισι χολούμενος, οὔτ' ἄρα δόρπου
μνήσατ' ἐνὶ κλισίῃ μελιηδέος, οὔτε μιν ὕπνος
ἄμφεχεν, ἀλλά γ' ἑοῖσιν ἐν ἔντεσι δύσατο θύων·
εἵλετο δὲ ξίφος ὀξὺ, καὶ ἄσπετα πορφύρεσκεν,
ἢ ὅγ' ἐνιπρήσῃ νῆας, καὶ πάντας ὀλέσσῃ
Ἀργείους, ἢ μοῦνον ὑπὸ ξίφεϊ στονόεντι
δῃώσῃ μελεϊστὶ θοῶς δολόεντ' Ὀδυσῆα.
καὶ τὰ μὲν ὡς ὥρμαινε, τὰ δὴ τάχα πάντ' ἐτέλεσσεν,
εἰ μή οἱ Τριτωνὶς ἀάσχετον ἔμβαλε λύσσαν·
κήδετο γὰρ φρεσὶν ᾗσι πολυτλήτου Ὀδυσῆος,
ἱρῶν μνωομένη, τά οἱ ἔμπεδα κεῖνος ὄρεξεν·
τοὔνεκα δὴ μεγάλοιο μένος Τελαμωνιάδαο
τρέψεν ἀπ' Ἀργείων· ὁ δ' ἄρ' ἤϊε λαίλαπι ἶσος
σμερδαλέῃ, στυγερῇσι καταιγίσι βεβριθυίῃ,
ἥτε φέρει ναύτῃσι τέρας κρυεροῖο φόβοιο,

Πληϊὰς εὖτ' ἀκάμαντος ἐς ὠκεανοῖο ῥέεθρα
δύεθ', ὑποπτώσσουσα περικλυτὸν Ὠρίωνα,
ἠέρα συγκλονέουσα, μέμηνε δὲ χείματι πόντος·
τῇ εἰκὼς οἴμησεν, ὅπη μιν γυῖα φέρεσκον·
πάντη δ' ἀμφιθέεσκεν, ἀναιδέϊ θηρὶ ἐοικὼς,
ὅς τε βαθυσκοπέλοιο διέσσυται ἄγκεα βήσσης,
ἀφριόων γενύεσσι, καὶ ἄλγεα πολλὰ μενοινῶν
ἢ κυσὶν, ἢ ἀγρόταις, οἵ οἱ τέκνα δῃώσωνται,
ἄντρων ἐξερύσαντες· ὁ δ' ἀμφιθέῃσι βεβρυχὼς,
εἴπου ἔτ' ἐν ξυλόχοισιν ἴδοι θυμήρεα τέκνα·
τῷ δ' εἴ τις κύρσειε, μεμηνότα θυμὸν ἔχοντι,
αὐτοῦ οἱ βιότοιο λυγρὸν περιτέλλεται ἦμαρ·
ὣς ὅγ' ἀμείλιχα θῦνε, μέλαν δέ οἱ ἔζεεν ἦτορ,
εὖτε λέβης ἀλίαστον ἐπ' ἐσχάρῃ Ἡφαίστοιο
ῥοιβδηδὸν μαίνηται ὑπαὶ πυρὸς αἰθομένοιο,
γάστρην ἀμφί γε πᾶσαν ὅτε ξύλα πολλὰ θέρηται,
ἐννεσίῃς δρηστῆρος, ἐπειγομένου ἐνὶ θυμῷ,
εὐτραφέος σιάλοιο περὶ τρίχας ὥς κεν ἀμέρσῃ·
ὣς τοῦ ὑπὸ στέρνοισι πελώριος ἔζεε θυμός·
μαίνετο δ' ἠΰτε πόντος ἀπείριτος, ἠδὲ θύελλα,
ἢ πυρὸς ἀκαμάτοιο θοὸν μένος, εὖτ' ἀλίαστον
μαίνηται κατ' ὄρεσφι βίῃ μεγάλου ἀνέμοιο,
πίπτῃ δ' αἰθομένῃ πυρὶ πάντοθεν ἄσπετος ὕλη·
ὣς Αἴας ὀδύνῃσι πεπαρμένος ὄβριμον ἦτορ,
μαίνετο λευγαλέως· ἄπλετος δέ οἱ ἔῤῥεεν ἀφρὸς
ἐκ στόματος· βρυχὴ δὲ περὶ γναθμοῖσιν ὀρώρει·
τεύχεα δ' ἀμφ' ὤμοισιν ὑπέβραχε· τοὶ δ' ὁρόωντες
πάντες ὁμῶς ἑνὸς ἀνδρὸς ὑπετρομέεσκον ὁμοκλήν.

Καὶ τότ' ἀπ' ὠκεανοῖο κίεν χρυσήνιος Ἠώς·

Ὕπνος δ' οὐρανὸν εὐρὺν ἀνήϊεν, εἴκελος αὔρῃ·
Ἥρῃ δὲ ξύμβλητο νέον πρὸς Ὄλυμπον ἰούσῃ
Τηθύος ἐξ ἱερῆς, ὅθι που προτέρῃ μόλεν ἠοῖ·
ἡ δέ ἑ κύσσεν ἑλοῦσ', ἐπεί οἱ πέλε γαμβρὸς ἀμύμων
ἐξ οὗ οἱ Κρονίωνα κατεύνασεν ἐν λεχέεσσιν
Ἴδης ἀμφὶ κάρηνα, χολούμενον Ἀργείοισιν·
αἶψα δ' ἄρ' ἡ μὲν ἔβη Ζηνὸς δόμον, ὃς δ' ἐπὶ λέκτρα
Πασιθέης οἴμησεν· ἀνέγρετο δ' ἔθνεα φωτῶν.
Αἴας δ' ἀκαμάτῳ ἐναλίγκιος Ὠρίωνι,
φοίτα, ἐνὶ στέρνοισιν ἔχων ὀλοόφρονα λύσσαν·
ἐν δ' ἔθορε μήλοισι, λέων ὣς ὀβριμόθυμος,
λιμῷ ὑπ' ἀργαλέῳ δεδμημένος ἄγριον ἦτορ·
καὶ τὰ μὲν ἐν κονίῃσιν ἐπασσύτερ' ἄλλοθεν ἄλλα
κάββαλεν, ἠΰτε φύλλα μένος κρατεροῦ Βορέαο
χεύῃ, ὅτ' ἀνομένου θέρεος μετὰ χεῖμα τράπηται.
ὣς Αἴας μήλοισι, μέγ' ἀσχαλόων, ἐνόρουσεν,
ἐλπόμενος Δαναοῖσι κακὰς ἐπὶ κῆρας ἰάλλειν·
καὶ τότε δὴ Μενέλαος ἀδελφεῷ ἄγχι παραστὰς,
κρύβδ' ἄλλων Δαναῶν, τοῖον ποτὶ μῦθον ἔειπεν·
Σήμερον ἦ τάχα πᾶσιν ὀλέθριον ἔσσεται ἦμαρ,
Αἴαντος μεγάλοιο περὶ φρεσὶ μαινομένοιο,
ὃς τάχα νῆας ἐνιπρήσει, κτανέει δὲ καὶ ἡμᾶς
πάντας ἐνὶ κλισίῃσι, κοτεσσάμενος περὶ τευχέων.
ὡς ὄφελον μὴ τῶνδε Θέτις πέρι δῆριν ἔθηκε,
μηδ' ἄρα Λαέρταο πάϊς μέγ' ἀμείνονι φωτὶ
ἔτλη δηριάασθαι ἐναντίον ἄφρονι θυμῷ·
νῦν δὲ μέγ' ἀασάμεσθα, κακὸς δέ τις ἤκαχε δαίμων·
ἕρκος γὰρ πολέμοιο, δεδουπότος Αἰακίδαο,
μοῦνον ἔτ' ἦν Αἴαντος ἐῢ σθένος· ἀλλ' ἄρα καὶ τὸν

ἡμῖν ἐξολέσουσι θεοὶ, κακὰ νῶϊν ἄγοντες,
ὥς κεν πάντες ἄϊστον ἀναπλήσωμεν ὄλεθρον.
Ὣς φάμενον προσέειπεν ἐϋμμελίης Ἀγαμέμνων·
Μὴ νῦν, ὦ Μενέλαε, μέγ' ἀχνύμενος περὶ θυμῷ,
σκύζεο μητιόεντι Κεφαλλήνων βασιλῆϊ·
οὐ γάρ ὅ γ' αἴτιός ἐστιν, ἐπεὶ μάλα πολλάκις ἡμῖν
γίγνεται ἐσθλὸν ὄνειαρ, ἄχος δ' ἄρα δυσμενέεσσιν.
Ὣς οἱ μὲν Δαναῶν, ἀκαχήμενοι, ἠγορόωντο·
μηλονόμοι δ' ἀπάνευθε παρὰ Ξάνθοιο ῥεέθροις
πτῶσσον ὕπαὶ μυρίκῃσιν, ἀλευάμενοι βαρὺ πῆμα.
ὡς δ' ὅταν αἰετὸν ὠκὺν ὑποπτώσσουσι λαγωοὶ,
θάμνοις ἐν λασίοισιν, ὅτ' ἐγγύθεν ὀξὺ κεκληγὼς
πωτᾶτ' ἔνθα καὶ ἔνθα, τανυσσάμενος πτερύγεσσιν·
ὣς οἵ γ' ἄλλοθεν ἄλλος ὑπέτρεσαν ὄβριμον ἄνδρα.
ὀψὲ δ' ὅ γ' ἀρνειοῖο κατακταμένου σχεδὸν ἔστη,
καί ῥ' ὀλοὸν γελάσας, τοῖον ποτὶ μῦθον ἔειπε·
Κεῖσό νυν ἐν κονίῃσι, κυνῶν βόσις ἠδ' οἰωνῶν·
οὐ γάρ σ' οὔτ' Ἀχιλῆος ἐρύσσατο κύδιμα τεύχη,
ὧν ἕνεκ' ἀφραδέων μέγ' ἀμείνονι δηριάασκες·
κεῖσο, κύων· σὲ γὰρ οὔτι γοήσεται ἀμφιπεσοῦσα
κουριδίη μετὰ παιδὸς ἀάσφετον ἀσχαλόωσα,
οὐ τοκέες· τοῖς οὔτι μετέσσεαι ἐλπομένοισι
γήραος ἐσθλὸν ὄνειαρ, ἐπεί νύ σε τῆλ' ἀπὸ πάτρης
οἰωνοί τε, κύνες τε, δεδουπότα δαρδάψουσιν.
Ὣς ἄρ ἔφη, δολόεντα μετὰ κταμένοις Ὀδυσῆα
κεῖσθαι ὀϊόμενος, μεμορυγμένον αἵματι πολλῷ.
καὶ τότε οἱ Τριτωνὶς ἀπὸ φρενὸς ἠδὲ καὶ ὄσσων
ἐσκέδασεν Μανίην, βλοσυρὸν πνείουσαν ὄλεθρον·
ἡ δὲ θοῶς ἵκανε ποτὶ Στυγὸς αἰνὰ ῥέεθρα,

ἧχι θοαὶ ναίουσιν Ἐριννύες, αἵ τε βροτοῖσιν
αἰὲν ὑπερφιάλοισι κακὰς ἐφιᾶσιν ἀνίας.
Αἴας δ', ὡς ἴδε μῆλα κατὰ χθονὸς ἀσπαίροντα,
θάμβεεν ἐν φρεσὶ πάμπαν· ὀΐσσατο γὰρ χόλον εἶναι
ἐκ μακάρων· πάντεσσι δ' ὑπεκλάσθη μελέεσσι,
βλήμενος ἄλγεσι θυμὸν ἀρήϊον· οὐδ' ἄρα πρόσσω
ἔσθενεν ἀσχαλόων ἐπιβήμεναι, οὔτ' ἄρ' ὀπίσσω,
ἀλλ' ἔστη, σκοπιῇ ἐναλίγκιος, ἥ τ' ἐν ὄρεσσι
πασάων μάλα πολλὸν ὑπερτέρη ἐῤῥίζωται.
ἀλλ' ὅτε οἱ πάλι θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη,
λυγρὸν ἀνεστονάχησεν· ἔπος δ' ὀλοφύρετο τοῖον·
Ὤ μοι ἐγὼν, τί νυ τόσσον ἀπέχθομαι ἀθανάτοισιν,
οἵ με φρένας βλάψαντο, κακὴν δ' ἐπὶ λύσσαν ἔθεντο,
μῆλα κατακτεῖναι, τά μοι οὐκ ἔσαν αἴτια, θυμῷ;
ὡς ὄφελον τίσασθαι Ὀδυσσέος ἀργαλέον κῆρ
χείρεσ' ἐμαῖς, ἐπειή με κακῇ περικάββαλεν ἄτῃ,
λυγρὸς ἐὼν μάλα πάγχυ· πάθοι δέ κεν ἄλγεα θυμῷ,
ὁππόσα μητιόωνται Ἐριννύες ἀνθρώποισιν
ἀργαλέοις· δοῖεν δὲ καὶ ἄλλοις Ἀργείοισιν
ὑσμίνας ὀλοὰς καὶ πένθεα δακρυόεντα,
αὐτῷ τ' Ἀτρείδῃ Ἀγαμέμνονι· μηδ' ὅς ἀπήμων
ἔλθοι ἐὸν ποτὶ δῶμα, λιλαιόμενός περ ἱκέσθαι.
ἀλλὰ τί μοι στυγεροῖσι μετέμμεναι, ἐσθλὸν ἐόντα;
ἐῤῥέτω Ἀργείων ὀλοὸς στρατός· ἐῤῥέτω αἰὼν
ἄσχετος· οὐ γὰρ ἔτ' ἐσθλὸς ἔχει γέρας, ἀλλὰ χερείων
τιμήεις τε πέλει, καὶ φίλτερος· ἦ γὰρ Ὀδυσσεὺς
τίετ' ἐν Ἀργείοισιν, ἐμεῦ δ' ἐπὶ πάγχυ λάθοντο
ἔργων, ὁππόσ' ἔρεξα καὶ ἔτλην εἵνεκα λαῶν.
Ὣς εἰπὼν παῖς ἐσθλὸς ἐϋσθενέος Τελαμῶνος

Ἑκτόρεον ξίφος ὦσε δι' αὐχένος· ἐκ δέ οἱ αἷμα
ἐσσύμενον κελάρυζεν· ὁ δ' ἐν κονίῃσι τανύσθη
Τυφῶν ὥς, τὸν Ζηνὸς ἐνεπρήσαντο κεραυνοί·
ἀμφὶ δὲ γαῖα μέλαινα μέγα στονάχησε πεσόντος.
Καὶ τότε δὴ Δαναοὶ κίον ἀθρόοι, ὡς ἐσίδοντ
κείμενον ἐν κονίῃσι· πάρος δέ οἱ οὔτις ἵκανεν
ἐγγὺς, ἐπεὶ μάλα πάντας ἔχεν δέος εἰσορόωντας·
αἶψα δ' ἄρα κταμένου περικάππεσον· ἀμφὶ δὲ κρᾶτι
πρηνέες ἐκχύμενοι κόνιν ἄσπετον ἀμφεχέοντο,
καί σφιν ὀδυρομένοις γόος αἰθέρα δῖον ἵκανεν.
ὡς δ' ὅταν εἰροπόκων ὀΐων ἀπὸ νήπια τέκνα
ἀνέρες ἐξελάσωσιν, ἵνα σφίσι δαῖτα κάμωνται,
αἱ δὲ μέγ' ἀσκαίρουσι διηνεκέως μεμακυῖαι
μητέρες ἐκ τεκέων σηκοὺς πέρι χηρωθέντας·
ὣς οἵ γ' ἀμφ' Αἴαντα μέγα στένον ἤματι κείνῳ
πανσυδίῃ· μέγα δέ σφιν ἐπέβραχε δάσκιος Ἴδη,
καὶ πεδίον, καὶ νῆες, ἀπειρεσίη τε θάλασσα.
Τεῦκρος δ' ἀμφ' αὐτῷ μάλα μήδετο κῆρας ἐπισπεῖν
ἀργαλέας· τὸν δ' ἄλλοι ἀπὸ ξίφεος μεγάλοιο
εἶργον· ὁ δ' ἀσχαλόων περικάππεσε τεθνειῶτι
δάκρυα πολλὰ χέων, ἀδινώτερα νηπιάχοιο,
ὅς τε παρ' ἐσχαρεῶνι, τέφρην περιειμένος ὤμοις
κακκεφαλῆς, μάλα πάμπαν ὀδύρεται ὀρφανὸν ἦμαρ,
μητρὸς ἀποφθιμένης, ἥ μιν τρέφε νηΐδα πατρός·
ὣς ὅγε κωκύεσκε, κασιγνήτοιο δαμέντος,
ἑρπύζων περὶ νεκρὸν, ἔπος δ' ὀλοφύρετο τοῖον·
Αἶαν καρτερόθυμε, τίη νύ σοι ἔβλαβεν ἦτορ,
οἷ αὐτῷ στονόεντα φόνον καὶ πῆμα βαλέσθαι;
ἦ ἵνα Τρώϊοι υἷες ὀϊζύος ἀμπνεύσωσιν,

Ἀργείους δ' ὀλέσωσι, σέθεν κταμένοιο κιόντες;
οὐ γάρ τοῖς δ' ἔτι θάρσος, ὅσον πάρος, ὀλλυμένοισιν
ἔσσεται ἐν πολέμῳ· σὺ γάρ ἔπλεο πήματος ἄλκαρ·
οὐδέ τ' ἐμοὶ νόστοιο τέλος σέο δεῦρο θανόντος
ἁνδάνει, ἀλλὰ καὶ αὐτὸς ὀΐομαι ἐνθάδ' ὀλέσθαι,
ὄφρα με σὺν σοὶ γαῖα φερέσβιος ἀμφικαλύπτῃ·
οὐ γάρ μοι τοκέων τόσσον μέλει, εἴ πω ἔτ' εἰσὶν,
εἴπου ἔτ' ἀμφινέμονται ἔτι ζωοὶ Σαλαμῖνα,
ὅσσον σεῖο θανόντος, ἐπεὶ σύ μοι ἔπλεο κῦδος.
Ἦ ῥα μέγα στενάχων· ἐπὶ δ' ἔστενε δῖα Τέκμησσα,
Αἴαντος παράκοιτις ἀμύμονος, ἥν περ ἐοῦσαν
ληϊδίην, σφετέρην ἄλοχον θέτο, καί μιν ἁπάντων
τεῦξεν ἄνασσαν ἔμεν, ὅσσων ἀνὰ δῶμα γυναῖκες
ἑδνωταὶ μεδέουσι, παρ' ἀνδράσι κουριδίοισιν·
ἡ δέ οἱ ἀκαμάτῃσιν ὑπ' ἀγκοίνῃσι δαμεῖσα,
Εὐρυσάκην τέκεθ' υἱὸν, ἐοικότα πάντα τοκῆϊ·
ἀλλ' ὁ μὲν οὖν ἔτι τυτθὸς ἐνὶ λεχέεσσι λέλειπτο.
ἡ δὲ μέγα στενάχουσα, φίλῳ περικάππεσε νεκρῷ
ἐντυπὰς ἐν κονίῃσι, καλὸν δέμας αἰσχύνουσα·
καί ῥ' ὀλοφυδνὸν ἄϋσε, μέγ' ἀχνυμένη κέαρ ἔνδον·
Ὤ μοι ἐγὼ δύστηνος, ἐπεὶ θάνες, οὔτι δαϊχθεὶς
δυσμενέων παλάμῃσιν ἀνὰ μόθον, ἀλλά οἱ αὐτῷ·
τῷ μοι πένθος ἄλαστον ἐποίχεται· οὐ γὰρ ἐώλπειν
σεῖο καταφθιμένοιο πολύστονον ἦμαρ ἰδέσθαι
ἐν Τροίῃ· τὰ δὲ πάντα κακαὶ διὰ Κῆρες ἔχευαν.
ὡς ὄφελον τοπάροιθεν ἐμοὶ τραφερὴ χάνε γαῖα,
πρὶν σέο πότμον ἰδέσθαι ἀμείλιχον· οὐ γὰρ ἔμοιγε
ἄλλο χερειότερόν ποτ' ἐσήλυθεν εἰς φρένα πῆμα,
οὐδ' ὅτε με πρώτιστον ἐμῆς ἀπὸ τηλόθι πάτρης,

καὶ τοκέων εἴρυσσας, ἅμ᾽ ἄλλης ληϊάδεσσι,
πολλ᾽ ὀλοφυρομένην, ἐπειή νύ με, τοπρὶν ἄνασσαν
αἰδοίην περ ἐοῦσαν, ἐπήϊε δούλιον ἦμαρ.
ἀλλά μοι οὔτε πάτρης θυμηδέος, οὔτε τοκήων
μέμβλεται οἰχομένων, ὁπόσον σέο δηωθέντος,
οὕνεκά μοι δειλῇ θυμήρεα πάντα μενοίνας,
καί ῥά μ᾽ ἔθηκας ἄκοιτιν ὁμόφρονα· καὶ γὰρ ἔφησθα
τεύξειν αὐτίκ᾽ ἄνασσαν ἐϋκτιμένης Σαλαμῖνος,
νοστήσας Τροίηθε· τὰ δ᾽ οὐ θεὸς ἄμμι τέλεσσεν·
ἀλλὰ σὺ νῦν μὲν ἄϊστος ἀποίχεαι, οὐδέ νύ σοί περ
μέμβλετ᾽ ἐμεῦ, καὶ παιδὸς, ὃς οὐ πατρὶ τέρψεται ἦτορ,
οὐ σέο κοιρανίης ἐπιβήσεται, ἀλλά μιν ἄλλοι
δμῶα λυγρὸν τεύξουσιν, ἐπεὶ πατρὸς οὐκ ἔτ᾽ ἐόντος,
νηπίαχοι κομέονται ὑπ᾽ ἀνδρέσσιν μάλα πολλὸν
χειροτέροις· ὀλοῇ γὰρ ἐπ᾽ ὀρφανίῃ βαρὺς αἰὼν
πᾶσι πέλει, καὶ πήματ᾽ ἐπ᾽ ἄλλοθεν ἄλλα χέονται.
καὶ δέ με δειλαίην τάχα δούλιον ἵξεται ἦμαρ,
οἰχομένου σέο πρόσθεν, ὅ μοι, θεὸς ὥς, ἐτέτυξο.
Ὣς φαμένην προσέειπε φίλα φρονέων Ἀγαμέμνων·
Ὦ γύναι, οὔ νύ σέ τις δμωὴν ἔτι θήσεται ἄλλος,
Τεύκρου ἔτι ζώοντος ἀμύμονος, ἠδ᾽ ἐμεῦ αὐτοῦ,
ἀλλά σε τίσομεν αἰὲν ἀπειρεσίοις γεράεσσι,
τίσομεν ὥς τε θεὴν, καὶ σὸν τέκος, ὡς ἔτ᾽ ἐόντος
ἀντιθέου Αἴαντος, ὃς ἔπλετο κάρτος Ἀχαιῶν.
αἴθ᾽ ὄφελον μήδ᾽ ἄλγος Ἀχαιΐδι θήκατο πάσῃ
αὐτὸς ἑῇ ὑπὸ χειρὶ δαμείς· οὐ γάρ μιν ἀπείρων
δυσμενέων σθένε λαὸς ὑπ᾽ Ἄρεϊ δηώσασθαι.
Ὣς ἔφατ᾽, ἀχνύμενος κέαρ ἔνδοθεν· ἀμφὶ δὲ λαοὶ
οἰκτρὸν ἀνεστονάχησαν, ἐπίαχε δ᾽ Ἑλλήσποντος

μυρομένων, ὀλοὴ δὲ περί σφισι πέπτατ' ἀνίη·
καὶ δ' αὐτὸν λάβε πένθος Ὀδυσσέα μητιόεντα
κείνου ἀποκταμένοιο· καὶ ἀχνύμενος κατὰ θυμὸν,
τοῖον ἔπος μετέειπεν ἀκηχεμένοισιν Ἀχαιοῖς·
Ὦ φίλοι, ὡς οὔ πώ τι κακώτερον ἄλλο χόλοιο
γίγνεται, ὅς τε βροτοῖσι κακὴν ἐπὶ δῆριν ἀέξει·
ὃς καὶ νῦν Αἴαντα πελώριον ἐξορόθυνεν,
ἀμφ' ἐμοὶ ἐν φρεσὶν ᾗσι χολούμενον· ὡς ὄφελόν μοι
μή ποτε Τρώϊοι υἷες Ἀχιλλέος εἵνεκα τευχέων
νίκην ἀμφεβάλοντ' ἐρικυδέα, τῆς πέρι θυμὸν
ἀχνύμενος πάϊς ἐσθλὸς ἐϋσθενέος Τελαμῶνος,
ὤλετο χερσὶν ἑῇσι· χόλου δέ οἱ οὔτι ἔγωγε
αἴτιος, ἀλλά τις αἶσα πολύστονος, ἥ μιν ἐδάμνα·
εἰ γάρ ποι κέαρ ἔνδον ἐνὶ στέρνοισιν ἐώλπει
κεῖνον ἀλαστήσειν καθ' ἑὸν νόον, οὔτ' ἂν ἔγωγε
ἦλθον ἐριδμαίνων νίκης ὕπερ, οὔτε τιν' ἄλλων
ἐν Δαναοῖσιν ἔασα, μεμαότα δηριάασθαι·
ἀλλὰ καὶ αὐτὸς ἔγωγε θεουδέα τεύχε' ἀείρας,
προφρονέως ἂν ὄπασσα, καὶ εἴ τί περ ἄλλο μενοίνα.
νῦν δέ μιν οὔτι ἔγωγε μέγ' ἀχνύμενον χαλεπῆναι
ὠϊσάμην μετόπισθεν, ἐπεί ῥά οἱ οὔτε γυναικὸς,
οὔτε περὶ πτόλιος μαχόμην, οὔτ' εὐρέος ὄλβου,
ἀλλά μοι ἀμφ' ἀρετῆς νεῖκος πέλεν, ἧς πέρι δῆρις
τερπνὴ γίγνεται αἰὲν ἐΰφροσιν ἀνθρώποισι·
κεῖνος δ' ἐσθλὸς ἐὼν, στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
ἤλιτεν· οὐ γάρ ἔοικε μέγ' ἀσχαλάαν ἐνὶ θυμῷ·
ἀνδρὸς γὰρ πινυτοῖο, καὶ ἄλγεα πόλλ' ἐπιόντα
τλῆναι ὑπὸ κραδίῃ στερεῇ φρενὶ, μηδ' ἀκάχησθαι.
Ὣς φάτο Λαέρταο κλυτὸς πάϊς ἀντιθέοιο·

ἀλλ᾽ ὅτε δὴ κορέσαντο γόου, καὶ πένθεος αἰνοῦ,
δὴ τότε Νηλέος υἱὸς ἔτ᾽ ἀχνυμένοισιν ἔειπεν·
Ὦ φίλοι, ὡς ἄρα Κῆρες, ἀνηλέα θυμὸν ἔχουσαι,
ἡμῖν αἶψα βάλοντο λυγρῷ ἐπὶ πένθεϊ πένθος,
Αἴαντος φθιμένοιο, πολυσθενέος τ᾽ Ἀχιλῆος,
ἄλλων τ᾽ Ἀργείων, ἠδ᾽ υἷεος ἡμετέροιο,
Ἀντιλόχου· ἀλλ᾽ οὔτι θέμις κταμένους ἐνὶ χάρμῃ
κλαίειν ἤματα πάντα, καὶ ἀσχαλάαν ἐνὶ θυμῷ,
ἀλλὰ γόου λήσασθαι ἀεικέος· οὕνεκ᾽ ἄμεινον
ἔρδειν, ὅσσα βροτοῖσιν ἐπὶ φθιμένοισιν ἔοικεν,
πυρκαϊὴν καὶ σῆμα, καὶ ὀστέα ταρχύσασθαι·
νεκρὸς δ᾽ οὔτι γόοισιν ἀνέγρεται, οὐδέ τι οἶδε
φράσσασθ᾽, εὖτέ ἑ Κῆρες ἀμείλιχοι ἀμφικάνωσιν.
Ἦ ῥα, παρηγορέων· περὶ δ᾽ ἀντίθεοι βασιλῆες
ἀθρόοι αἶψ᾽ ἀγέροντο, μέγ᾽ ἀχνύμενοι κέαρ ἔνδον,
καί ἑ, μέγαν περ ἐόντα, θοὰς ποτὶ νῆας ἔνεικαν,
πολλοὶ ἀείραντες· κατὰ δὲ σπείροισι κάλυψαν,
αἷμ᾽ ἀποφαιδρύναντες, ὅ οἱ βριαροῖς μελέεσσι
τερσόμενον περίκειτο, σὺν ἔντεσι, καὶ κονίῃσι·
καὶ τότ᾽ ἀπ᾽ Ἰδαίων ὀρέων φέρον ἄσπετον ὕλην
αἰζηοί· πάντῃ δὲ νέκυν πέρι δινήσαντο·
πολλὰ δ᾽ ἄρ᾽ ἀμφ᾽ αὐτῷ θῆκαν ξύλα, πολλὰ δὲ μῆλα,
φάρεά τ᾽ εὐποίητα, βοῶν τ᾽ ἐρικυδέα φῦλα,
ἠδὲ καὶ ὠκυτάτοισιν ἀγαλλομένους ποσὶν ἵππους,
χρυσόν τ᾽ αἰγλήεντα, καὶ ἄσπετα τεύχεα φωτῶν,
ὅσσα πάρος κταμένων ἀποαίνυτο φαίδιμος ἀνήρ·
ἤλεκτρόν τ᾽ ἐπὶ τοῖσι διειδέα, τόν ῥά τέ φασιν
ἔμμεναι Ἠελίοιο πανομφαίοιο θυγατρῶν
δάκρυ· τὸ δὴ Φαέθοντος ὑπὲρ κταμένοιο χέαντο,

μυρόμεναι μεγάλοιο παρὰ ῥόον Ἠριδανοῖο·
καὶ τὸ μὲν Ἠέλιος γέρας ἄφθιτον υἷεϊ τεύχων,
ἤλεκτρον ποίησε, μέγα κτέαρ ἀνθρώποισιν·
τόν ῥα τότ' εὐρυπέδοιο πυρῆς καθύπερθε βάλοντο
Ἀργεῖοι, κλυτὸν ἄνδρα δεδουπότα κυδαίνοντες
Αἴαντ'· ἀμφὶ δέ οἱ, μέγαλα στενάχοντες, ἔθεντο
τιμήεντ' ἐλέφαντα καὶ ἄργυρον ἱμερόεντα,
ἠδὲ καὶ ἀμφιφορῆας ἀλείφατος, ἄλλα τε πάντα,
ὁππόσα κυδήεντα καὶ ἀγλαὸν ὄλβον ὀφέλλει.
ἐν δ' ἔβαλον κρατεροῖο πυρὸς μένος· ἦλθε δὲ πνοιὴ
ἐξ ἁλὸς, ἣν προέηκε θεὰ Θέτις, ὄφρα θέροιτο
Αἴαντος μεγάλοιο βίη· ὁ δὲ νύκτα καὶ ἠῶ
καίετο πὰρ νήεσσιν, ἐπειγομένου ἀνέμοιο·
οἷός που τοπάροιθε Διὸς στονόεντι κεραυνῷ
Ἐγκέλαδος δέδμητο κατ' ἀκαμάτοιο θαλάσσης,
Θρινακίης ὑπένερθεν, ὅλη δ' ὑπετύφετο νῆσος·
ἠδ' οἷον ζώοντα μέλη πυρὶ δῶκε θέρεσθαι
Ἡρακλέης, Νέσσοιο δολοφροσύνῃσι χαλεφθεὶς,
ὁππότ' ἔτλη μέγα ἔργον, ὅλη δ' ἀμφέστενεν Οἴτη
ζωοῦ καιομένοιο, μίγη δέ οἱ αἰθέρι θυμὸς,
ἄνδρα λιπὼν ἀρίδηλον, ἐνεκρίνθη δὲ θεοῖσιν
αὐτὸς, ἐπεί οἱ σῶμα πολύκμητος χάδε γαῖα·
τοῖος ἄρ' ἐν πυρὶ κεῖτο, λελασμένος ἰωχμοῖο,
Αἴας σὺν τεύχεσσι· πολὺς δ' ἐστείνετο λαὸς
αἰγιαλοῖς· Τρῶες δὲ γάνυντ', ἀκάχοντο δ' Ἀχαιοί.
ἀλλ' ὅτε δὴ δέμας ἠῢ κατήνυσε πῦρ ἀΐδηλον,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ' αὐτοῦ
χηλῷ ἐνὶ χρυσέῃ θῆκαν· περὶ δέ σφισι γαῖαν
χεῦαν ἀπειρεσίην, Ῥοιτηΐδος οὐχ ἑκὰς ἀκτῆς·

αὐτίκα δ' ἐσκίδναντο πολυσκάρθμους ἐπὶ νῆας,
θυμὸν ἀκηχεμένοι· τὸν γάρ τίον ἶσον Ἀχιλλεῖ.
νὺξ δ' ἐπόρουσε μέλαινα, μετ' ἀνέρας ὕπνον ἄγουσα·
οἱ δ' ἄρα δαῖτα πάσαντο, καὶ ἠριγένειαν ἔμιμνον,
βαιὸν ἀποβρίξαντες ἀραιοῖσιν βλεφάροισιν·
αἰνῶς γὰρ φοβέοντο κατὰ φρένα, μή σφισι Τρῶες
νυκτὸς ἐπέλθωσιν, Τελαμωνιάδαο θανόντος.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ ΣΤ.

Ἠὼς δ' ὠκεανοῖο ῥόον, καὶ λέκτρα λιποῦσα
Τιθωνοῦ, προσέβη μέγαν οὐρανόν· ἀμφὶ δὲ πάντη
κίδνατο παμφανόωσα· γέλασσε δὲ γαῖα, καὶ αἰθήρ.
τοὶ δ' εἰς ἔργα τράποντο βροτοὶ ῥεῖα φθινύθοντες·
ἄλλοι δ' ἀλλοίοισιν ἐπῴχοντ'· αὐτὰρ Ἀχαιοὶ
εἰς ἀγορὴν ἐχέοντο, καλεσσαμένου Μενελάου.
καί ῥ' ὅτε δὴ μάλα πάντες ἀνὰ στρατὸν ἠγερέθοντο,
δὴ τότ' ἐνὶ μέσσοισιν ἀγειρομένοισι μετηύδα·
Κέκλυτε μῦθον ἐμεῖο, θεηγενέες βασιλῆες,
ὡς ἐρέω· μέγα γάρ μοι ἐνὶ φρεσὶ τείρεται ἦτορ,
λαῶν ὀλλυμένων· οἵ ῥ' ἤλυθον εἵνεκ' ἐμεῖο
δῆριν ἐς ἀργαλέην· τοὺς οὐχ' ὑποδέξεται οἶκος,
οὐ τοκέες· πολέας γὰρ ὑπέκλασε δαίμονος αἶσα.
ὡς ὄφελον θανάτοιο βαρὺ σθένος ἀτλήτοιο
αὐτῷ μοι ἐπόρουσε, πρὶν ἐνθάδε λαὸν ἀγεῖραι·
νῦν δέ μοι ἀλλήκτους ὀδύνας ἐνεθήκατο δαίμων,
ὄφρ' ὁρόω κακὰ πολλά· τίς ἂν φρεσὶ γηθήσειεν,
εἰσορόων ἐπὶ δηρὸν ἀμήχανα ἔργα μόθοιο;
ἀλλ' ἄγεθ' ὅσσοι ἔτ' εἰμέν, ἐπ' ὠκυπόροισι νέεσσι,

καρπαλίμως φεύγωμεν ἑὴν ἐπὶ γαῖαν ἕκαστος,
Αἴαντος φθιμένοιο, πολυσθενέος τ᾽ Ἀχιλῆος,
τῶν ἐγὼ οὐκ ὀΐω κταμένων ὑπαλύξαι ὄλεθρον
ἡμέας, ἀλλ᾽ ὑπὸ Τρωσὶ δαμήμεναι ἀργαλέοισιν,
εἵνεκ᾽ ἐμεῦ, Ἑλένης τε κυνώπιδος, ἧς νύ μοι οὔτι
μέμβλεται, ὡς ὑμέων, ὁπότε κταμένους ἐσίδωμαι
ἐν πολέμῳ· κείνη δ᾽ ἀλαπαδνοτάτῳ σὺν ἀκοίτῃ
ἐῤῥέτω· ἐκ γάρ οἱ πινυτὰς φρένας εἵλετο δαίμων
ἐκ κραδίης, ὅτ᾽ ἐμεῖο λίπεν δόμον, ἠδὲ καὶ εὐνήν.
ἀλλὰ τὰ μὲν κείνης Πριάμῳ καὶ Τρωσὶ μελήσει·
ἡμεῖς δ᾽ αἶψα νεώμεθ᾽, ἐπεὶ πολὺ λώϊόν ἐστιν
ἐκφυγέειν πολέμοιο δυσηχέος, ἢ ἀπολέσθαι.
Ὣς ἔφατ᾽, Ἀργείων πειρώμενος· ἄλλα δέ οἱ κῆρ
καὶ κραδίη πόρφυρε περὶ ζηλήμονι θυμῷ,
Τρῶας ὅπως ὀλέσῃ, καὶ τείχεα μακρὰ πόληος
ῥήξῃ ἐκ θεμέθλων, μάλα δ᾽ αἵματος ἄσῃ Ἄρηα,
δίου Ἀλεξάνδροιο μετὰ φθιμένοισι πεσόντος·
οὐ γάρ τοι ζήλοιο πέλει στυγερώτερον ἄλλο.
Καὶ τὰ μὲν ὣς ὥρμαινεν· ἑῇ δ᾽ ἐπιΐζανεν ἕδρῃ·
καὶ τότε Τυδείδης ἐγχέσπαλος ὦρτ᾽ ἐνὶ μέσσοις,
καί ῥα θοῶς νείκεσσεν ἀρηΐφιλον Μενέλαον·
Ἆ δειλ᾽ Ἀτρέος υἱὲ, τίη νύ σε δεῖμα κιχάνει
ἀργαλέον, καὶ τοῖα μετ᾽ Ἀργείοις ἀγορεύεις,
ὡς πάϊς, ἠὲ γυνὴ, τῶν περ σθένος ἔστ᾽ ἀλαπαδνόν;
ἀλλά σοι οὐ πείσονται Ἀχαιῶν φέρτατοι υἷες,
πρὶν Τροίης κρήδεμνα ποτὶ χθόνα πάντα βαλέσθαι·
θάρσος γὰρ μερόπεσσι κλέος μέγα, φύζα δ᾽ ὄνειδος·
εἰ δ᾽ ἄρα τις καὶ τῶνδ᾽ ἐπιπείσεται, ὡς ἐπιτέλλεις,
αὐτίκα οἱ κεφαλὴν τεμέω ἰόεντι σιδήρῳ,

ῥίψω δ' οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.
ἀλλ' ἄγεθ' οἷσι μέμηλεν ὀρινέμεναι μένε' ἀνδρῶν,
λαοὺς αὐτίκα πάντας ὀτρυνάντων κατὰ νῆας
δούρατα θηγέμεναι, παρά τ' ἀσπίδας ἄλλα τε πάντα
εὖ θέσθαι, καὶ δεῖπνον ἐφοπλίσσασθαι ἅπαντας
ἀνέρας, ἠδ' ἵππους, οἵτ' ἐς πόλεμον μεμάασιν·
ἐν πεδίῳ δ' ὤκιστα διακρινέει μένος Ἄρης.
Ὣς φάτο Τυδείδης· κατὰ δ' ἕζετο, ἧχι πάρος περ·
τοῖσι δὲ Θέστορος υἱὸς ἔπος ποτὶ τοῖον ἔειπεν,
ἀνστὰς ἐν μέσσοισιν, ὅπῃ θέμις ἔστ' ἀγορεύειν·
Κέκλυτε μευ φίλα τέκνα μενεπτολέμων Ἀργείων·
ἴστε γὰρ, ὡς σάφα οἶδα θεοπροπίας ἀγορεύειν·
ἤδη μὲν καὶ πρόσθ' ἐφάμην δεκάτῳ λυκάβαντι
πέρσειν Ἴλιον αἰπύ· τὸ δὴ νῦν ἐκτελέουσιν
ἀθάνατοι· νίκη δὲ πέλει παρὰ ποσσὶν Ἀχαιῶν.
ἀλλ' ἄγε Τυδέος υἷα, μενεπτόλεμόν τ' Ὀδυσῆα
πέμψωμεν Σκύρονδε θοῶς ἐνὶ νηῒ μελαίνῃ,
οἵ ῥα παραιπεπιθόντες Ἀχιλλέος ὄβριμον υἷα
ἄξουσιν, μέγα δ' ἄμμι φάος πάντεσσι πελάσσει.
Ὣς φάτο Θέστορος υἱὸς ἐΰφρονος· ἀμφὶ δὲ λαοὶ
γηθόσυνοι κελάδησαν, ἐπεί σφισιν ἦτορ ἐώλπει
Κάλχαντος φάτιν ἔμμεν ἐτήτυμον, ὡς ἀγόρευε.
καὶ τότε Λαερτάο πάϊς μετέειπεν Ἀχαιοῖς·
Ὦ φίλοι, οὐκ ἔτ' ἔοικε μεθ' ὑμῖν πόλλ' ἀγορεύειν
σήμερον· ἐν γὰρ δὴ κάματος πέλει ἀχνυμένοισιν·
οἶδα γὰρ ὡς λαοῖσι κεκμηκόσιν οὐδ' ἀγορητὴς
ἁνδάνει, οὔτ' ἄρ' ἀοιδὸς, ὃν ἀθάνατοι φιλέουσι
Πιερίδες· παύρων δ' ἐπέων ἔρος ἀνθρώποισι·
νῦν δ', ὅπερ εὔαδε πᾶσι κατὰ στρατὸν Ἀργείοισι,

Τυδείδαο μάλιστα συνεσπομένου τελέσαιμεν·
ἄμφω γάρ κεν ἰόντε φιλοπτολέμου Ἀχιλῆος
ἄξομεν ὄβριμον υἷα, παρακλίναντ᾽ ἐπέεσσιν,
εἴ κέν μιν μάλα πολλὰ κινυρομένη κατερύκει
μήτηρ ἐν μεγάροισιν· ἐπεὶ κρατεροῖο τοκῆος
ἔλπομ᾽ ἐμὸν κατὰ θυμὸν ἀρήϊον ἔμμεναι υἷα.
Ὣς φάμενον προσέειπε πύκα φρονέων Μενέλαος·
Ὦ Ὀδυσεῦ, μέγ᾽ ὄνειαρ ἐϋσθενέων Ἀργείων,
ἤνπερ Ἀχιλλῆος μεγαλόφρονος ὄβριμος υἱὸς
ἔλθοι ἀπὸ Σκύροιο, πόροι δέ τις οὐρανιώνων
νίκην εὐχομένοισι, καὶ Ἑλλάδα γαῖαν ἱκέσθαι·
δώσω οἱ παράκοιτιν ἐμὴν ἐρικυδέα κούρην
Ἑρμιόνην, καὶ πολλὰ καὶ ὄλβια δῶρα σὺν αὐτῇ
προφρονέως· οὐ γάρ μιν ὀΐομαι οὔτε γυναῖκα,
οὔτ᾽ ἄρα πενθερὸν ἐσθλὸν ὑπερφιάλως ὀνόσασθαι.
Ὣς ἄρ᾽ ἔφη· Δαναοὶ δὲ συνευφήμησαν ἔπεσσι·
καὶ τότε λῦτ᾽ ἀγορή· τοὶ δ᾽ ἐσκίδναντ᾽ ἐπὶ νῆας,
ἱέμενοι δείπνοιο, τὸ δὴ πέλει ἀνδράσιν ἀλκή.
καί ῥ᾽ ὅτε δὴ παύσαντο, κορεσσάμενοι μέγ᾽ ἐδωδῆς,
δὴ τόθ᾽ ὁμῶς Ὀδυσῆϊ περίφρονι Τυδέος υἱὸς
νῆα θοὴν εἴρυσσεν ἀπειρεσίης ἁλὸς εἴσω·
καρπαλίμως δ᾽ ἤϊα, καὶ ἄρμενα πάντα βαλόντες,
ἐν δὲ καὶ αὐτοὶ ἔβαν· μετὰ δέ σφισιν εἴκοσι φῶτες,
ἴδμονες εἰρεσίης, ὁπότ᾽ ἀντίαι εἰσὶν ἄελλαι,
ἠδ᾽ ὁπότ᾽ εὐρέα πόντον ὑποστορέῃσι γαλήνη.
καί ῥ᾽ ὅτε δὴ κληῖσιν ἐπ᾽ εὐτύκτοισι κάθισσαν,
τύπτον ἁλὸς μέγα κῦμα· πολὺς δ᾽ ἀμφέζεεν ἀφρός·
ὑγραὶ δ᾽ ἀμφ᾽ ἐλάτῃσι διαπρήσσοντο κέλευθοι,
νηὸς ἐπεσσυμένης· τοὶ δ᾽ ἱδρώοντες ἔρεσσον.

ὡς δ' ὅθ' ὑπὸ ζεύγλῃσι βόες μέγα κεκμηῶτες
δουρατέην ἐρύσωσι πρόσω μεμαῶτες ἀπήνην,
ἄχθεϊ τετριγυῖαν ὑπ' ἄξονι δινήεντι,
τειρόμενοι, πουλὺς δὲ κατ' αὐχένας, ἠδὲ καὶ ὤμους
ἱδρὼς ἀμφοτέροισι κατέσσυται ἄχρις ἐπ' οὖδας·
ὣς τῆμος μογέεσκον ὑπὸ στιβαρῇς ἐλάτῃσιν
αἰζηοί· μάλα δ' ὦκα διήνυον εὐρέα πόντον·
τοὺς δ' ἄλλοι μὲν Ἀχαιοὶ ἀποσκοπίαζον ἰόντας·
θῆγον δ' αἰνὰ βέλεμνα, καὶ ἔγχεα, τοῖσι μάχοντο.
Τρῶες δ' ἄστεος ἐντὸς ἀταρβέες ἐντύοντο
ἐς πόλεμον μεμαῶτες, ἰδ' εὐχόμενοι μακάρεσσι
λωφῆσαί τε φόνοιο, καὶ ἀμπνεῦσαι καμάτοιο.
τοῖσι δ' ἐελδομένοισι θεοὶ μέγα πήματος ἄλκαρ
ἤγαγον, Εὐρύπυλον, κρατεροῦ γένος Ἡρακλῆος·
καί οἱ λαοὶ ἕποντο δαήμονες ἰωχμοῖο
πολλοὶ, ὅσοι δολιχοῖο παρὰ προχοῇσι Καΐκου
ναίεσκον, κρατερῇσι πεποιθότες ἐγχείῃσιν.
ἀμφὶ δέ οἱ κεχάροντο μέγα φρεσὶ Τρώϊοι υἷες.
ὡς δ' ὁπότ', ἕρκεος ἐντὸς ἐεργμένοι ἀθρήσωσιν
ἥμενοι ἀνέρα χῆνες, ὅτις σφίσιν εἴδατα βάλλοι,
σαίνουσιν, τοῦ δ' ἦτορ ἰαίνεται εἰσορόωντος·
ὣς ἄρα Τρώϊοι υἷες ἐγήθεον, εὖτ' ἐσίδοντο
ὄβριμον Εὐρύπυλον· τοῦ δ' ἐν φρεσὶ θαρσαλέον κῆρ
τέρπετ' ἀγειρομένοισιν· ἀπὸ προθύρων δὲ γυναῖκες
θάμβεον ἀνέρα δῖον· ὁ δ' ἔξοχος ἔσπετο λαῶν,
ἠΰτε τις θώεσσι λέων ἐν ὄρεσσι μετελθών.
τὸν δὲ Πάρις δείδεκτο, τίεν δέ μιν Ἕκτορι ἶσον·
τοῦ γὰρ ἀνεψιὸς ἔσκεν, ἰῆς δ' ἐτέτυκτο γενέθλης·
τὸν γὰρ δὴ τέκε δῖα κασιγνήτη Πριάμοιο

Ἀστυόχη, κρατερῇσιν ὑπ' ἀγκοίνῃσι μιγεῖσα
Τηλέφου, ὅν ῥα καὶ αὐτὸν ἀταρβέϊ Ἡρακλῆϊ
λάθρῃ ἑοῖο τοκῆος ἐϋπλόκαμος τέκεν Αὔγη·
καί μιν τυτθὸν ἐόντα, καὶ ἰσχανόωντα γάλακτος,
θρέψε θοή ποτε κεμμὰς, ἑῷ δ' ἶσα φίλατο νεβρῷ,
μαζὸν ὑποσχομένη, βουλῇ Διός· οὐ γὰρ ἐῴκει
ἔκγονον Ἡρακλῆος ὀϊζυρῶς ἀπολέσθαι.
τοῦ δ' ἄρα κύδιμον υἷα Πάρις μάλα πρόφρονι θυμῷ
ἦγεν ἑὸν ποτὶ δῶμα δι' εὐρυχόροιο πόληος,
σῆμα παρ' Ἀσσαράκοιο, καθ' Ἕκτορος αἰπὰ μέλαθρα,
νηόν τε ζάθεον Τριτωνίδος, ἔνθα οἱ ἄγχι
δώματ' ἔσαν καὶ βωμὸς ἀκήρατος Ἑρκείοιο·
καί μιν ἀδελφειῶν πηῶν θ' ὕπερ, ἠδὲ τοκήων,
ἤρετο προφρονέως· ὁ δέ οἱ μάλα πάντ' ἀγόρευεν·
ἄμφω δ' ὡς ὀάριζον, ἅμ' ἀλλήλοισι κιόντες,
ἤλυθον ἐς μέγα δῶμα καὶ ὄλβιον, ἔνθ' ἄρα ἧστο
ἀντιθέη Ἑλένη, Χαρίτων ἐπιειμένη εἶδος·
καί ῥά μιν ἀμφίπολοι πίσυρες περιποιπνύεσκον,
ἄλλαι δ' αὖτ' ἀπάνευθεν ἔσαν κλειτοῦ θαλάμοιο,
ἔργα τιτυσκόμεναι, ὁπόσα δμωῇσιν ἔοικεν.
Εὐρύπυλον δ' Ἑλένη μέγ' ἐθάμβεεν εἰσορόωσα·
κεῖνος δ' αὖθ' Ἑλένην· μετὰ δ' ἀλλήλους ἐπέεσσιν
ἄμφω δεικανόωντο, δόμῳ ἐνὶ κηώεντι·
δμῶες δ' αὖτε θρόνους δοιὼ θέσαν ἐγγὺς ἀνάσσης·
αἶψα δ' Ἀλέξανδρος κατ' ἄρ' ἕζετο· πὰρ δ' ἄρα τῷγε
Εὐρύπυλος. Δαναοὶ δὲ πρὸ ἄστεος αὖλιν ἔθεντο,
ἧχι φυλακτῆρες Τρώων ἔσαν ὀβριμόθυμοι·
αἶψα δὲ τεύχεα θῆκαν ἐπὶ χθόνα, πὰρ δὲ καὶ ἵππους
στῆσαν, ἔτι πνείοντας ὀϊζυροῖο μόγοιο·

ἐν δὲ φάτνῃσι βάλοντο, τά τ᾽ ὠκέες ἵπποι ἔδουσι.
Καὶ τότε νὺξ ἐπόρουσε, μελαίνετό τ᾽ αἶα καὶ αἰθήρ·
οἱ δ᾽ ἄρα δαῖτ᾽ ἐπάσαντο πρὸ τείχεος αἰπεινοῖο
Κήτειοι Τρῶές τε· πολὺς δ᾽ ἐνὶ μῦθος ὀρώρει
δαινυμένων· πάντῃ δὲ πυρὸς μένος αἰθαλόεντος
δαίετο πὰρ κλισίῃσιν· ἐπίαχε δ᾽ ἠπύτα σύριγξ,
αὐλοί τε, λιγυροῖσιν ἀρηράμενοι καλάμοισιν,
ἀμφὶ δὲ φορμίγγων ἰαχὴ πέλεν ἱμερόεσσα.
Ἀργεῖοι δ᾽ ἀπάνευθεν ἐθάμβεον, εἰσαΐοντες
αὐλῶν φορμίγγων τ᾽ ἰαχὴν, αὐτῶν τε, καὶ ἵππων,
σύριγγός θ᾽, ἣ δαιτὶ μεταπρέπει, ἠδὲ νομεῦσι·
τοὔνεκ᾽ ἄρ᾽ ᾗσιν ἕκαστος ἐνὶ κλισίῃσι κέλευσε
νῆας ἀμοιβαίῃσι φυλασσέμεν, ἄχρις ἐς ἠῶ,
μὴ σφέας Τρῶες ἀγαυοὶ ἐνιπρήσωσι κιόντες,
οἵ ῥα τότ᾽ αἰπεινοῖο πρὸ τείχεος εἰλαπίναζον.
Ὣς δ᾽ αὔτως κατὰ δώματ᾽ Ἀλεξάνδροιο δαΐφρων
δαίνυτο Τηλεφίδης μετ᾽ ἀγακλειτῶν βασιλήων·
πολλὰ δ᾽ ἄρα Πρίαμός τε, καὶ ἄλλοι Τρώϊοι υἷες
ἑξείης ηὔχοντο μιγήμεναι Ἀργείοισιν
αἴσῃ ἐν ἀργαλέῃ· ὁ δ᾽ ὑπέσχετο πάντα τελέσσειν.
αὐτὰρ ἐπεὶ δόρπησαν, ἔβαν ποτὶ δώμαθ᾽ ἕκαστος·
Εὐρύπυλος δ᾽ αὐτοῦ κατελέξατο βαιὸν ἄπωθεν,
ἐς τέγος εὐποίητον, ὅπη πάρος αὐτὸς ἴαυεν
ἠΰς Ἀλέξανδρος μετ᾽ ἀγακλειτῆς ἀλόχοιο·
κεῖνο γὰρ ἔκπαγλόν τε, καὶ ἔξοχον ἔπλετο πάντων·
ἔνθ᾽ ὅγε λέξατ᾽ ἰών· τοὶ δ᾽ ἄλλοσε κοῖτον ἕλοντο,
μέχρις ἐπ᾽ Ἠριγένειαν ἐΰθρονον· αὐτὰρ ἅμ᾽ ἠοῖ
Τηλεφίδης ἀνόρουσε, καὶ ἐς στρατὸν εὐρὺν ἵκανεν
σὺν τ᾽ ἄλλοις βασιλεῦσιν, ὅσοι κατὰ Ἴλιον ἦσαν·

λαοὶ δ' αὐτίκα ἴσαν ἐν ἔντεσι μαιμώωντες,
πάντες ἐνὶ πρώτοισι λιλαιόμενοι πονέεσθαι·
ὣς δὲ καὶ Εὐρύπυλος μεγάλοις περὶ κάτθετο γυίοις
τεύχεα μαρμαρέῃσιν ἐειδόμενα στεροπῇσι·
καί οἱ δαίδαλα πολλὰ κατ' ἀσπίδα δῖαν ἔκειτο,
ὁππόσα πρόσθεν ἔρεξε θρασὺ σθένος Ἡρακλῆος·
ἐν μὲν ἔσαν βλοσυρῇσι γενειάσι λιχμώωντες
δοιώ, κινυμένοισιν ἐοικότες οἶμα, δράκοντες,
σμερδαλέον μεμαῶτες· ὁ δέ σφεας, ἄλλοθεν ἄλλον,
νηπιαχός περ ἐὼν, ὑπεδάμνατο· καί οἱ ἀταρβὴς
ἔσκε νόος καὶ θυμὸς, ἐπεὶ Διῒ κάρτος ἐῴκει
ἐξ ἀρχῆς· οὐ γάρ τι θεῶν γένος οὐρανιώνων
ἄπρηκτον τελέθει, καὶ ἀμήχανον, ἀλλά οἱ ἀλκὴ
ἕσπετ' ἀπειρεσίη, καὶ νηδύος ἔνδον ἐόντι.
ἐν δὲ Νεμειαίοιο βίη ἐτέτυκτο λέοντος,
ὀβρίμου Ἡρακλῆος ἐπὶ στιβαρῇσι χέρεσσι
τειρομένου κρατερῶς· βλοσυρῆς δέ οἱ ἀμφὶ γένυσσιν
αἱματόεις ἀφρὸς ἔσκεν· ἀποπνείοντι δ' ἐῴκει.
ἄγχι δέ οἱ πεπόνητο μένος πολυδειράδος Ὕδρης,
αἰνὸν λιχμώωσα· καρήατα δ' ἀλγινόεντα,
ἄλλα μέν οἱ δέδμητο κατὰ χθονὸς, ἄλλα δ' ἄεξεν
ἐξ ὀλίγων μάλα πολλά· πόνος δ' ἔχεν Ἡρακλῆα,
θαρσαλέον τ' Ἰόλαον· ἐπεὶ κρατερὰ φρονέοντε
ἄμφω, ὁ μὲν τέμνεσκε καρήατα μαιμώωντα
ἅρπῃ ὑπ' ἀγκυλόδοντι θοῶς· ὁ δὲ καῖε σιδήρῳ
αἰθομένῳ· κρατερὴ δὲ κατήνυτο θηρὸς ὁμοκλή.
ἑξείης δ' ἐτέτυκτο βίῃ συὸς ἀκαμάτοιο,
ἀφριόων γενύεσσι· φέρεν δέ μιν, ὡς ἐτεόν περ,
ζωὸν ἐς Εὐρυσθῆα μέγα σθένος Ἀλκείδαο·

κεμμὰς δ' εὖ ἤσκητο θοὴ πόδας, ἥτ' ἀλεγεινὸν
ἀμφὶ περικτιόνων μέγ' ἐτίνυτο πᾶσαν ἀλωήν·
καὶ τὴν μὲν χρυσοῖο κεράατος ὄβριμος ἥρως
ἀμφέχεν, οὐλομένοιο πυρὸς πνείουσαν ἀϋτμήν.
ἀμφὶ δ' ἄρα στυγεραὶ Στυμφαλίδες· αἱ μὲν ὀϊστοῖς
βλήμεναι, ἐν κονίῃσιν ἀπέπνεον, αἱ δ' ἔτι φύζης
μνωόμεναι, πολιοῖο δι' ἠέρος ἐσσεύοντο·
τῇσι δ' ἐφ' Ἡρακλέης, κεχολωμένος, ἄλλον ἐπ' ἄλλῳ
ἰὸν ἐπιπροΐαλλε, μάλα σπεύδοντι ἐοικώς.
ἐν δὲ καὶ Αὐγείαο μέγας σταθμὸς ἀντιθέοιο
τεχνήεις ἤσκητο κατ' ἀκαμάτοιο βοείης·
τῷ δ' ἄρα θεσπεσίοιο βαθὺν ῥόον Ἀλφειοῖο
ὄβριμος Ἡρακλέης ἐπαγίνεεν· ἀμφὶ δὲ Νύμφαι
θάμβεον ἄσπετον ἔργον. ἀπόπροθι δ' ἔπλετο ταῦρος
πυρπνόος, ὅν ῥα καὶ αὐτὸν, ἀμαιμάκετόν περ ἐόντα,
γνάμπτε βίῃ, κρατεροῖο κεράατος· οἱ δέ οἱ ἄμφω
ἀκάματοι μυῶνες ἐρειδομένοιο τέταντο·
καί ῥ' ὁ μὲν ὡς μυκηθμὸν ἱεὶς πέλεν· ἄγχι δ' ἄρ' αὐτοῦ
ἀμφὶ σάκος πεπόνητο, θεῶν ἐπιειμένη εἶδος,
Ἱππολύτη· καὶ τὴν μὲν ὑπὸ κρατερῇσι χέρεσσι,
δαιδαλέου ζωστῆρος ἀμερσέμεναι μενεαίνων,
εἷλκε κόμης ἵπποιο κατ' ὠκέος· αἱ δ' ἀπάτερθεν
ἄλλαι ὑποτρομέεσκον Ἀμαζόνες. ἀμφὶ δὲ λυγραὶ
Θρηϊκίην ἀνὰ γαῖαν ἔσαν Διομήδεος ἵπποι
ἀνδροβόροι· καὶ τὰς μὲν ὑπὸ στυγερῇσι φάτνῃσι
αὐτῷ σὺν βασιλῆϊ κακὰ φρονέοντι δαΐξεν.
ἐν δὲ καὶ ἀκαμάτοιο δέμας πέλε Γηρυονῆος,
τεθνεῶτος παρὰ βουσί· καρήατα δ' ἐν κονίῃσιν
αἱματόεντα κέχυντο, βίῃ ῥοπάλοιο δαμέντα·

πρόσθε δέ οἱ δέδμητο κύων ὀλοώτατος ἄλλων,
Ὄρθρος, ἀνιηρῷ ἐναλίγκιος, ὄβριμος ἀλκὴν,
Κερβέρῳ, ὅς ῥά οἱ ἔσκεν ἀδελφεός· ἀμφὶ δ᾽ ἔκειτο
βουκόλος Εὐρυτίων μεμορυγμένος αἵματι πολλῷ.
ἀμφὶ δὲ χρύσεα μῆλα τετεύχατο, μαρμαίροντα
Ἑσπερίδων, ἀνὰ πρέμνον ἀκήρατον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ,
σμερδαλέος δέδμητο δράκων· ταὶ δ᾽ ἄλλοθεν ἄλλαι
πτώσσουσαι, θρασὺν υἷα Διὸς μεγάλοιο φέβοντο.
ἐν δ᾽ ἄρ᾽ ἔην μέγα δεῖμα καὶ ἀθανάτοισιν ἰδέσθαι,
Κέρβερος, ὅν ῥ᾽ ἀκάμαντι Τυφωέϊ γείνατ᾽ Ἔχιδνα
ἄντρῳ ὑπ᾽ ὀκρυόεντι, μελαίνης ἀγχόθι Νυκτὸς,
ἀμφ᾽ ὀλοῇσι πύλῃσι πολυκλαύτου Ἀΐδαο,
εἴργων νεκρὸν ὅμιλον ὑπ᾽ ἠερόεντι βερέθρῳ·
ῥεῖα δέ μιν Διὸς υἱὸς ὑπὸ πληγῇσι δαμάσσας,
ἦγε καρηβαρέοντα παρὰ Στυγὸς αἰπὰ ῥέεθρα,
ἕλκων οὐκ ἐθέλοντα βίῃ πρὸς ἀήθεα χῶρον,
θαρσαλέως. ἐτέτυκτο δ᾽ ἀπόπροθεν ἄγκεα μακρὰ
Καυκάσου· ἀμφὶ δὲ δεσμὰ Προμηθέος ἄλλυδις ἄλλα,
αὐτῆς σὺν πέτρῃσιν ἀναῤῥήξας ἅμα γυίοις,
λῦε μέγαν Τιτῆνα· λυγρὸς δέ οἱ ἀγχόθι κεῖτο
αἰετὸς ἀλγινόεντι δέμας βεβλημένος ἰῷ.
Κενταύρων δ᾽ ἐτέτυκτο πολυσθενέων μέγα κάρτος
ἀμφὶ Φόλοιο μέλαθρον· ἔρις δ᾽ ὀρόθυνε καὶ οἶνος
ἀντίον Ἡρακλῆϊ τεράατα κεῖνα μάχεσθαι·
καί ῥ᾽ οἱ μὲν πεύκῃσι περιδμηθέντες ἔκειντο,
τὰς ἔχον ἐν χείρεσσι, μάχης ἄκος· οἱ δ᾽ ἔτι μακρῇς
δηριόωντ᾽ ἐλάτῃσι μεμαότες, οὐδ᾽ ἀπέληγον
ὑσμίνης· πάντων δὲ καρήατα δεύετο λύθρῳ,
θεινομένων ἀνὰ δῆριν ἀμείλιχον, ὡς ἐτεόν περ·

οἴνῳ δ' αἷμα μέμικτο, συνηλλοίωτο δὲ πάντα
εἴδατα, καὶ κρητῆρες, ἐΰξεστοί τε τράπεζαι·
Νέσσον δ' αὖ ἑτέρωθε παρὰ ῥόον Εὐηνοῖο,
κείνης ἐκπροφυγόντα μάχης, ὑπεδάμνατ' ὀϊστῷ,
ἀμφ' ἐρατῆς ἀλόχοιο χολούμενος. ἐν δ' ἐτέτυκτο
ὀβρίμου Ἀνταίοιο μέγα σθένος, ὃν ῥα καὶ αὐτὸν,
ἀμφὶ παλαισμοσύνης ἄμοτον περιδηριόωντα,
ὕψου ἀειράμενος, κρατερῇς συνέαξε χέρεσσι.
κεῖτο δ' ἐπὶ προχοῇσιν ἐϋῤῥόου Ἑλλησπόντου
ἀργαλέον μέγα κῆτος, ἀμειλίκτοισιν ὀϊστοῖς
βλήμενον· Ἡσιόνης δὲ κακοὺς ἀπελύετο δεσμούς.
Ἄλλα δ' ἄρ' Ἀλκείδαο θρασύφρονος ἄσπετα ἔργα
ἀμφέχεν Εὐρυπύλοιο διοτρεφέος σάκος εὐρύ.
φαίνετο δ' ἶσος Ἄρηϊ, μετὰ στίχας ἀΐσσοντι·
Τρῶες δ' ἀμφιέποντες ἐγήθεον, εὖτ' ἐσίδοντο
τεύχεα, ἠδὲ καὶ ἄνδρα, θεῶν ἐπιειμένον εἶδος·
τὸν δὲ Πάρις ποτὶ δῆριν ἐποτρύνων, προσέειπε·
Χαίρω σεῖο κιόντος, ἐπεί νύ μοι ἦτορ ἔωλπεν
Ἀργείους μάλα πάντας ὀϊζυρῶς ἀπολέσθαι
αὐτῇς σὺν νήεσσιν, ἐπεὶ βροτὸν οὔποτε τοῖον
ἔδρακον ἐν Τρώεσσιν, ἐϋπτολέμοισί τ' Ἀχαιοῖς·
ἀλλὰ σὺ, πρὸς μεγάλοιο καὶ ὀβρίμου Ἡρακλῆος,
τῷ μέγεθός τε, βίην τε, καὶ ἀγλαὸν εἶδος ἔοικας,
κείνου μνωόμενος, φρονέων τ' ἀντάξια ἔργα,
θαρσαλέως Τρώεσσι δαϊζομένοις ἐπάμυνον,
ἤν πως ἀμπνεύσωμεν· ἐπεί σέ γε μοῦνον ὀΐω
ἄστεος ὀλλυμένοιο κακὰς ἀπὸ κῆρας ἀλέξαι.
Ἦ, μέγ' ἐποτρύνων· ὁ δέ μιν προσεφώνεε μύθῳ·
Πριαμίδη μεγάθυμε, δέμας μακάρεσσιν ἐοικὼς,

ταῦτα μὲν ἀθανάτων ἐνὶ γούνασιν ἐστήρικται,
ὅς τε θάνῃ κατὰ δῆριν ὑπέρβιον, ἠὲ σαωθῇ·
ἡμεῖς δ' ὥσπερ ἔοικε, καὶ ὡς σθένος ἐστὶ μάχεσθαι,
στησόμεθα πρὸ πόληος· ἔπειτα δὲ καὶ τόδ' ὀμοῦμαι,
μὴ πρὶν ὑποστρέψειν, πρὶν ἢ κτάμεν, ἢ ἀπολέσθαι.
Ὣς φάτο θαρσαλέως· Τρῶες δ' ἐπὶ μακρὰ χάροντο·
καὶ τότ' Ἀλέξανδρόν τε, καὶ Αἰνείαν ἐρίθυμον,
Πουλυδάμαντά τ' ἐϋμμελίην, καὶ Πάμμονα δῖον,
Δηΐφοβόν τ' ἐπὶ τοῖσι, καὶ Αἴθικον, ὃς περὶ πάντων
Παφλαγόνων ἐκέκαστο μάχῃ ἐνὶ τλῆναι ὅμιλον,
τοὺς ἅμα λέξατο πάντας, ἐπισταμένους πονέεσθαι,
ὅππως δυσμενέεσσιν ἐνὶ πρώτοισι μάχωνται
ἐν πολέμῳ· μάλα δ' ὦκα κίον προπάροιθεν ὁμίλου·
προφρονέως δ' οἴμησαν ἀπ' ἄστεος· ἀμφὶ δὲ λαοὶ
πολλοὶ ἕπονθ', ὡσεί τε μελισσάων κλυτὰ φῦλα
ἡγεμόνεσσιν ἑοῖσι διηρεφέος σίμβλοιο
ἐσσύμεναι καναχηδὸν, ὅτ' εἴαρος ἦμαρ ἵκηται·
ὣς ἄρα τοῖσιν ἕποντο βροτοὶ, ποτὶ δῆριν ἰοῦσι·
τῶν δ' ἄρα νισσομένων πολὺς αἰθέρα δοῦπος ὀρώρει,
αὐτῶν ἠδ' ἵππων· περὶ δ' ἔβρεμεν ἄσπετα τεύχη.
Ὡς δ' ὁπόταν μεγάλοιο βίῃ ἀνέμοιο θοροῦσα
κινήσῃ προθέλυμνον ἁλὸς βυθὸν ἀτρυγέτοιο,
κύματα δ' ὦκα κελαινὰ, πρὸς ἠϊόνας βοόωντα,
φῦκος ἀποπτύωσιν, ἐρευγομένοιο κλύδωνος,
ἠχὴ δ' ἀτρυγέτοισι παρ' αἰγιαλοῖσιν ὄρωρεν·
ὣς τῶν ἐσσυμένων μέγ' ὑπέβραχε γαῖα πελώρη.
Ἀργεῖοι δ' ἀπάνευθε πρὸ τείχεος ἐξεχέοντο
ἀμφ' Ἀγαμέμνονα δῖον· αὐτὴ δ' ἔπλετο λαῶν,
ἀλλήλοις ἐπικεκλομένων, ὀλοοῦ πολέμοιο

ἀντιάαν, καὶ μή τι, καταπτώσσοντας, ἐνιπὴν
μίμνειν, πὰρ νήεσσιν, ἐπειγομένων μαχέεσθαι.
Τρωσὶ δ᾽ ἄρ᾽ ἐσσυμένοισι συνήντεον, εὖτε βόεσσι
πόρτιες, ἐκ ξυλόχοιο ποτὶ σταθμὸν ἐρχομένῃσιν
ἐκ νομοῦ εἰαρινοῖο κατ᾽ οὔρεος, ὁππότ᾽ ἄρουραι
πυκνὸν τηλεθάουσι, βρύει δ᾽ ἅλις ἄνθεσι γαῖα,
πλήθει δ᾽ αὖτε κύπελλα βοῶν γλάγος, ἠδὲ καὶ οἰῶν,
μυκηθμός τε πολὺς μάλ᾽ ὀρίνεται ἔνθα καὶ ἔνθα
μισγομένων, γάνυται δὲ μετὰ σφισι βουκόλος ἀνήρ·
ὣς, τῶν ἀλλήλοισι μετεσσυμένων, ὀρυμαγδὸς
ὠρώρει. δεινὸν γὰρ ἄϋτεον ἀμφοτέρωθεν·
σὺν δὲ μάχην ἐτάνυσσαν ἀπείριτον. ἐν δὲ κυδοιμὸς
στρωφᾶτ᾽ ἐν μέσσοισι μετ᾽ ἀργαλέοιο φόνοιο·
σὺν δ᾽ ἔπεσον ῥινοί τε, καὶ ἔγχεα, καὶ τρυφάλειαι
πλησίον· ἀμφὶ δὲ χαλκὸς ἴσον πυρὶ μαρμαίρεσκεν·
φρίξε δ᾽ ἄρ᾽ ἐγχείῃσι μάχη· περὶ δ᾽ αἵματι πάντη
δεύετο γαῖα μέλαινα δαϊζομένων ἡρώων,
ἵππων τ᾽ ὠκυπόδων, οἵ θ᾽ ἅρμασιν ἀμφεκέχυντο,
οἱ μὲν ἔτ᾽ ἀσπαίροντες ὑπ᾽ ἔγχεσιν, οἱ δ᾽ ἐφύπερθεν
πίπτοντες· στυγερὴ δὲ δι᾽ ἠέρος ἔσσυτ᾽ ἀϋτή·
ἐν γὰρ δὴ χάλκειος ἔρις πέσεν ἀμφοτέροισι.
καί ῥ᾽ οἱ μὲν λάεσσιν ἀταρτηρῶς ἐμάχοντο·
οἱ δ᾽ αὖτ᾽ αἰγανέῃσι νεηκέσιν, ἠδὲ βέλεσσιν·
ἄλλοι δ᾽ ἀξίνῃσι, καὶ ἀμφιτόμοις πελέκεσσι,
καὶ κρατεροῖς ξιφέεσσι, καὶ ἀγχεμάχοις δοράτεσσιν·
ἄλλος δ᾽ ἄλλο χέρεσσι μάχης ἀλκτήριον εἶχε.
Πρῶτοι δ᾽ Ἀργεῖοι Τρώων ὤσαντο φάλαγγας
βαιὸν ἀπὸ σφείων· τοὶ δ᾽, ἔμπαλιν ὁρμήσαντες,
αἵματι δεῦον Ἄρηα, μετ᾽ Ἀργείοισι θορόντες·

Εὐρύπυλος δ' ἐν τοῖσι, μελαίνῃ λαίλαπι ἶσος,
λαὸν ἐπῴχετο πάντα, καὶ Ἀργείους ἐνάριζε
θαρσαλέως· μάλα γάρ οἱ ἀάσχετον ὤπασε κάρτος
Ζεὺς, ἐπίηρα φέρων ἐρικυδέϊ Ἡρακλῆϊ.
ἔνθ' ὅγε καὶ Νιρῆα, θεοῖς ἐναλίγκιον ἄνδρα,
μαρνάμενον Τρώεσσι βάλεν περιμήκεϊ δουρὶ,
βαιὸν ὑπὲρ πρότμησιν· ὁ δ' ἐς πέδον ἤριπε γαίης·
ἐκ δέ οἱ αἷμ' ἐχύθη, δεύοντο δέ οἱ κλυτὰ τεύχη·
δεύετο δ' ἀγλαὸν εἶδος ἅμ' εὐθαλέεσσι κόμῃσι·
κεῖτο γὰρ ἐν κονίῃσι καὶ αἵματι, σὺν κταμένοισιν,
ἔρνος ὅπως ἐριθηλὲς ἐλαίης εὐκεάτοιο,
ἥν τε βίη ποταμοῖο κατὰ ῥόον ἠχήεντα
σύν τ' ὄχθῃς ἐλάσῃσι, βόθρον διὰ πάντα κεδάσσας
ῥιζόθεν· ἡ δ' ἄρα κεῖται ὑπ' ἄνθεσι βεβριθυῖα·
ὣς τῆμος Νιρῆος ἐπὶ χθονὸς ἄσπετον οὖδας
ἐξεχύθη δέμας ἠΰ καὶ ἀγλαΐη ἐρατεινή·
τῷ δ' ἔπι Εὐρύπυλος μεγάλ' εὔχετο δῃωθέντι·
  Κεῖσό νυν ἐν κονίῃσιν, ἐπεί νύ τοι εἶδος ἀγητὸν
οὔτι λιλαιομένῳ περ ἐπήρκεσεν, ἀλλά σ' ἔγωγε
νοσφισάμην βιότοιο, λιλαιόμενόν περ ἀλύξαι·
σχέτλιε, οὐδ' ἐνόησας ἀμείνονος ἀντίον ἐλθών·
οὐ γὰρ κάρτεϊ κάλλος ἀνὰ κλόνον ἰσοφαρίζει.
  Ὣς εἰπὼν, κταμένοιο περικλυτὰ τεύχε' ἑλέσθαι
μήδετ' ἐπεσσύμενος· τοῦ δ' ἀντίος ἦλθε Μαχάων,
χωόμενος Νιρῆος, ὅς οἱ σχεδὸν αἶσαν ἀνέτλη·
δουρὶ δέ μιν στονόεντι κατ' εὐρέος ἤλασεν ὤμου
δεξιτεροῦ, σύτο δ' αἷμα, πολυσθενέος περ ἐόντος·
ἀλλ' οὐδ' ὣς ἀπόρουσεν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ' ὥς τίς τε λέων, ἢ ἄγριος οὔρεσι κάπρος,

μαίνετ' ἐνὶ μέσσοισιν ἕως κ' ἐπιόντα δαμάσσῃ,
ὅς ῥά μιν οὔτασε πρῶτος, ὑποφθάμενος δι' ὁμίλου·
τὰ φρονέων, ἐπόρουσε Μαχάονι· καί ῥά μιν ὦκα
οὔτασεν ἐγχείῃ περιμήκεϊ τε στιβαρῇ τε,
δεξιτερὸν κατὰ γλουτόν· ὁ δ' οὐκ ἀνεχάζετ' ὀπίσσω,
οὐδ' ἐπιόντ' ἀλέεινε, καὶ αἵματος ἐσσυμένοιο·
ἀλλ' ἄρα καρπαλίμως περιμήκεα λᾶαν ἀείρας
κάββαλε κακκεφαλὴν μεγαθύμου Τηλεφίδαο·
τοῦ δὲ κόρυς στονόεντα φόνον καὶ κῆρ' ἀπάλαλκεν
ἐσσυμένως. ὁ δ' ἔπειτα κραταιῷ χώσατο φωτὶ
Εὐρύπυλος μεγάθυμος, ἰδ' ἀσχαλόων ἐνὶ θυμῷ,
ὠκὺ διὰ στέρνοιο Μαχάονος ἤλασεν ἔγχος·
αἰχμὴ δ' αἱματόεσσα μετάφρενον ἄχρις ἵκανεν·
ἤριπε δ' ὡς ὅτε ταῦρος ὑπὸ γναθμοῖο λέοντος·
ἀμφὶ δέ οἱ μελέεσσι μέγ' ἔβραχεν αἰόλα τεύχη.
Εὐρύπυλος δέ οἱ αἶψα πολύστονον εἰρύσατ' αἰχμὴν
ἐκ χροὸς οὐταμένοιο· καὶ εὐχόμενος, μέγ' ἄϋτει·
Ἆ δειλ', οὐ νύ τοι ἦτορ ἀρηράμενον φρεσὶ πάμπαν
ἔπλετ', ὅς οὐτιδανός περ ἐὼν, μέγ' ἀμείνονι φωτὶ
ἄντα κίες· τῷ καί σε κακὴ λάχε δαίμονος αἶσα·
ἀλλά σοι ἔσσετ' ὄνειαρ, ὅτ' οἰωνοὶ δατέονται
σάρκα τεὴν κταμένοιο κατὰ μόθον. ἢ ἔτι ἔλπῃ
νοστήσειν, καὶ ἐμεῖο μένος καὶ χεῖρας ἀλύξειν;
ἐσσὶ μὲν ἰητὴρ, μάλα δ' ἤπια φάρμακα οἶδας·
τοῖς πίσυνος, τάχ' ἔωλπας ὑπεκφυγέειν κακὸν ἦμαρ·
ἀλλ' οὐ μὰν οὐδ' αὐτὸς ἀπ' ἠερόεντος Ὀλύμπου
σεῖο πατὴρ τεὸν ἦτορ ἔτ' ἐκ θανάτοιο σαώσει,
οὐδ' εἴ τοι νέκταρ τε καὶ ἀμβροσίην καταχεύῃ.
Ὣς φάτο· τὸν δ' ὅγε βαιὸν ἀναπνείων προσέειπεν·

Εὐρύπυλ', οὐδ' ἄρα σοί γε πολὺν χρόνον αἴσιμόν ἐστι
ζώειν, ἀλλά σοι ἄγχι παρίσταται οὐλομένη Κὴρ
Τρώϊον ἀμπεδίον, τῷ περ νῦν αἴσυλα ῥέζεις.
Ὣς φάμενον λίπε θυμός· ἔβη δ' ἄφαρ ἄϊδος εἴσω.
τὸν δὲ, καὶ οὐκ ἔτ' ἐόντα, προσηύδα κύδιμος ἀνήρ·
Νῦν μὲν δὴ σύ γε κεῖσο κατὰ χθονός· αὐτὰρ ἔγωγε
ὕστερον οὐκ ἀλέγω, καὶ εἰ παρὰ ποσσὶν ὄλεθρος
σήμερον ἡμετέροισι πέλει λυγρός· οὔτι γὰρ ἄνδρες
ζώομεν ἤματα πάντα· πότμος δ' ἐπὶ πᾶσι τέτυκται.
Ὣς εἰπὼν, οὔταζε νέκυν· μέγα δ' ἴαχε Τεῦκρος,
ὡς ἴδεν ἐν κονίῃσι Μαχάονα· τοῦ γὰρ ἄπωθεν
εἱστήκει, μάλα πάγχυ πονεύμενος. ἐν γὰρ ἔκειτο
δῆρις ἐνὶ μέσσοισιν· ἐπ ἄλλῳ δ' ἄλλος ὀρώρει·
ἀλλ' οὐδ' ὣς ἀμέλησε δεδουπότος ἀνδρὸς ἀγαυοῦ
Νιρῆός τ', ὃς κεῖτο παρ' αὐτόθι· τὸν δ' ἐνόησεν
ὕστερον ἀντιθέοιο Μαχάονος ἐν κονίῃσιν.
αἶψα δ' ὅγ' Ἀργείοισιν ἐκέκλετο, μακρὰ βοήσας·
Ἔσσυσθ' Ἀργεῖοι, μήδ' εἴκετε δυσμενέεσσιν
ἐσσυμένοις· νῶϊν γὰρ ἀάσπετον ἔσσετ' ὄνειδος,
αἴκε Μαχάονα δῖον ἄμ' ἀντιθέῳ Νιρῆϊ
Τρῶες ἐρυσσάμενοι, ποτὶ Ἴλιον ἀπονέωνται.
ἀλλ' ἄγε δυσμενέεσσι μαχώμεθα πρόφρονι θυμῷ,
ὄφρα δαϊκταμένους εἰρύσομεν, ἢ ῥα καὶ αὐτοὶ
κείνοις ἀμφὶ θάνωμεν, ἐπεὶ θέμις ἀνδράσιν αὕτη,
οἷσιν ἀμυνέμεναι, μήδ' ἄλλοις κύρμα γενέσθαι·
οὐ γὰρ ἀνιδρωτί γε μετ' ἀνδράσι κῦδος ἀέξει.
Ὣς ἄρ' ἔφη· Δαναοῖσι δ' ἄχος γένετ'· ἀμφὶ δ' ἄρ' αὐτοῖς
πολλοὶ γαῖαν ἔρευθον ὑπ' Ἄρεϊ δῃωθέντες,

μαρναμένων ἑκάτερθεν· ἴση δ' ἐπὶ δῆρις ὀρώρει.
ὀψὲ δ' ἀδελφειοῖο φόνον στονόεντα νόησεν
βλημένου ἐν κονίῃ Ποδαλείριος, οὕνεκα νηυσὶν
ἧστο παρ' ὠκυπόροισι, τετυγμένα δούρατι φωτῶν
ἕλκη ἀκειόμενος· περὶ δ' ἔντεα δύσατο πάντα,
θυμὸν ἀδελφειοῖο χολούμενος· ἐν δέ οἱ ἀλκὴ
σμερδαλέον στέρνοισιν ἀέξετο, μαιμώωντι
ἐς πόλεμον στονόεντα· μέλαν δέ οἱ ἔζεεν αἷμα
λάβρον ὑπὸ κραδίῃ· τάχα δ' ἔνθορε δυσμενέεσσι,
χερσὶ θοῇσιν ἄκοντα τανυγλώχινα τινάσσων.
εἷλε δ' ἄρ' ἐσσυμένως Ἀγαμήστορος υἷεα δῖον
Κλεῖτον, ὃν ἠΰκομος Νύμφη τέκεν ἀμφὶ ῥεέθροις
Παρθενίου, ὅς τ' εἶσι διὰ χθονὸς, ἠΰτ' ἔλαιον,
πόντον ἐπ' Εὔξεινον προχέων καλλίῤῥοον ὕδωρ·
ἄλλον δ' ἀμφὶ κασιγνήτῳ κτάνε δήϊον ἄνδρα
Λᾶσσον, ὃν ἀντίθεον Προνόη τέκεν ἀμφὶ ῥεέθροις
Νυμφαίου ποταμοῖο, μάλα σχεδὸν εὐρέος ἄντρου,
ἄντρου θηητοῖο, τὸ δὴ φάτις ἔμμεναι αὐτῶν
ἱρὸν Νυμφάων, ὁπόσαι περὶ μακρὰ νέμονται
οὔρεα Παφλαγόνων, καὶ ὅσαι περὶ βοτρυόεσσαν
ναίουσ' Ἡράκλειαν· ἔοικε δ' ἐκεῖνο θεοῖσιν
ἄντρον, ἐπεί ῥα τέτυκται, ἀπειρέσιον μὲν ἰδέσθαι,
λάϊνεον, ψυχρὸν δὲ διὰ σπέος ἔρχεται ὕδωρ,
κρυστάλλῳ ἀτάλαντον, ἐνὶ μυχάτοισι δὲ πάντῃ
λάϊνεοι κρητῆρες ἐπὶ στυφελῇσι πέτρῃσιν,
αἰζηῶν ὥς χερσὶ τετυγμένοι, ἰνδάλλονται·
ἀμφ' αὐτοῖσι δὲ Πᾶνες ὁμῶς Νύμφαι τ' ἐρατειναὶ,
ἱστοί τ', ἠλακάταί τε, καὶ ἄλλ' ὅσα τεχνήεντα
ἔργα πέλει θνητοῖσι, τὰ καὶ πέρι θαῦμα βροτοῖσιν

εἴδεται, ἐρχομένοισιν ἔσω ἱεροῖο μυχοῖο·
τῷ ἔνι δοιαὶ ἔνεισι καταιβασίαι τ', ἄνοδοί τε,
ἡ μὲν πρὸς βορέαο τεταγμένη ἠχήεντος
πνοιάς, ἡ δὲ νότοιο καταντίον ὑγρὸν ἀέντος·
τῇ θνητοὶ νίσσονται ὑπὸ σπέος εὐρὺ θεάων,
ἡ δ' ἑτέρη μακάρων πέλεται ὁδὸς, οὐδέ μιν ἄνδρες
ῥηϊδίως πατέουσιν, ἐπεὶ χάος εὐρὺ τέτυκται
μέχρις ἐπ' Ἀϊδονῆος ὑπερθύμοιο βέρεθρον·
ἀλλὰ τὰ μὲν μακάρεσσι πέλει θέμις εἰσοράασθαι.
ἀμφὶ Μαχάονα δ' ἐσθλὸν ἰδ' Ἀγλαΐης κλυτὸν υἷα
μαρναμένων ἑκάτερθεν ἀπέφθιτο πουλὺς ὅμιλος·
ὀψὲ δὲ δὴ Δαναοί σφεας εἴρυσαν, ἀθλήσαντες
πολλά περ· αἶψα δὲ νῆας ἐπὶ σφετέρας ἐκόμισσαν
παῦροι· ἐπεὶ πλεόνεσσι κακὴ περιπέπτατ' ὀϊζὺς
ἀργαλέου πολέμοιο· πόνῳ δ' ἐνέμιμνον ἀνάγκῃ.
ἀλλ' ὅτε δὴ μάλα πολλοὶ ἐνεπλήσαντο κελαινὰς
κῆρας, ἀν' αἱματόεντα καὶ ἀλγινόεντα κυδοιμὸν,
δὴ τότε γ' Ἀργείων πολέες φύγον ἔνδοθι νηῶν,
ὅσσους Εὐρύπυλος μέγ' ἐπῴχετο πῆμα κυλίνδων·
παῦροι δ' ἀμφ' Αἴαντα, καὶ Ἀτρέος υἷε κραταιὼ
μίμνον ἐν ὑσμίνῃ. καὶ δὴ τάχα πάντες ὄλοντο
δυσμενέων παλάμῃσι περιστροφέοντες ὁμίλῳ,
εἰ μὴ Ὀϊλέος υἱὸς ἐΰφρονα Πουλυδάμαντα
ἔγχεϊ τύψε παρ' ὦμον ἀριστερὸν, ἀγχόθι μαζοῦ·
ἐκ δέ οἱ αἷμ' ἐχύθη· ὁ δ' ἐχάσσατο τυτθὸν ὀπίσσω.
Δηΐφοβον δ' οὔταζε περικλειτὸς Μενέλαος
δεξιτερὸν παρὰ μαζόν· ὁ δ' ἔκφυγε ποσσὶ θοοῖσιν.
ἔνθ' Ἀγαμέμνων δῖος ἐνήρατο πουλὺν ὅμιλον
πληθύος ἐξ ὀλοῆς· μετὰ δ' Αἴθικον ᾤχετο δῖον

θύων ἐγχείῃσιν· ὁ δ᾽ εἰς ἑτάρους ἀλέεινε.
τοὺς δ᾽ ὁπότ᾽ Εὐρύπυλος λαοσσόος εἰσενόησε
χαζομένους ἅμα πάντας ἀπὸ στυγεροῖο κυδοιμοῦ,
αὐτίκα κάλλιπε λαὸν, ὅσον κατὰ νῆας ἔλασσεν·
καί ῥα θοῶς οἴμησεν ἐπ᾽ Ἀτρέος υἷε κραταιὼ,
παῖδά τε καρτερόθυμον Ὀϊλέος, ὃς περὶ μὲν θεῖν
ἔσκε θοὸς, περὶ δ᾽ αὖτε μάχῃ ἐνὶ φέρτατος ἦεν.
τοῖς ἔπι κραιπνὸν ὄρουσεν, ἔχων περιμήκετον ἔγχος·
σὺν δέ οἱ ἦλθε Πάρις τε καὶ Αἰνείας ἐρίθυμος,
ὅς ῥα θοῶς Αἴαντα βάλεν περιμήκεϊ πέτρῃ
κακκόρυθα κρατερήν· ὁ δ᾽ ἄρ᾽ ἐν κονίῃσι τανυσθεὶς,
ψυχὴν οὔτι κάπυσσεν, ἐπεί νύ οἱ αἴσιμον ἦμαρ
ἐν νόστῳ ἐτέτυκτο Καφηρίσιν ἀμφὶ πέτρῃσι·
καί ῥά μιν ἁρπάξαντες ἀρηΐφιλοι θεράποντες,
βαιὸν ἔτ᾽ ἐμπνείοντα φέρον ποτὶ νῆας Ἀχαιῶν.
καὶ τότ᾽ ἄρ᾽ οἰώθησαν ἀγακλειτοὶ βασιλῆες
Ἀτρεῖδαι· πὰρ δέ σφιν ὀλέθριος ἵσταθ᾽ ὅμιλος,
βαλλόντων ἑκάτερθεν, ὅ τ᾽ ἔσθενε χερσὶν ἑλέσθαι·
οἱ μὲν γὰρ στονόεντα βέλη χέον, οἱ δέ νυ λᾶας,
ἄλλοι δ᾽ αἰγανέας· τοὶ δ᾽ ἐν μέσσοισιν ἐόντες,
στρωφῶντ᾽, εὖτε σύες μέσῳ ἕρκεϊ, ἠδὲ λέοντες,
ἤματι τῷ, ὅτ᾽ ἄνακτες ἀολλίσωσ᾽ ἀνθρώπους,
ἀργαλέως τ᾽ εἰλῶσι, κακὸν τεύχοντες ὄλεθρον
θηρσὶν ὑπὸ κρατεροῖς· οἱ δ᾽, ἕρκεος ἐντὸς ἐόντες,
δμῶας δαρδάπτουσιν, ὅ τις σφίσιν ἐγγὺς ἵκηται·
ὣς οἵγ᾽ ἐν μέσσοισιν ἐπεσσυμένους ἐδαΐζον.
ἀλλ᾽ οὐδ᾽ ὧς μένος εἶχον, ἐελδόμενοί περ, ἀλύξαι,
εἰ μὴ Τεῦκρος ἵκανε, καὶ Ἰδομενεὺς ἐρίθυμος,
Μηριόνης τε, Θόας τε, καὶ ἰσόθεος Θρασυμήδης·

οἵ ῥα πάρος φοβέοντο θρασὺ σθένος Εὐρυπύλοιο,
καί κε φύγον κατὰ νῆας, ἀλευάμενοι βαρὺ πῆμα,
εἰ μὴ ἄρ᾽ Ἀτρείδῃσι περιδδείσαντες ἵκοντο
ἄντην Εὐρυπύλοιο· μάχη δ᾽ ἀρίδηλος ἐτύχθη.
ἔνθα τότ᾽ Αἰνείαο κατ᾽ ἀσπίδος ἔγχος ἔρεισε
Τεῦκρος ἐϋμμελίης· τοῦ δ᾽ οὐ χρόα καλὸν ἴαψεν·
ἤρκεσε γάρ οἱ πῆμα σάκος μέγα τετραβόειον·
ἀλλὰ καὶ ὧς, δείσας, ἀνεχάσσατο τυτθὸν ὀπίσσω.
Μηριόνης δ᾽ ἐπόρουσεν ἀμύμονι Λαοφόωντι
Παιονίδῃ, τὸν ἐγείνατ᾽ ἐϋπλόκαμος Κλεομήδη
Ἀξιοῦ ἀμφὶ ῥέεθρα· κίεν δ᾽ ὅγ᾽ ἐς Ἴλιον ἱρὴν
Τρωσὶν ἀρηξέμεναι μετ᾽ ἀμύμονος Ἀστεροπαίου·
τὸν δ᾽ ἄρα Μηριόνης νύξ᾽ ἔγχεϊ ὀκριόεντι
αἰδοίων ἐφύπερθε· θοῶς δέ οἱ εἴρυσεν αἰχμὴ
ἔγκατα· τοῦ δ᾽ ὤκιστα ποτὶ ζόφον ἔσσυτο θυμός.
Αἴαντος δ᾽ ἄρ᾽ ἑταῖρος Ὀϊλιάδαο δαΐφρων,
Ἀλκιμέδης, ἐς ὅμιλον ἐϋσθενέων βάλε Τρώων·
ἧκε δ᾽ ἐπευξάμενος δηΐων ἐς φύλοπιν αἰνὴν
σφενδόνῃ ἀλγινόεντα λίθον· διὰ δ᾽ ἔτρεσαν ἄνδρες,
ῥοῖζον ὁμῶς καὶ λᾶα περιδδείσαντες ἰόντα.
τὸν δ᾽ ὀλοὴ φέρε Μοῖρα ποτὶ θρασὺν ἡνιοχῆα
Πάμμονος Ἱππασίδην· τὸν δ᾽ ἡνία χερσὶν ἔχοντα,
πλῆξε κατὰ κροτάφοιο· θοῶς δέ μιν ἔκβαλε δίφρου,
πρόσθεν ἑοῖο τροχοῖο, θοὸν δέ οἱ ἅρμα πεσόντος
λυγρὸν ἐπισσώτροισι δέμας διελίσσετ᾽, ὀπίσσω
ἵππων ἱεμένων· θάνατος δέ μιν αἰνὸς ἐδάμνα
ἐσσυμένως, μάστιγα καὶ ἡνία νόσφι λιπόντα.
Πάμμονι δ᾽ ἔμπεσε πένθος· ἄφαρ δέ ἑ θῆκεν ἀνάγκη
ἄμφω, καὶ βασιλῆα, καὶ ἡνιοχεῖν θοὸν ἅρμα·

καί νύ κεν αὐτοῦ κῆρα καὶ ὕστατον ἦμαρ ἀνέτλη,
εἰ μή οἱ Τρώων τις ἀνὰ κλόνον αἱματόεντα
ἡνία δέξατο χερσὶ, καὶ ἐξεσάωσεν ἄνακτα,
ἤδη τειρόμενον δηΐων ὀλοῇσι χέρεσσιν.
ἀντίθεον δ᾽ Ἀκάμαντα καταντίον ἀΐσσοντα,
Νέστορος ὄβριμος υἱὸς ὑπὲρ γόνυ δούρατι τύψεν·
ἕλκεϊ δ᾽ οὐλομένῳ στυγερὰς ὑπεδύσατ᾽ ἀνίας·
χάσσατο δ᾽ ἐκ πολέμοιο· λίπεν δ᾽ ἑτάροισι κυδοιμὸν
δακρυόεντ᾽ οὐ γάρ οἱ ἔτι πτολέμοιο μεμήλει.
καὶ τότε δὴ θεράπων ἐρικυδέος Εὐρυπύλοιο
τύψε Θόαντος ἑταῖρον Ἐχέμμονα δηϊοτῆτι
ὤμου τυτθὸν ἔνερθε· περὶ κραδίην δέ οἱ ἔγχος
ἷξεν ἀνιηρόν· σὺν δ᾽ αἵματι κήκιεν ἱδρὼς
ψυχρὸς ἀπὸ μελέων· καί μιν στρεφθέντα φέρεσθαι
εἰς ὀπίσω, κατέμαρψε μέγα σθένος Εὐρυπύλοιο·
κόψε δέ οἱ θοὰ νεῦρα· πόδες δ᾽ ἀέκοντες ἔμιμνον
αὐτοῦ, ὅπη μιν τύψε· λίπεν δέ μιν ἄμβροτος αἰών.
ἐσσυμένως δὲ Θόας νύξεν Πάριν ὀξέϊ δουρὶ
δεξιτερὸν κατὰ μηρόν· ὁ δ᾽ ᾤχετο τυτθὸν ὀπίσσω
οἰσόμενος θοὰ τόξα, τά οἱ μετόπισθε λέλειπτο.
Ἰδομενεὺς δ᾽ ἄρα λᾶαν, ὅσον σθένε, χερσὶν ἀείρας,
κάββαλεν Εὐρυπύλοιο βραχίονα· τοῦ δὲ χαμᾶζε
κάππεσε λοίγιον ἔγχος· ἄφαρ δ᾽ ἀνεχάσσατ᾽ ὀπίσσω
οἰσέμεν ἐγχείην· τὴν γάρ ῥ᾽ ἔχεν, ἔκβαλε χειρός.
Ἀτρεΐδαι δ᾽ ἄρα τυτθὸν ἀνέπνευσαν πολέμοιο.
τῷ δὲ θοῶς θεράποντες ἔβαν σχεδὸν, οἵ οἱ ἔνεγκαν
ἀαγὲς δόρυ μακρὸν, ὃ πολλῶν γούνατ᾽ ἔλυσε·
δεξάμενος δ᾽ ὅγε, λαὸν ἐπῴχετο, κάρτεϊ θύων,
κτείνων ὃν κε κίχησε· πολὺν δ᾽ ὑπεδάμναθ᾽ ὅμιλον.

ἔνθ' οὔτ' Ἀτρεῖδαι μένον ἔμπεδον, οὔτε τις ἄλλος
ἀγχεμάχων Δαναῶν· μάλα γὰρ δέος ἔλλαβε πάντας
ἀργαλέον· πᾶσιν γὰρ ἐπέσσυτο πῆμα κορύσσων
Εὐρύπυλος· μετόπισθε δ' ἐπεσσύμενος κεράϊζε·
κέκλετο δ' αὖ Τρώεσσι καὶ ἱπποδάμοις ἑτάροισιν·
Ὦ φίλοι, εἰ δ' ἄγε θυμὸν ἕνα στέρνοισι βαλόντες,
τεύξωμεν Δαναοῖσι φόνον καὶ κῆρ' ἀΐδηλον,
οἳ δὴ νῦν, μήλοισιν ἐοικότες, ἀπονέονται
νῆας ἐπὶ σφετέρας· ἀλλὰ μνησώμεθα πάντες
ὑσμίνης ὀλοῆς, ἧς παιδόθεν ἴδμονές εἰμέν.
Ὣς φάτο· τοὶ δ' ἐπόρουσαν ἀολλέες Ἀργείοισιν·
οἳ δὲ, μέγα τρομέοντες, ἀπ' ἀργαλέοιο κυδοιμοῦ
φεῦγον· τοὶ δ' ἐφέποντο, κύνες ὡς ἀργιόδοντες
κεμμάσιν ἀγροτέρῃσιν ἐπ' ἄγκεα μακρὰ καὶ ὕλην·
πολλοὺς δ' ἐν κονίῃσι βάλον, μάλα περ μεμαῶτας
ἐκφυγέειν ὀλοοῖο φόνου στονόεσσαν ὁμοκλήν.
Εὐρύπυλος μὲν ἔπεφνεν ἀμύμονα Βουκολίωνα,
Νῆσόν τε, Χρόμιόν τε, καὶ Ἄντιφον· οἳ δὲ Μυκήνην
ᾤκεον εὐκτέανον, τοὶ δ' ἐν Λακεδαίμονι ναῖον.
τοὺς ἄρ' ὅγ' ἐξενάριξεν, ἀριγνώτους περ ἐόντας·
ἐκ δ' ἄρα πληθύος εἷλεν ἀάσπετα φῦλ' ἀνθρώπων,
ὅσσα μοι οὐ σθένος ἐστὶ λιλαιομένῳ περ ἀεῖσαι,
οὐδ' εἴ μοι στέρνοισι σιδήρεον ἦτορ ἐνείη.
Αἰνείας δὲ Φέρητα, καὶ Ἀντίμαχον κατέπεφνεν,
ἀμφοτέρους Κρήτηθεν ἅμ' Ἰδομενῆϊ κιόντας.
αὐτὰρ Ἀγήνωρ δῖος ἀμύμονα Μῶλον ἔπεφνεν,
ὅσπερ ἀπ' Ἄργεος ἦλθεν ὑπὸ Σθενέλῳ βασιλῆϊ·
τὸν βάλεν αἰγανέῃ νεοθηγεῖ πολλὸν ὀπίσσω
φεύγοντ' ἐκ πολέμοιο, τυχὼν ὑπὸ νείατα κνήμης

δεξιτερῆς. αἰχμὴ δὲ διὰ πλατὺ νεῦρον ἔκερσεν,
ἀντικρὺ ἱεμένη· παρὰ δ' ἔθρισεν ὀστέα φωτὸς
ἀργαλέως· ὀδύνη δ' ἐμίγη μόρος, ἔφθιτο δ' ἀνήρ.
ἔνθα Πάρις Μόνυσόν τ' ἔβαλεν, καὶ ἀγήνορα Φόρκυν,
ἄμφω ἀδελφειοὺς, οἵ τ' ἐκ Σαλαμῖνος ἵκοντο
Αἴαντος νήεσσι, καὶ οὐκέτι νόστον ἕλοντο.
τοῖσι δ' ἔπι, Κλεόλαον ἐῢν, θεράποντα Μέγητος,
εἷλε βαλὼν κατὰ μαζὸν ἀριστερόν· ἀμφὶ δέ μιν νὺξ
μάρψε κακὴ, καὶ θυμὸς ἀπέπτατο· τοῦ δὲ δαμέντος,
ἔνδον ὑπὸ στέρνοισιν ἔτι κραδίη ἀλεγεινὴ
ταρφέα παλλομένη, πτερόεν πελέμιξε βέλεμνον.
ἄλλον δ' ἰὸν ἄρ ἧκεν ἐπὶ θρασὺν Ἠετίωνα
ἐσσυμένως· τοῦ δ' αἶψα διὰ γναθμοῖο πέρησε
χαλκός· ὃ δὲ στονάχησε· μίγη δέ οἱ αἵματι δάκρυ.
ἄλλος δ' ἄλλον ἔπεφνε· πολὺς δ' ἐστείνετο χῶρος,
Ἀργείων ἰληδὸν ἐπ' ἀλλήλοισι πεσόντων.
Καί νύ κε δὴ τότε Τρῶες ἐνέπρησαν πυρὶ νῆας,
εἰ μὴ νὺξ ἐπόρουσε θοὴ βαθὺν ἠέρ' ἄγουσα.
χάσσατο δ' Εὐρύπυλος, σὺν δ' ἄλλοι Τρώϊοι υἷες
νηῶν βαιὸν ἄπωθε, ποτὶ προχοὰς Σιμόεντος,
ἧχί περ αὖλιν ἔθεντο γεγηθότες· οἱ δ' ἐνὶ νηυσὶν
Ἀργεῖοι γοάασκον, ἐπὶ ψαμάθοισι πεσόντες,
πολλὰ μάλ' ἀχνύμενοι κταμένων ὕπερ, οὕνεκ' ἄρ' αὐτοῦ
πολλοὺς ἐν κονίῃσι μέλας ἐκιχήσατο πότμος.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Ζ.

Ἦμος δ' οὐρανὸς ἄστρα κατέκρυφεν, ἔγρετο δ' ἠὼς
λαμπρὸν παμφανόωσα, κνέφας δ' ἀνεχάσσατο νυκτὸς,
δὴ τότ' ἀρήϊοι υἷες ἐϋσθενέων Ἀργείων,
οἱ μὲν ἔβαν προπάροιθε νεῶν κρατερὴν ἐπὶ δῆριν,
ἀντίον Εὐρυπύλοιο μεμαότες, οἱ δ' ἀπάτερθεν
αὐτοῦ πὰρ νήεσσι Μαχάονα ταρχύσαντο,
Νιρέα θ', ὃς μακάρεσσιν ἀειγενέεσσιν ἐῴκει
κάλλεΐ τ', ἀγλαΐῃ τε· βίη δ' οὐκ ἄλκιμος ἦεν·
οὐ γὰρ ἅμ' ἀνθρώποισι θεοὶ τελέουσιν ἅπαντα·
ἀλλ' ἐσθλῷ κακὸν ἄγχι παρίσταται, ἔκ τινος αἴσης.
ὣς Νιρῆϊ ἄνακτι παρ' ἀγλαΐῃ ἐρατεινῇ
κεῖτ' ἀλαπαδνοσύνη. Δαναοὶ δέ οἱ οὐκ ἀμέλησαν,
ἀλλά ἑ ταρχύσαντο, καὶ ὠδύραντ' ἐπὶ τύμβῳ,
ὅσσα Μαχάονα δῖον, ὃν ἀθανάτοισι θεοῖσιν
ἶσον ἀεὶ τίεσκον, ἐπεὶ πυκνὰ μήδεα ᾔδει·
ἀλλὰ γὰρ ἀμφοτέροις ταυτὸν πέρι σῆμ' ἐβάλοντο.
Καὶ τότ' ἄρ' ἐν πεδίῳ ἔτι μαίνετο λοίγιος Ἄρης·
ὦρτο δ' ἄρ' ἀμφοτέρωθε μέγας κόναβος καὶ ἀϋτὴ,
ῥηγνυμένων λάεσσι καὶ ἐγχείῃσι βοειῶν.

καί ῥ' οἱ μὲν πονέοντο πολυκμήτῳ ὑπ' Ἄρηϊ·
νωλεμέως δ' ἄρ' ἄπαστος ἐδητύος ἐν κονίῃσι
κεῖτο μέγα στενάχων Ποδαλείριος· οὐδ' ὅγε σῆμα
λεῖπε κασιγνήτοιο· νόος δέ οἱ ὡρμαίνεσκε
χερσὶν ὑπὸ σφετέρῃσιν ἀνηλεγέως ἀπολέσθαι·
καί ῥ' ὅτὲ μὲν βάλε χεῖρας ἐπὶ ξίφος, ἄλλοτε δ' αὖτε
δίζετο φάρμακον αἰνόν· ἑοὶ δέ μιν εἶργον ἑταῖροι,
πολλὰ παρηγορέοντες. ὁ δ' οὐκ ἀπέληγεν ἀνίης,
καί νύ κε θυμὸν ἑῇσιν ὑπὸ παλάμῃσιν ὄλεσσεν,
ἐσθλοῦ ἀδελφειοῖο νεοκμήτῳ ἐπὶ τύμβῳ,
εἰ μὴ Νηλέος υἱὸς ἐπέκλυεν, οὐδ' ἀμέλησεν
αἰνῶς τειρομένοιο. κίχεν δέ μιν ἄλλοτε μέν που
ἐκχύμενον περὶ σῆμα πολύστονον, ἄλλοτε δ' αὖτε
ἀμφὶ κάρη χεύοντα κόνιν, καὶ στήθεα χερσὶ
θεινόμενον κρατερῇσι, καὶ οὔνομα κικλήσκοντα
οἷο κασιγνήτοιο· περιστενάχοντο δ' ἄνακτα
δμῶες ὁμῶς ἑτάροισι· κακὴ δ' ἔχε πάντας ὀϊζύς.
καί ῥ' ὅγε μειλιχίοισι μέγ' ἀχνύμενον προσέειπεν·
Ἴσχεο λευγαλέοιο πόνου, καὶ πένθεος αἰνοῦ,
ὦ τέκος· οὐ γάρ ἔοικε, περίφρονα φῶτα γεγῶτα,
μύρεσθ' οἷα γυναῖκα, παρ' οὐκ ἔτ' ἐόντι πεσόντα·
οὐ γὰρ ἀναστήσεις μιν ἔτ' ἐς φάος, οὕνεκ' ἄϊστος
ψυχή οἱ πεπότηται ἐς ἠέρα, σῶμα δ' ἄνευθεν
πῦρ ὀλοὸν κατέδαψε, καὶ ὀστέα δέξατο γαῖα·
αὕτως δ', ὡς ἀνέθηλε, καὶ ἔφθιτο· τέτλαθι δ' ἄλγος
ἄσπετον, ὥσπερ ἔγωγε Μαχάονος οὔτι χερείω
παῖδ' ὀλέσας, δηΐοισιν ὑπ' ἀνδράσιν, εὖ μὲν ἄκοντι,
εὖ δὲ σαοφροσύνῃσι κεκασμένον· οὐδέ τις ἄλλος
αἰζηῶν φιλέεσκεν ἑὸν πατέρ', ὡς ἐμὲ κεῖνος·

κάτθανε δ' εἵνεκ' ἐμεῖο, σαωσέμεναι μενεαίνων
ὃν πατέρ'· ἀλλά οἱ εἶθαρ ἀποκταμένοιο, πάσασθαι
σῖτον ἔτλην, καὶ ζωὸς ἔτ' ἠριγένειαν ἰδέσθαι,
εὖ εἰδὼς, ὅτι πάντες ὁμὴν Ἀΐδαο κέλευθον
νισσόμεθ' ἄνθρωποι, πᾶσίν τ' ἐπὶ τέρματα κεῖται
λυγρὰ μόρου στονόεντος· ἔοικε δὲ θνητὸν ἐόντα
πάντα φέρειν, ὁπόσ' ἐσθλὰ διδοῖ θεὸς, ἠδ' ἀλεγεινά.
Ὣς φάθ'· ὁ δ' ἀχνύμενός μιν ἀμείβετο· τοῦ δ' ἀλεγεινὸν
ἔζεεν εἰσέτι δάκρυ, καὶ ἀγλαὰ δεῦε γένεια·
Ὦ πάτερ, ἄσχετον ἄλγος ἐμὸν καταδάμναται ἦτορ
ἀμφὶ κασιγνήτοιο περίφρονος, ὅς μ' ἀτίταλλεν,
οἰχομένοιο τοκῆος ἐς οὐρανὸν, ὡς ἑὸν υἷα
σφῇσιν ἐν ἀγκοίνῃσι, καὶ ἰητήρια νούσων
ἐκ θυμοῖο δίδαξε· μιῇ δ' ἐνὶ δαιτὶ καὶ εὐνῇ
τερπόμεθα, ξυνοῖσιν ἰαινόμενοι κτεάτεσσι.
τῷ μοι πένθος ἄλαστον ἐποίχεται· οὐδέ τι κείνου
τεθνεῶτος φάος ἐσθλὸν ἐέλδομαι εἰσοράασθαι.
Ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀκηχέμενον προσέειπεν·
Πᾶσι μὲν ἀνθρώποισιν ἴσον κακὸν ὤπασε δαίμων
ὀρφανίης, πάντας δὲ καὶ ἡμέας αἶα καλύψει,
οὐ μὲν ἄρ' ἐκτελέσαντας ὁμὴν βιότοιο κέλευθον,
οὐδ' ἥν εἷς τις ἕκαστος ἐέλδεται· οὕνεχ' ὕπερθεν
ἐσθλά τε καὶ τὰ χέρεια θεῶν ἐν γούνασι κεῖται
Μοίρης εἰς ἓν πάντα μεμιγμένα· καὶ τὰ μὲν οὔτις
δέρκεται ἀθανάτων, ἀλλ' ἀπροτίοπτα τέτυκται
ἀχλύϊ θεσπεσίῃ κεκαλυμμένα, τοῖς ἐπὶ χεῖρας
οἴη Μοῖρα τίθησι, καὶ οὐχ ὁρόωσ' ἀπ' Ὀλύμπου
ἐς γαῖαν προΐησι· τὰ δ' ἄλλυδις ἄλλα φέρονται,

πνοιῇ ὡς ἀνέμοιο· καὶ ἀνέρι πολλάκις ἐσθλῷ
ἀμφεχύθη μέγα πῆμα, λυγρῷ δ' ἐπὶ κάππεσεν ὄλβος
οὔτοι ἑκών· ἄλλος δὲ πέλει βίος ἀνθρώποισι.
τοὔνεκ' ἄρ' ἀσφαλέως οὐ νίσσεται, ἀλλὰ πόδεσσι
πυκνὰ ποτιπταίει· τρέπεται δέ οἱ αἴολον εἶδος,
ἄλλοτε μὲν ποτὶ πῆμα πολύστονον, ἄλλοτε δ' αὖτε
εἰς ἀγαθόν· μερόπων δὲ πανόλβιος οὔτις ἐτύχθη
ἐς τέλος ἐξ ἀρχῆς· ἑτέρῳ δ' ἕτερ' ἀντιόωσι.
παῦρον δὲ ζώοντας, ἐν ἄλγεσιν οὔτοι ἔοικε
ζωέμεν· ἔλπειν δ' αἰὲν ἀρείονα, μηδ' ἐπὶ λυγρῷ
θυμὸν ἔχειν. καὶ γάρ ῥα πέλει φάτις ἀνθρώποισιν,
ἐσθλὸν μὲν νίσσεσθαι ἐς οὐρανὸν ἄφθιτον αἰεὶ,
ἀργαλέον δὲ ποτὶ στυγερὸν ζόφον· ἔπλετο δ' ἄμφω
σεῖο κασιγνήτῳ· καὶ μείλιχος ἔσκε βροτοῖσι,
καὶ πάϊς ἀθανάτοιο· θεῶν δ' ἐς φῦλον ὀΐω
κεῖνον ἀνελθέμεναι σφετέρου πατρὸς ἐννεσίῃσιν.
Ὣς εἰπών μιν ἔγειρεν ἀπὸ χθονὸς, οὐκ ἐθέλοντα,
παρφάμενος μύθοισιν, ἄγεν δ' ἀπὸ σήματος αἰνοῦ
ἐντροπαλιζόμενον, καὶ ἔτ' ἀργαλέα στενάχοντα.
ἐς δ' ἄρα νῆας ἵκοντο· πόνον δ' ἔχον ἄλλοι Ἀχαιοὶ
ἀργαλέον, καὶ Τρῶες, ὀρινομένου πολέμοιο.
Εὐρύπυλος δ', ἀτάλαντος ἀτειρέα θυμὸν Ἄρηϊ,
χερσὶν ὑπ' ἀκαμάτῃσι καὶ ἔγχεϊ μαιμώωντι
δάμνατο δήϊα φῦλα· νεκρῶν δ' ἐστείνετο γαῖα,
κτεινομένων ἑκάτερθεν· ὁ δ' ἐν νεκύεσσι βεβηκὼς,
μάρνατο θαρσαλέως, πεπαλαγμένος αἵματι χεῖρας
καὶ πόδας· οὐδ' ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ·
ἀλλ' ὅγε Πηνέλεων κρατερόφρονα δουρὶ δάμασσεν,
ἀντιόωντ' ἀνὰ δῆριν ἀμείλιχον· ἀμφὶ δὲ πολλοὺς

ἔκτανεν. οὐδ' ὅγε χεῖρας ἀπέτρεπε δηϊοτῆτος,
ἀλλ' ἔπετ' Ἀργείοισι χολούμενος, εὖτε πάροιθεν
ὄβριμος Ἡρακλέης Φολόης ἀνὰ μακρὰ κάρηνα
Κενταύροις ἐπόρουσεν, ἑῷ μέγα κάρτεϊ θύων,
τοὺς ἅμα πάντας ἔπεφνε, καὶ ὠκυτάτους περ ἐόντας,
καὶ κρατεροὺς, ὀλοοῦ τε δαήμονας ἰωχμοῖο.
ὣς ὅγ' ἐπασσύτερον Δαναῶν στρατὸν αἰχμητάων
δάμνατ' ἐπεσσύμενος· τοὶ δ' ἰλαδὸν, ἄλλοθεν ἄλλος,
ἀθρόοι ἐν κονίῃσι δεδουπότες ἐξεχέοντο.

Ὡς δ' ὅτ' ἐπιβρίσαντος ἀπειρεσίου ποταμοῖο
ὄχθαι ἀποτμήγονται ἐπὶ ψαμμώδεϊ χώρῳ
μυρίαι ἀμφοτέρωθεν, ὁ δ' εἰς ἁλὸς ἔσσυται οἶδμα,
παφλάζων ἀλεγεινὸν ἀνὰ ῥόον, ἀμφὶ δὲ πάντη
κρημνοὶ ἐπικτυπέουσι, βρέμει δ' ἄρα μακρὰ ῥέεθρα
αἰὲν ἐρειπομένων, εἴκει δέ οἱ ἕρκεα πάντα·
ὣς ἄρα κύδιμοι υἷες ἐϋπτολέμων Ἀργείων
πολλοὶ ὑπ' Εὐρυπύλοιο κατήριπον ἐν κονίῃσι,
τοὺς κίχεν αἱματόεντα κατὰ μόθον· οἳ δ' ὑπάλυξαν
ὅσσους ἐξεσάωσε ποδῶν μένος· ἀλλ' ἄρα καὶ ὧς
Πηνέλεων ἐρύσαντο δυσηχέος ἐξ ὁμάδοιο
νῆας ἐπὶ σφετέρας, καί περ ποσὶ καρπαλίμοισι
κῆρας ἀλευόμενοι στυγερὰς καὶ ἀνηλέα πότμον·
πανσυδίῃ δ' ἔντοσθε νεῶν φύγον· οὐδέ τι θυμῷ
ἔσθενον Εὐρυπύλοιο καταντία δηριάασθαι,
οὕνεκ' ἄρα σφίσι φύζαν ὀϊζυρὴν ἐφέηκεν
Ἡρακλέης, υἱωνὸν ἀτειρέα πάμπαν ἀέξων.

Οἱ δ' ἄρα τείχεος ἐντὸς ὑποπτώσσοντες ἔμιμνον,
αἶγες ὅπως ὑπὸ πρῶνα φοβεύμεναι αἰνὸν ἀήτην,
ὅς τε φέρει νιφετόν τε πολὺν, κρυερήν τε χάλαζαν

ψυχρὸς ἐπαΐσσων, ταὶ δ᾽ ἐς νομὸν ἐσσύμεναί περ,
ῥιπῆς οὔτι κατιθὺς ὑπερκύπτουσι κολώνης,
ἀλλ᾽ ἄρα χεῖμα μένουσιν ὑπὸ σκέπας, ἠδὲ φάραγγας
ἀγρόμεναι θάμνοισιν ὑπὸ σκιεροῖσι νέμονται
ἰλαδὸν, ὄφρ᾽ ἀνέμοιο κακαὶ λήξωσιν ἄελλαι·
ὣς Δαναοὶ πύργοισιν ὑπὸ σφετέροισιν ἔμιμνον,
Τηλέφου ὄβριμον υἷα μετεσσύμενον τρομέοντες.
Αὐτὰρ ὁ νῆας ἔμελλε θοὰς καὶ λαὸν ὀλέσσειν,
εἰ μὴ Τριτογένεια θράσος βάλεν Ἀργείοισιν
ὀψέ περ. οἱ δ᾽ ἄλληκτον ἀφ᾽ ἕρκεος αἰπεινοῖο
δυσμενέας βάλλοντες ἀνιηροῖς βελέεσσι
κτεῖνον ἐπασσυτέρους· δεύοντο δὲ τείχεα λύθρῳ
λευγαλέῳ· στοναχὴ δὲ δαϊκταμένων πέλε φωτῶν.
αὔτως δ᾽ αὖ νύκτας τε καὶ ἤματα δηριόωντο
Κήτειοι Τρῶές τε καὶ Ἀργεῖοι μενεχάρμαι,
ἄλλοτε μὲν προπάροιθε νεῶν, ὁτὲ δ᾽ ἀμφὶ μακεδνὸν
τεῖχος, ἐπεὶ πέλε μῶλος ἀάσχετος. ἀλλ᾽ ἄρα καὶ ὣς,
ἤματα δοιὰ φόνοιο καὶ ἀργαλέης ὑσμίνης
παύσανθ᾽, οὕνεχ᾽ ἵκανεν ἐς Εὐρύπυλον βασιλῆα
ἀγγελίη Δαναῶν, ὥς κεν, πολέμοιο μεθέντες,
πυρκαϊῇ δώωσι δαϊκταμένους ἐνὶ χάρμῃ.
αὐτὰρ ὅγ᾽ αἶψ᾽ ἐπίθησε, καὶ, ἀργαλέοιο κυδοιμοῦ
παυσάμενοι ἑκάτερθε, νεκροὺς περιταρχύσαντο
ἐν κονίῃ ἐριπόντας. Ἀχαιοὶ δ᾽ ἔξοχα πάντων
Πηνέλεων μύροντο· βάλον δ᾽ ἐπὶ σῆμα θανόντι
εὐρὺ μάλ᾽, ὑψηλόν τε, καὶ ἐσσομένοις ἀρίδηλον.
πληθὺν δ᾽ αὖτ᾽ ἀπάνευθε δαϊκταμένων ἡρώων
θάψαν, ἀκηχέμενοι μεγάλῳ περὶ πένθεϊ θυμὸν,
πυρκαϊὴν ἅμα πᾶσι μίην περινηήσαντες,

καὶ τάφον. ὣς δὲ καὶ αὐτοὶ ἀπόπροθι Τρώϊοι υἷες
τάρχυσαν κταμένους. ὀλοὴ δ' Ἔρις οὐκ ἀπέληγεν,
ἀλλ' ἔτ' ἐποτρύνεσκε θρασὺ σθένος Εὐρυπύλοιο
ἀντιάαν δηΐοισιν· ὁ δ' οὔπω χάζετο νηῶν,
ἀλλ' ἔμενεν, Δαναοῖσι κακὴν ἔπι δῆριν ἀέξων.
Τοὶ δ' ἐς Σκῦρον ἵκοντο, μελαίνῃ νηῒ θέοντες·
εὗρον δ' υἷ' Ἀχιλῆος ἑοῦ προπάροιθε δόμοιο,
ἄλλοτε μὲν βελέεσσι καὶ ἐγχείῃσιν ἵεντα,
ἄλλοτε δ' αὖθ' ἵπποισι πονεύμενον ὠκυπόδεσσι.
γήθησαν δ' ἐσιδόντες ἀταρτηροῦ πολέμοιο
ἔργα μετοιχόμενον, καί περ μέγα τειρόμενον κῆρ
ἀμφὶ πατρὸς κταμένοιο· τὸ γὰρ προπάροιθε πέπυστο.
αἶψα δέ οἱ κίον ἄντα τεθηπότες, οὕνεχ' ὁρῶντο
θαρσαλέῳ Ἀχιλῆϊ δέμας περικαλλὲς ὁμοῖον·
τοὺς δ' ἄρ' ὑποφθάμενος, τοῖον ποτὶ μῦθον ἔειπεν·
Ὦ ξεῖνοι, μέγα χαίρετ', ἐμὸν ποτὶ δῶμα κιόντες·
εἴπατε δ' ὁππόθεν ἐστὲ, καὶ οἵ τινες, ἠδ' ὅ τι χρειὼ
ἤλθετ' ἔχοντες ἐμεῖο δι' οἴδματος ἀτρυγέτοιο.
Ὣς ἔφατ' εἰρόμενος· ὁ δ' ἀμείβετο δῖος Ὀδυσσεύς.
Ἡμεῖς τοι φίλοι εἰμὲν ἐϋπτολέμου Ἀχιλῆος,
τῷ νύ σε φασὶ τεκέσθαι ἐΰφρονα Δηϊδάμειαν·
καὶ δ' αὐτοὶ τεὸν εἶδος ἐΐσκομεν ἀνέρι κείνῳ
πάμπαν· ὁ δ' ἀθανάτοισιν ἐϋσθενέεσσιν ἐῴκει.
εἰμὶ δ' ἐγὼν Ἰθάκηθεν, ὁ δ' Ἄργεος ἱπποβότοιο,
εἴ ποτε Τυδεΐδαο δαΐφρονος οὔνομ' ἄκουσας,
ἢ καὶ Ὀδυσσῆος πυκιμήδεος, ὅς νύ σοι ἄγχι
αὐτὸς ἐγὼν ἕστηκα, θεοπροπίης ἕνεκ' ἐλθών.
ἀλλ' ἐλέαιρε τάχιστα, καὶ Ἀργείοις ἐπάμυνον
ἐλθὼν ἐς Τροίην· ὣς γάρ τέλος ἔσσετ' Ἄρηϊ.

καί τοι δῶρ' ὀπάσουσιν ἀάσπετα δῖοι Ἀχαιοί·
τεύχεα δ' αὐτὸς ἔγωγε τεοῦ πατρὸς ἀντιθέοιο
δώσω, ἅπερ φορέων μέγα τέρψεαι. οὐ γὰρ ἔοικε
θνητῶν τεύχεα κεῖνα· θεοῦ δέ που Ἄρεος ὅπλοις
ἶσα πέλει· πουλὺς δὲ περί σφισι πάμπαν ἄρηρε
χρυσὸς, δαιδαλέοισι κεκασμένος· οἷσι καὶ αὐτὸς
Ἥφαιστος μέγα θυμὸν ἐν ἀθανάτοισιν ἰάνθη,
τεύχων ἄμβροτα κεῖνα, τά σοι μέγα θαῦμα ἰδόντι
ἔσσεται, οὕνεκα γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα
ἀμφὶ σάκος πεπόνηται, ἀπειρεσίῳ περὶ κύκλῳ·
ζῶα πέριξ ἤσκηνται, ἐοικότα κινυμένοισι,
θαῦμα καὶ ἀθανάτοισι· βροτῶν δ' οὐ πώποτε τοῖα
οὔτε τις ἔδρακε πρόσθεν ἐν ἀνδράσιν, οὔτ' ἐφόρησεν,
εἰ μὴ σός γε πατὴρ, τὸν ἶσον Διῒ τῖον Ἀχαιοὶ
πάντες· ἐγὼ δὲ μάλιστα, φίλα φρονέων, ἀγάπαζον,
καί οἱ, ἀποκταμένοιο, νέκυν ποτὶ νῆας ἔνεικα,
πολλοῖς δυσμενέεσσιν ἀνηλέα πότμον ὀπάσσας·
τοὔνεκά μοι κείνοιο περικλυτὰ τεύχεα δῶκε
δῖα Θέτις. τὰ δ' ἄρ' αὖθις, ἐελδόμενός περ, ἔγωγε
δώσω προφρονέως, ὁπότ' Ἴλιον εἰσαφίκηαι.
καί νύ σε καὶ Μενέλαος, ἐπὴν, Πριάμοιο πόληα
πέρσαντες, νήεσσιν ἐς Ἑλλάδα νοστήσωμεν,
αὐτίκα οἱ γαμβρὸν ποιήσεται, ἤν κ' ἐθέλῃσθα,
ἀμφ' εὐεργεσίης· δώσει δέ τοι ἄσπετ' ἄγεσθαι
κτήματά τε, χρυσόν τε, μετ' ἠϋκόμοιο θυγατρὸς,
ὅσσ' ἐπέοικεν ἕπεσθαι ἐϋκτεάνῳ βασιλῆϊ.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Εἰ μὲν δὴ καλέουσι θεοπροπίῃσιν Ἀχαιοὶ,
αὔριον αἶψα νεώμεθ' ἐπ' εὐρέα βένθεα πόντου,

ἤν τι φάος Δαναοῖσι λιλαιομένοισι γένωμαι·
νῦν δ' ἴομεν ποτὶ δώματ' εὔξεινόν τε τράπεζαν,
οἵην περ ξείνοισι θέμις παρατεκτήνασθαι·
ἀμφὶ δ' ἐμοῖο γάμοιο θεοῖς μετόπισθε μελήσει.
Ὣς εἰπὼν ἡγεῖθ'· οἱ δ', ἑσπόμενοι, μέγα χαῖρον·
καὶ δὴ ὅτ' ἐς μέγα δῶμα κίον καὶ κάλλιμον αὐλὴν,
εὗρον Δηϊδάμειαν ἀκηχεμένην ἐνὶ θυμῷ,
τηκομένην θ', ὡσεί τε χιὼν κατατήκετ' ὄρεσσιν
εὔρου ὑπαὶ λιγέος καὶ ἀτειρέος ἠελίοιο·
ὣς ἥ γε φθινύθεσκε, δεδουπότος ἀνδρὸς ἀγαυοῦ.
καί μιν, ἔτ' ἀχνυμένην περ, ἀγακλειτοὶ βασιλῆες
ἀσπάζοντ' ἐπέεσσι· πάϊς δέ οἱ, ἐγγύθεν ἐλθὼν,
μυθεῖτ' ἀτρεκέως γενεὴν καὶ οὔνομ' ἑκάστου·
χρειὼ δ', ἥν τιν' ἵκανον, ἐπέκρυφε μέχρις ἐς ἠῶ,
ὄφρα μὴ ἀχνυμένην μιν ἕλῃ πολύδακρυς ἀνίη,
καί μιν ἐπεσσύμενον μάλα λισσομένη κατερύκῃ.
αἶψα δὲ δαῖτ' ἐπάσαντο, καὶ ὕπνῳ θυμὸν ἴηναν
πάντες, ὅσοι Σκύροιο πέδον περιναιετάασκον
εἰναλίης, τὴν μακρὰ περιβρομέουσι θαλάσσης
κύματα, ῥηγνυμένοιο πρὸς ἠόνας Αἰγαίοιο.
ἀλλ' οὐ Δηϊδάμειαν ἐπήρατον ὕπνος ἔμαρπτεν,
οὔνομα κερδαλέου μιμνησκομένην Ὀδυσῆος,
ἠδὲ καὶ ἀντιθέου Διομήδεος, οἵ ῥά μιν ἄμφω
εὖνιν ποιήσαντο φιλοπτολέμου Ἀχιλῆος,
παρφάμενοι κείνοιο θρασὺν νόον, ὄφρ' ἀφίκηται
δήϊον εἰς ἐνοπήν· τῷ δ' ἄτροπος ἤντετο μοῖρα,
ἥ οἱ ὑπέκλασε νόστον· ἀπειρέσιον δ' ἄρα πένθος
πατρὶ πόρεν Πηλῆϊ, καὶ αὐτῇ Δηϊδαμείῃ.
τοὔνεκά μιν κατὰ θυμὸν ἀάσπετον ἄμφεχε δεῖμα,

παιδὸς ἐπεσσυμένοιο ποτὶ πτολέμοιο κυδοιμὸν,
μή οἱ λευγαλέῳ ἐπὶ πένθεϊ πένθος ἵκηται.
Ἠὼς δ' εἰσανέβη μέγαν οὐρανόν· οἱ δ' ἀπὸ λέκτρων
καρπαλίμως ὄρνυντο· νόησε δὲ Δηϊδάμεια·
αἶψα δ' υἱοῦ στέρνοισι περὶ πλατέεσσι χυθεῖσα,
ἀργαλέως γοάασκεν ἐς αἰθέρα, μακρὰ βοῶσα.
ἠΰτε βοῦς ἐν ὄρεσσιν, ἀπειρέσιον μεμακυῖα,
πόρτιν ἑὴν δίζηται ἐν ἄγκεσιν, ἀμφὶ δὲ μακρὰ
οὔρεος αἰπεινοῖο περιβρομέουσι κολῶναι·
ὣς ἄρα μυρομένης, ἀμφίαχεν αἰπὺ μέλαθρον
πάντοθεν ἐκ πυμάτων, μέγα δ' ἀσχαλόωσ' ἀγόρευε·
Τέκνον, ποῖ δὴ νῦν σοι ἐῢς νόος ἐκπεπότηται,
Ἴλιον ἐς πολύδακρυ μετὰ ξείνοισιν ἕπεσθαι,
ἧχι πολεῖς ὀλέκοντο ὑπ' ἀργαλέης ὑσμίνης,
καί περ ἐπιστάμενοι πόλεμον, καὶ ἀεικέα χάρμην;
νῦν δὲ σὺ μὲν νέος ἐσσὶ, καὶ οὔπω δήϊα ἔργα
οἶδας, ἅ τ' ἀνθρώποισιν ἀλάλκουσιν κακὸν ἦμαρ.
ἀλλὰ σὺ μέν μευ ἄκουσον, ἑοῖς δ' ἐνὶ μίμνε δόμοισι,
μὴ δή μοι Τροίηθε κακὴ φάτις οὔαθ' ἵκηται
σεῖο καταφθιμένοιο κατὰ μόθον· οὐ γὰρ ὀΐω
ἐλθέμεναί σ' ἔτι δεῦρο μετάτροπον ἐξ ὁμάδοιο.
οὐδὲ γὰρ οὐδὲ πατὴρ τεὸς ἔκφυγε κῆρ' ἀΐδηλον,
ἀλλ' ἐδάμη κατὰ δῆριν, ὅπερ καὶ σεῖο καὶ ἄλλων
ἡρώων προφέρεσκε, θεὰ δέ οἱ ἔπλετο μήτηρ,
τῶνδε δολοφροσύνῃ καὶ μήδεσιν, οἵ σε καὶ αὐτὸν
δῆριν ἐπὶ στονόεσσαν ἐποτρύνουσι νέεσθαι.
τοὔνεκ' ἐγὼ δείδοικα, περὶ κραδίῃ τρομέουσα,
μή μοι, καὶ σέο, τέκνον, ἀποφθιμένοιο, πέληται,
εὖνιν καλλειφθεῖσαν, ἀεικέα πήματα πάσχειν.

οὐ γάρ πώ τι γυναικὶ κακώτερον ἄλγος ἔπεισιν,
ἢ ὅτε παῖδες ὄλωνται, ἀποφθιμένοιο καὶ ἀνδρὸς,
χηρωθῇ δὲ μέλαθρον ὑπ᾽ ἀργαλέου θανάτοιο.
αὐτίκα γὰρ πέρι φῶτες ἀποτμήγουσιν ἀρούρας,
κείρουσιν δέ τε πάντα, καὶ οὐκ ἀλέγουσι θέμιστας·
οὕνεκεν οὔτι τέτυκται ὀϊζυρώτερον ἄλλο
χήρης ἐν μεγάροισιν, ἀκιδνότερόν τε, γυναικός.
Ἦ, μέγα κωκύουσα· πάϊς δέ μιν ἀντίον ηὔδα·
Θάρσει μῆτερ ἐμεῖο, κακὴν δ᾽ ἀποπέμπεο φήμην·
οὐ γὰρ ὑπὲρ κῆράς τις ὑπ᾽ Ἄρεϊ δάμναται ἀνήρ·
εἰ δέ μοι αἴσιμόν ἐστι δαμήμεναι, οὕνεκ᾽ Ἀχαιῶν
τεθναίην, ῥέξας τι καὶ ἄξιον Αἰακίδῃσιν.
Ὣς φάτο· τῷ δ᾽ ἄγχιστα κίεν γεραρὸς Λυκομήδης,
καί ῥά μιν ἰωχμοῖο λιλαιόμενον προσέειπεν·
Ὦ τέκος ὀβριμόθυμον, ἐῷ πατρὶ κάρτος ἐοικὼς,
οἶδ᾽ ὅτι καρτερὸς ἐσσὶ, καὶ ὄβριμος· ἀλλ᾽ ἄρα καὶ ὣς
καὶ πόλεμον δείδοικα πικρὸν, καὶ κῦμα θαλάσσης
λευγαλέον· ναῦται γὰρ ἀεὶ σχεδὸν εἰσὶν ὀλέθρου.
ἀλλὰ σὺ δείδιε, τέκνον, ἐπὴν πλόον εἰσαφίκηαι
ὕστερον, ἢ Τροίηθεν, ἢ ἄλλοθεν, οἷά τε πολλὰ,
τῆμος, ὅτ᾽ αἰγοκερῆϊ συνέρχεται ἠερόεντι
ἠέλιος, μετόπισθε βαλὼν ῥυτῆρα βελέμνων,
τοξευτὴν, ὅτε χεῖμα λυγρὸν κλονέουσιν ἄελλαι,
ἠδ᾽ ὁπότ᾽ ὠκεανοῖο κατὰ πλατὺ χεῦμα φέρονται
ἄστρα, κατερχομένοιο ποτὶ κνέφας Ὠρίωνος·
δείδιε δ᾽ ἐν φρεσὶν ᾗσιν ἰσημερίην ἀλεγεινὴν,
ᾗ ἔνι συμφορέονται, ἀν᾽ εὐρέα βένθεα πόντου,
ἔκποθεν ἀΐσσουσαι ὑπὲρ μέγα λαῖτμα θύελλαι,
ἢ ὅτε Πληϊάδων πέλεται δύσις, ἥν ῥα καὶ αὐτὴν

δείδιθι μαιμώωσαν ἔσω ἁλός· ἐν δὲ καὶ ἄλλα
ἄστρα, τά που μογεροῖσι πέλει δέος ἀνθρώποισι
δυόμεν' ἠδ' ἀνιόντα κατὰ πλατὺ χεῖμα θαλάσσης.
Ὣς εἰπὼν, κύσε παῖδα, καὶ οὐκ ἀνέεργε κελεύθου,
ἱμείροντα μόθοιο δυσηχέος· ὃς δ', ἐρατεινὸν
μειδιόων, ἐπὶ νῆα θοῶς ὥρμαινε νέεσθαι.
ἀλλά μιν εἰσέτι μητρὸς ἐνὶ μεγάροισιν ἔρυκε
δακρυόεις ὀαρισμὸς, ἐπισπεύδοντα πόδεσσιν.
ὡς δ' ὅτε τις θοὸν ἵππον ἐπὶ δρόμον ἰσχανόωντα
εἴργει ἐφεζόμενος, ὁ δ' ἐρυκανόωντα χαλινὸν
δάπτει ἐπιχρεμέθων, στέρνον δέ οἱ ἀφριόωντος
δεύεται, οὐδ' ἵστανται ἐελδόμενοι πόδες οἴμης,
πουλὺς δ' ἀμφοτέρωθεν ἐλαφροτάτοις ὑπὸ πόσσι
ταρφέα κινυμένοιο πέλει κτύπος, ἀμφὶ δὲ χαῖται
ῥώοντ' ἐσσυμένοιο, κάρη δ' εἰς ὕψος ἀείρει
φυσιόων μάλα πολλὰ, νόος δ' ἐπιτέρπετ' ἄνακτος·
ὣς ἄρα κύδιμον υἷα μενεπτολέμου Ἀχιλῆος
μήτηρ μὲν κατέρυκε, πόδες δέ οἱ ἐγκονέεσκον·
ἡ δὲ, καὶ ἀχνυμένη περ, ἑῷ ἐπαγάλλετο παιδί.
Ὃς δέ μιν ἀμφικύσας μάλα μυρία, κάλλιπε μούνην
μυρομένην ἀλεγεινὰ, φίλου κατὰ δώματα πατρός.
οἵη δ' ἀμφὶ μέλαθρα μέγ' ἀσχαλόωσα χελιδὼν
μύρεται αἰόλα τέκνα, τά που μάλα τετριγῶτα
αἰνὸς ὄφις κατέδαψε, καὶ ἤκαχε μητέρα κεδνὴν,
ἡ δ' ὁτὲ μὲν χήρη περιπέπταται ἀμφὶ καλιὴν,
ἄλλοτε δ' εὐτύκτοισι περὶ προθύροισι ποτᾶται,
αἰνὰ κινυρομένη τεκέων ὕπερ· ὣς ἄρα κεῖνον
μύρετο Δηϊδάμεια· καὶ υἱέος ἄλλοτε μέν που
εὐνὴν ἀμφιχυθεῖσα, μέγ' ἴαχεν, ἄλλοτε δ' αὖτε

κλαῖεν ἐπὶ φλιῇσι· φίλῳ δ' ἐγκάτθετο κόλπῳ,
εἴ τι ἐνὶ μεγάροισι τετυγμένον ἦεν ἄθυρμα,
ᾧ ἔπι, τυτθὸς ἐὼν, μεγάλας φρένας ἰαίνεσκεν·
ἀμφὶ δέ οἱ καὶ ἄκοντα λελειμμένον εἴ που ἴδοιτο,
ταρφέα μὲν φιλέεσκε, καὶ εἴ τι περ ἄλλο γοῶσα
ἔδρακε παιδὸς ἑοῖο δαΐφρονος. οὐ δ' ὅγε μητρὸς
ἄσπετ' ὀδυρομένης ἔτ' ἐπέκλυεν, ἀλλ' ἀπάτερθε
βαῖνε θοὴν ἐπὶ νῆα, φέρον δέ μιν ὠκέα γυῖα
ἀστέρι παμφανόωντι πανείκελον· ἀμφὶ δ' ἄρ' αὐτῷ
ἕσπετ' ὁμῶς Ὀδυσῆϊ δαΐφρονι Τυδέος υἱός·
λαοῦ δ' εἴκοσι φῶτες, ἀρηράμενοι φρεσὶ θυμὸν,
τοὺς ἔχε κεδνοτάτους ἐνὶ δώμασι Δηϊδάμεια,
καί σφεας ᾧ πόρε παιδὶ θοοὺς ἔμεναι θεράποντας,
οἳ τότ' Ἀχιλλέος υἷα θρασὺν περιποιπνύεσκον
ἐσσύμενον ποτὶ νῆα δι' ἄστεος· ὃς δ' ἐνὶ μέσσοις
ἤϊε καγχαλόων· κεχάροντο δὲ Νηρῆναι
ἀμφὶ Θέτιν· καὶ δ' αὐτὸς ἐγήθεε Κυανοχαίτης,
εἰσορόων Ἀχιλῆος ἀμύμονος ὄβριμον υἷα,
ὅς δ' ἤδη πολέμοιο λιλαίετο δακρυόεντος,
καίπερ ἐὼν ἔτι παιδνὸς, ἔτ' ἄχνοος· ἀλλά μιν ἀλκὴ
καὶ μένος ὀτρύνεσκεν· ἑῆς δ' ἐξέσσυτο πάτρης,
οἷος Ἄρης, ὅτε μῶλον ἐπέρχεται αἱματόεντα,
χωόμενος δηΐοισι, μέμηνε δέ οἱ μέγα θυμὸς,
καί οἱ ἐπισκύνιον βλοσυρὸν πέλει· ἀμφὶ δ' ἄρ αὐτῷ
ὄμματα μαρμαίρουσιν ἶσον πυρὶ, τοῦ δὲ παρειαὶ
κάλλος ὁμοῦ κρυόεντι φόβῳ καταειμέναι αἰὲν
φαίνοντ' ἐσσυμένου· τρομέουσι δὲ οἱ θεοὶ αὐτοί·
τοῖος ἔην Ἀχιλῆος ἐῢς πάϊς. οἱ δ' ἀνὰ ἄστυ
εὔχοντ' ἀθανάτοισι σαωσέμεν ἐσθλὸν ἄνακτα,

ἀργαλέου παλίνορσον ἀπ᾽ Ἄρεος· οἱ δ᾽ ἐσάκουσαν
εὐχομένων· ὁ δὲ πάντας ὑπείρεχεν, οἵ οἱ ἕποντο.
Ἐλθόντες δ᾽ ἐπὶ θῖνα βαρυγδούποιο θαλάσσης,
εὗρον ἔπειτ᾽ ἐλατῆρας ἐϋξόου ἔνδοθι νηὸς
ἱστία τ᾽ ἐντείνοντας, ἐπειγομένους τ᾽ ἀνὰ νῆα.
αἶψα δ᾽ ἄρ᾽ αὐτὸς ἔβη· οἱ δ᾽ ἔκτοθι πείσματ᾽ ἔλυσαν,
εὐνάς θ᾽, αἳ νήεσσι μέγα σθένος αἰὲν ἕπονται.
τοῖσι δ᾽ ἄρ᾽ εὐπλοΐην πόσις ὤπασεν Ἀμφιτρίτης
προφρονέως· μάλα γάρ οἱ ἐνὶ φρεσὶ μέμβλετ᾽ Ἀχαιῶν
τειρομένων ὑπὸ Τρωσὶ, καὶ Εὐρυπύλῳ μεγαθύμῳ.
οἱ δ᾽ Ἀχιλήϊον υἷα, παρεζόμενοι ἑκάτερθεν,
τέρπεσκον μύθοισιν, ἑοῦ πατρὸς ἔργ᾽ ἐνέποντες,
ὅσσα τ᾽ ἀνὰ πλόον εὐρὺν ἐμήσατο, καὶ ποτὶ γαίῃ
Τηλέφου ἀγχεμάχοιο, καὶ ὁππόσα Τρῶας ἔρεξεν,
ἀμφὶ πόλιν Πριάμοιο φέρων, καὶ ὅσ᾽ Ἀτρείδῃσι.
τοῦ δ᾽ ἰαίνετο θυμὸς ἐελδομένοιο καὶ αὐτοῦ
πατρὸς ἀταρβήτοιο μένος καὶ κῦδος ἀρέσθαι.
Ἡ δέ που ἐν θαλάμῃσιν ἀκηχεμένη περὶ παιδὶ
ἐσθλὴ Δηϊδάμεια πολύστονα δάκρυα χεῦεν·
καί οἱ ἐνὶ φρεσὶ θυμὸς ὑπ᾽ ἀργαλέῃσιν ἀνίῃς
τήκεθ᾽, ὅπως ἀλαπαδνὸς ἐπ᾽ ἀνθρακίῃσι μόλιβδος,
ἠὲ τρύφος κηροῖο· γόος δέ μιν οὔποτ᾽ ἔλειπε
δερκομένην ἐπὶ πόντον ἀπείριτον· οὕνεκα μήτηρ
ἄχνυθ᾽ ἑῷ περὶ παιδὶ, καὶ ἢν ἐπὶ δαῖτ᾽ ἀφίκηται·
καί ῥά οἱ ἱστία νηὸς, ἀπόπροθι πολλὸν ἰούσης,
ἤδη ἀπεκρύπτοντο, καὶ ἠέρι φαίνεθ᾽ ὁμοῖα.
ἀλλ᾽ ἡ μὲν στονάχιζε, πανημερίη γοόωσα·
νηῦς δ᾽ ἔθεεν κατὰ πόντον, ἐπισπομένου ἀνέμοιο,
τυτθὸν ἐπιψαύουσα πολυῤῥοθίοιο θαλάσσης,

πορφύρεον δ' ἑκάτερθε περὶ τρόπιν ἔβραχε κῦμα.
αἶψα δὲ νηῦς μέγα λαῖτμα διήνυσε ποντοποροῦσα·
ἀμφὶ δέ οἱ πέσε νυκτὸς ἔπι κνέφας· ἡ δ' ὑπ' ἀήτῃ
πλῶε κυβερνήτῃ τε, διαπρήσσουσα θαλάσσης
βένθεα. θεσπεσίη δὲ πρὸς οὐρανὸν ἤλυθεν ἠώς·
τοῖσι δ' ἄρ' Ἰδαίων ὀρέων φαίνοντο κολῶναι,
Χρῦσά τε, καὶ Σμίνθειον ἕδος, καὶ Σιγιὰς ἄκρη,
τύμβος τ' Αἰακίδαο δαΐφρονος· ἀλλά μιν οὔτι
υἱὸς Λαέρταο πύκα φρονέων ἐνὶ θυμῷ
δεῖξε Νεοπτολέμῳ, ἵνα οἱ μὴ πένθος ἀέξῃ
θυμὸς ἐνὶ στήθεσσι. παρημείβοντο δὲ νήσους
αἶψα Καλυδναίας· Τένεδος δ' ἀπελείπετ' ὀπίσσω·
φαίνετο δ' αὖθ' Ἐλεοῦντος ἕδος, οὗ Πρωτεσιλάοι
σῆμα πέλει πτελέῃσι κατάσκιον αἰπεινῇσιν·
αἵ ῥ' ὁπότ' ἀθρήσωσιν, ἀνερχόμεναι δαπέδοιο,
Ἴλιον, αὐτίκα τῇσι θοῶς αὐαίνεται ἄκρα.
νῆα δ' ἐρεσσομένην ἄνεμος φέρεν ἀγχόθι Τροίης·
ἵκετο δ' ἧχι καὶ ἄλλαι ἔσαν παρὰ θίνεσι νῆες
Ἀργείων, οἳ τῆμος ὀϊζυρῶς πονέοντο
μαρνάμενοι περὶ τεῖχος, ὅπερ πάρος αὐτοὶ ἔδειμαν
νηῶν ἔμμεναι ἕρκος, ἐϋσθενέων θ' ἅμα λαῶν,
ἐν πολέμῳ. τὸ δ' ἄρ' ἤδη ὑπ' Εὐρυπύλοιο χέρεσσι
μέλλεν ἀμαλδύνεσθαι ἐρειπόμενον ποτὶ γαίῃ·
εἰ μὴ ἄρ' αἶψ' ἐνόησε κραταιοῦ Τυδέος υἱὸς
βαλλόμεν' ἕρκεα μακρά, θοῆς δ' ἄφαρ ἔκθορε νηός,
θαρσαλέως δ' ἐβόησεν, ὅσον χάδεν οἱ κέαρ ἔνδον·
Ὦ φίλοι, ἦ μέγα πῆμα κυλίνδεται Ἀργείοισι
σήμερον· ἀλλ' ἄγε θᾶσσον ἐς αἰόλα τεύχεα δύντες
ἴομεν ἐς πολέμοιο πολυκμήτοιο κυδοιμόν·

ἤδη γὰρ πύργοισιν ἐφ' ἡμετέροισι μάχονται
Τρῶες ἐϋπτόλεμοι, τοὶ δὲ τάχα τείχεα μακρὰ
ῥηξάμενοι, πυρὶ νῆας ἐνιπρήσουσι μάλ' αἰνῶς·
νῶϊν δ' οὐκ ἔτι νόστος, ἐελδομένοις ἀνὰ θυμὸν,
ἔσσεται· ἀλλὰ καὶ αὐτοὶ ὑπὲρ μόρον αἶψα δαμέντες,
κεισόμεθ' ἐν Τροίῃ, τεκέων ἑκὰς ἠδὲ γυναικῶν.
Ὣς φάτο· τοὶ δ' ὤκιστα θοῆς ἐκ νηὸς ὄρουσαν
πανσυδίῃ· πάντας γὰρ ἕλε τρόμος εἰσαΐοντας,
νόσφι Νεοπτολέμοιο δαΐφρονος, οὕνεκ' ἐῴκει
πατρὶ φίλῳ μέγα κάρτος· ἔρως δέ οἱ ἔμπεσε χάρμης.
καρπαλίμως δ' ἵκοντο ποτὶ κλισίην Ὀδυσῆος·
ἣ γὰρ ἔην ἄγχιστα νεὼς κυανοπρώροιο·
πολλὰ δ' ἄρ ἐξημοιβὰ παρ' αὐτόθι τεύχεα κεῖτο,
ἢ μὲν Ὀδυσσῆος πυκιμήδεος, ἠδὲ καὶ ἄλλων
ἀντιθέων ἑτάρων, ὁπόσα κταμένων ἀφέλοντο.
ἔνθ' ἐσθλὸς μὲν ἔδυ καλὰ τεύχεα, τοὶ δὲ χέρεια
δῦσαν, ὅσοις ἀλαπαδνὸν ὑπὸ κραδίῃ πέλεν ἦτορ.
αὐτὰρ Ὀδυσσεὺς δῦσαθ' ἅ οἱ Ἰθάκηθεν ἕποντο·
δῶκε δὲ Τυδείδῃ Διομήδεϊ κάλλιμα τεύχη
κεῖνα, τὰ δὴ Σώκοιο βίην εἴρυσσε πάροιθεν.
υἱὸς δ' αὖτ' Ἀχιλῆος ἐδύσατο τεύχεα πατρὸς,
καί οἱ φαίνετο πάμπαν ἀλίγκιος· ἀμφὶ δ' ἐλαφρὰ
Ἡφαίστου παλάμῃσι περὶ μελέεσσιν ἀρήρει,
καίπερ ἐόνθ' ἑτέροισι πελώρια· τῷ δ' ἅμα πάντα
φαίνετο τεύχεα κοῦφα· κάρη δέ μιν οὔτι βάρυνε
πήληξ . . . . ἀλλά ἑ χερσὶ, καὶ ἠλίβατόν περ ἐοῦσαν,
ῥηϊδίως ἀνάειρεν, ἔθ' αἵματος ἰσχανόωσαν.
Ἀργείων δέ μιν ὅσσοι ἐπέδρακον, οὔτι δύναντο,
καίπερ ἐελδόμενοι, σχεδὸν ἐλθέμεν, οὕνεκ' ἄρ' αὐτοὺς

πᾶν περὶ τεῖχος ἔτειρε βαρὺς πολέμοιο κυδοιμός.
ὡς δ᾽ ὅτ᾽ ἀν᾽ εὐρέα πόντον, ἐρημαίῃ περὶ νήσῳ,
ἀνθρώπων ἀπάτερθεν ἐεργμένοι, ἀσχαλόωσιν
ἀνέρες, οὓς τ᾽ ἀνέμοιο καταιγίδες ἀντιόωσαι
εἴργουσιν μάλα πολλὸν ἐπὶ χρόνον, οἱ δ᾽ ἀλεγεινοὶ
νηῒ περιτρωχῶσι, καταφθινύθει δ᾽ ἄρα πάντα
ἤϊα, τειρομένοισι δ᾽ ἐπιπνεύσῃ λιγὺς οὖρος·
ὣς ἄρ᾽ Ἀχαιῶν ἔθνος, ἀκηχέμενον τοπάροιθεν,
ἀμφὶ Νεοπτολέμοιο βίῃ κεχάροντο μολόντι,
ἐλπόμενοι στονόεντος ἀναπνεύσειν καμάτοιο.
ὄσσε δέ οἱ μάρμαιρεν, ἀναιδέος εὖτε λέοντος,
ὅς τε κατ᾽ οὔρεα μακρὰ, μέγ᾽ ἀσχαλόων ἐνὶ θυμῷ,
ἔσσυται ἀγρευτῆρσιν ἐναντίον, οἵ τέ οἱ ἤδη
ἄντρῳ ἐπεμβαίνωσιν, ἐρύσσασθαι μεμαῶτες
σκύμνους οἰωθέντας, ἑῶν ἀπὸ τῆλε τοκήων,
βήσσῃ ἐνὶ σκιερῇ· ὁ δ᾽ ἄρ᾽ ὑψόθεν ἔκ τινος ἄκρης
ἀθρήσας ὀλοοῖσιν ἐπέσσυται ἀγρευτῆρσι,
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα φαίδιμος υἱὸς ἀταρβέος Αἰακίδαο
θυμὸν ἐπὶ Τρώεσσιν ἐϋπτολέμοισιν ὄρινεν.
οἴμησεν δ᾽ ἄρα πρῶτον, ὅπῃ μάλα δῆρις ὀρώρει
ἀμπεδίον· τῇ γὰρ μὲν ἐπέπλετο τεῖχος Ἀχαιῶν
ῥηΐτερον δηΐοισι μετὰ κλόνον ἐσσυμένοισιν,
οὕνεκ᾽ ἀκιδνοτέρῃσιν ἐπάλξεσιν ἠρήρειστο.
σὺν δέ οἱ ἄλλοι ἔβαν μέγα μαιμώωντες Ἄρηϊ·
εὗρον δ᾽ Εὐρύπυλον κρατερόφρονα· τῷ δ᾽ ἅμ᾽ ἑταίρους
πύργῳ ἐπεμβεβαῶτας, ὀϊομένους περὶ θυμῷ
ῥήξειν τείχεα μακρὰ, καὶ Ἀργείους ἀπολέσσειν

πανσυδίῃ. τοῖς δ᾽ οὔτι θεοὶ τελέεσκον ἐέλδωρ.
ἀλλὰ σφέας Ὀδυσεύς τε ἰδὲ σθεναρὸς Διομήδης,
ἰσόθεός τε Νεοπτόλεμος, δῖός τε Λεοντεὺς,
αἶψ᾽ ἀπὸ τείχεος ὦσαν ἀπειρεσίοις βελέεσσιν.
Ὡς δ᾽ ὅτ᾽ ἀπὸ σταθμοῖο κύνες μογεροί τε νομῆες
κάρτει καὶ φωνῇ κρατεροὺς σεύουσι λέοντας,
πάντοθεν ἐσσύμενοι, τοὶ δ᾽ ὄμμασι γλαυκιόωντες,
στρωφῶντ᾽ ἔνθα καὶ ἔνθα, λιλαιόμενοι μέγα θυμῷ
πόρτιας ἠδὲ βόας μετὰ γαμφηλῇσι λαφύξαι,
ἀλλὰ καὶ ὣς εἴκουσι, κυνῶν ὑπὸ καρτεροθύμων
σευόμενοι· μάλα γάρ σφιν ἐπαΐσσουσι νομῆες·

— — — — —

βαιὸν, ὅσον τις ἵησι χερὸς περιμήκεα λᾶαν,
οὐ γὰρ Τρῶας ἔα νηῶν ἀπὸ νόσφι φέβεσθαι
Εὐρύπυλος, δηΐων δὲ μάλα σχεδὸν ὀτρύνεσκε
μίμνειν, εἰσόκε νῆας ἕλῃ, καὶ πάντας ὀλέσσῃ
Ἀργείους· Ζεὺς γάρ οἱ ἀπειρέσιον βάλε κάρτος.
αὐτίκα δ᾽ ὀκρυόεσσαν ἑλὼν καὶ ἀτειρέα πέτρην,
ἧκεν ἐπεσσυμένως κατὰ τείχεος ἠλιβάτοιο·
σμερδαλέον δ᾽ ἄρα πάντα περιπλατάγησε θέμεθλα
ἕρκεος αἰπεινοῖο· δέος δ᾽ ἕλε πάντας Ἀχαιοὺς,
τείχεος ὡς ἤδη συνοχωκότος ἐν κονίῃσιν.
ἀλλ᾽ οὐδ᾽ ὣς ἀπόρουσαν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ᾽ ἔμενον θώεσσιν ἐοικότες, ἠὲ λύκοισι,
μήλων ληϊστῆρσιν ἀναιδέσιν, εὖτ᾽ ἐν ὄρεσσι
ἄντρων ἐξελάσωσιν ὁμῶς κυσὶν ἀγροιῶται
ἱέμενοι σκύμνοισι φόνον στονόεντα βαλέσθαι
ἐσσυμένως, τοὶ δ᾽ οὔτι βιαζόμενοι βελέεσσι
χάζοντ᾽, ἀλλὰ μένοντες, ἀμύνουσιν τεκέεσσιν.

ὣς ἄρ' ἀμυνόμενοι νηῶν ὕπερ ἠδὲ καὶ ἀνδρῶν,
μίμνον ἐν ὑσμίνῃ· τοῖς δ' Εὐρύπυλος θρασυχάρμης
ἠπείλει μέγα πᾶσι νεῶν προπάροιθε θοάων·
Ἆ δειλοὶ καὶ ἄναλκιν ἐνὶ φρεσὶ θυμὸν ἔχοντες,
οὐκ ἂν δή με βελέεσσι νεῶν ἄπο ταρβήσαντα
ἠλάσατ', εἰ μὴ τεῖχος ἐμὴν ἀπέρυκεν ὁμοκλήν·
νῦν δέ μοι, εὖτε λέοντι κύνες, πτώσσοντες ἐν ὕλῃ,
μάρνασθ' ἔνδον ἐόντες, ἀλευόμενοι φόνον αἰπύν.
ἢν δέ ποτ' ἐκ νηῶν ἐς Τρώϊον οὖδας ἵκησθε,
ὡς τὸ πάρος, μεμαῶτες ἐπὶ μόθον, οὔ νύ τις ὑμέα
ῥύσεται ἐκ θανάτοιο δυσηχέος, ἀλλ' ἅμα πάντες
κείσεσθ' ἐν κονίῃσιν ἐμοῦ ὕπο δῃωθέντες.
Ὣς ἔφατ', ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδει
ὅττι ῥά οἱ μέγα πῆμα κυλίνδετο βαιὸν ἄπωθεν,
χερσὶ Νεοπτολέμοιο θρασύφρονος, ὅς μιν ἔμελλε
δάμνασθ' οὐ μετὰ δηρὸν ὑπ' ἔγχεϊ μαιμώωντι.
οὐδὲ μὲν οὐδὲ τότ' ἔσκεν ἄτερ κρατεροῖο πόνοιο,
ἀλλὰ Τρῶας ἔναιρεν ἀφ' ἕρκεος. οἱ δ' ἐφέβοντο
βαλλόμενοι καθύπερθε· περικλονέοντο δ' ἀνάγκῃ
Εὐρυπύλῳ· πάντας γὰρ ἀνιηρὸν δέος ᾕρει.
ὡς δ' ὅτε νηπίαχοι περὶ γούνασι πατρὸς ἑοῖο
πτώσσουσι βροντὴν μεγάλου Διὸς ἀμφὶ νέφεσσι
ῥηγνυμένην, ὅτε δεινὸν ἐπιστοναχίζεται ἀήρ·
ὣς ἄρα Τρώϊοι υἷες ἐν ἀνδράσι Κητείοισιν
ἀμφὶ μέγαν βασιλῆα, Νεοπτόλεμον φοβέοντο·
πᾶν, ὅ, τι χερσὶν ἕηκεν, ἐς ἰθὺ γὰρ ἔπτατο πῆμα
δυσμενέων κεφαλῇσι φέρον πολύδακρυν Ἄρηα·
οἱ δ' ἄρ' ἀμηχανίῃ βεβολημένοι ἔνδοθεν ἦτορ
Τρῶες, ἔφαντ' Ἀχιλῆα πελώριον εἰσοράασθαι

αὐτὸν ὁμῶς τεύχεσσι· καὶ ἀμφασίην ἀλεγεινὴν
κεῦθον ὑπὸ κραδίῃ, ἵνα μὴ δέος αἰνὸν ἵκηται
ἐς φρένα Κητείων, μήδ᾽ Εὐρυπύλοιο ἄνακτος·
αὐτοὶ δ᾽ ἄλλοθεν ἄλλος ἀπειρέσιον τρομέοντες,
μεσσηγὺς κακότητος ἔσαν, κρυεροῦ τε φόβοιο·
αἰδὼς γὰρ κατέρυκεν ὁμῶς, καὶ δεῖμ᾽ ἀλεγεινόν.
ὡς δ᾽ ὅτε παιπαλόεσσαν ὁδὸν κατὰ ποσσὶν ἰόντες
ἀνέρες ἀθρήσωσιν ἀπ᾽ οὔρεος ἀΐσσοντα
χείμαῤῥον, καναχῇ δὲ περιβρομέει περὶ πέτρῃ,
οὐδέ τι οἱ μεμάασιν ἀνὰ ῥόον ἠχήεντα
βήμεναι ἐγκονέοντες, ἐπεὶ παρὰ ποσσὶν ὄλεθρον
δερκόμενοι τρομέουσι, καὶ οὐκ ἀλέγουσι κελεύθου·
ὣς ἄρα Τρῶες ἔμιμνον, ἐελδόμενοί περ ἀϋτῆς,
τεῖχος ὑπ᾽ Ἀργείων. τοὺς δ᾽ Εὐρύπυλος θεοειδὴς
αἰὲν ἐποτρύνεσκε ποτὶ κλόνον· ἦ γὰρ ἐώλπει
πολλοὺς δηϊόωντα πελώριον ἐν δαῒ φωτὶ
χεῖρα καμεῖν καὶ κάρτος· ὁ δ᾽ οὐκ ἀπέληγε μόθοιο.
Τῶν δ᾽ ἄρ᾽ Ἀθηναίη κρατερὸν πόνον εἰσορόωσα,
κάλλιπεν Οὐλύμπου εὐώδεος αἰπὰ μέλαθρα·
βῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς ὀρέων· οὐδ᾽ ἴχνεσι γαίης
ψαῦε, μέγ᾽ ἐγκονέουσα· φέρεν δέ μιν ἱερὸς ἀὴρ,
ἰδομένην νεφέεσσιν, ἐλαφροτέρην δ᾽ ἀνέμοιο.
Τροίην δ᾽ αἶψ᾽ ἐκίχανε, πόδας δ᾽ ἐπέθηκε κολώνῃ
Σιγέου ἠνεμόεντος· ἐδέρκετο δ᾽ ἔνθεν ἀϋτὴν
ἀγχεμάχων ἀνδρῶν· κύδαινε δὲ πολλὸν Ἀχαιούς.
υἱὸς δ᾽ αὖτ᾽ Ἀχιλῆος ἔχεν πολὺ φέρτατον ἄλλων
θάρσος ὁμοῦ καὶ κάρτος, ἅ τ᾽ ἀνδράσιν, εἰς ἓν ἰόντα,
τεύχουσιν μέγα κῦδος· ὁ δ᾽ ἀμφοτέροισι κέκαστο,
οὕνεκ᾽ ἔην Διὸς αἷμα, φίλῳ δ᾽ ἤϊκτο τοκῆϊ·

τῷ καὶ ἄτρεστος ἐὼν πολέας κτάνεν ἀγχόθι πύργων.
Ὡς δ᾽ ἁλιεὺς κατὰ πόντον ἀνὴρ λελιημένος ἄγρης,
τεύχων ἰχθύσι πῆμα, φέρει μένος Ἡφαίστοιο
νηὸς ἑῆς ἔντοσθε, διεγρόμενον δ᾽ ὑπ᾽ ἀϋτμῆς
μαρμαίρει περὶ νῆα πυρὸς σέλας, οἱ δὲ κελαίνης
ἐξ ἁλὸς ἀΐσσουσι, μεμαότες ὕστατον αἴγλην
εἰσιδέειν· τοὺς γάρ ῥα τανυγλώχινι τριαίνῃ
κτείνει ἐπεσσυμένους, γάνυται δέ οἱ ἦτορ ἐπ᾽ ἄγρῃ·
ὣς ἄρα κύδιμος υἱὸς ἐϋπτολέμου Ἀχιλῆος
λαΐνεον περὶ τεῖχος ἐδάμνατο δήϊα φῦλα
ἀντί᾽ ἐπεσσυμένων· πονέοντο δὲ πάντες Ἀχαιοὶ
ἄλλοι ὁμῶς ἄλλῃσιν ἐπάλξεσιν· ἔβραχε δ᾽ εὐρὺς
αἰγιαλὸς, καὶ νῆες· ἐπεστενάχοντο δὲ μακρὰ
τείχεα βαλλομένων· κάματος δ᾽ ὑπεδάμνατο λαοὺς
ἄσπετος ἀμφοτέρωθε· λύοντο δὲ γυῖα καὶ ἀλκὴ
αἰζηῶν· ἀλλ᾽ οὔτι μενεπτολέμου Ἀχιλῆος
ἄμφεχεν υἱέα δῖον, ἐπεί ῥά οἱ ὄβριμον ἦτορ
πάμπαν ἔην ἄτρυτον· ἀνιηρὸν δέ οἱ οὔτι
ἥψατο μαρναμένοιο· μένος δ᾽ ἀκάμαντι ἐοικὼς
ἀενάῳ ποταμῷ, τὸν ἀπειρεσίη πυρὸς ὁρμὴ
οὔποτ᾽ ἰοῦσ᾽ ἐφόβησε, καὶ ἢν μέγα μαίνετ᾽ ἀήτης
Ἡφαίστου κλονέων ἱερὸν μένος· ἢν γὰρ ἵκηται
ἐγγὺς ἐπὶ προχοῇσι, μαραίνεται, οὐδέ οἱ ἀλκὴ
ἅψασθ᾽ ἀργαλέη σθένει ὕδατος ἀκαμάτοιο.
ὣς ἄρα Πηλείδαο δαΐφρονος υἱέος ἐσθλοῦ,
οὔτε μόγος στονόεις, οὔτ᾽ ἂρ δέος ἥψατο γούνων,
αἰὲν ἐρειδομένοιο, καὶ ὀτρύνοντος ἑταίρους.
οὐ μὴν οὐδὲ βέλος κείνου χρόα καλὸν ἵκανε,
πολλῶν βαλλομένων· ἀλλ᾽, ὡς νιφάδες περὶ πέτρῃ

πολλάκις ἤϋτησαν ἐτώσια· πάντα γὰρ εὐρὺ
εἶργε σάκος, βριαρή τε κόρυς, κλυτὰ δῶρα θεοῖο.
τοῖς ἐπικαγχαλόων κρατερὸς πάϊς Αἰακίδαο,
φοίτα μακρὰ βοῶν περὶ τείχεϊ, πολλὰ κελεύων
ἐς μόθον Ἀργείοισιν ἀταρβέα· οὕνεκα πάντων
πολλὸν ἔην ὄχ' ἄριστος, ἔχεν δ' ἔτι θυμὸν ὁμοκλῆς
λευγαλέης ἀκόρητον· ἑοῦ δ' ἄρα μήδετο πατρὸς
τίσεσθ' ἀλγινόεντα φόνον. κεχάροντο δ' ἄνακτι
Μυρμιδόνες· στυγερὴ δὲ πέλεν περὶ τεῖχος ἀϋτή.
Ἔνθα δύω κτάνε παῖδε πολυχρύσοιο Μέγητος,
ὃς γόνος ἔσκε Δύμαντος, ἔχεν δ' ἐρικυδέας υἷας,
εἰδότας εὖ μὲν ἄκοντα βαλεῖν, εὖ δ' ἵππον ἐλάσσαι
ἐν πολέμῳ, καὶ μακρὸν ἐπισταμένως δόρυ πῆλαι·
τοὺς τέκεν οἱ Περίβοια μιῇ ὠδῖνι παρ' ὄχθῃς
Σαγγαρίου, Κέλτον τε, καὶ Εὔβιον· οὐδ' ἀπόναντο
ὄλβου ἀπειρεσίοιο πολὺν χρόνον, οὕνεκα Μοῖραι
παῦρον ἐπὶ σφίσι πάγχυ τέλος βιότοιο βάλοντο.
ἄμφω δ' ὡς ἴδον ἦμαρ ὁμοῦ, ὣς κάτθανον ἄμφω
χερσὶ Νεοπτολέμοιο θρασύφρονος, ὃς μὲν ἄκοντι
βλήμενος ἐς κραδίην, ὁ δὲ χερμαδίῳ ἀλεγεινῷ
κακκεφαλῆς· βριαρὴ δὲ περιθρυφθεῖσα καρήνῳ,
ἐθραύσθη τρυφάλεια, καὶ ἐγκέφαλον συνέχευεν.
Ἀμφὶ δ' ἄρα σφίσι φῦλα περικτείνοντο καὶ ἄλλων
μυρία δυσμενέων· μέγα δ' Ἄρεος ἔργον ὀρώρει,
μέσφ' ὅτε δὴ βουλυτὸς ἐπήλυθεν, ἤνυτο δ' ἠὼς
ἀμβροσίη, καὶ λαὸς ἀταρβέος Εὐρυπύλοιο
χάσσατο τυτθὸν ἄπωθε νεῶν· οἱ δ' ἀγχόθι πύργων
βαιὸν ἀνέπνευσαν· καὶ δ' αὐτοὶ Τρώϊοι υἷες
ἀμπαύοντο μόθοιο δυσαλγέος, οὕνεκ' ἐτύχθη

φύλοπις ἀργαλέη περὶ τείχεϊ· καί νύ χ' ἁπάντες
Ἀργεῖοι τότε νηυσὶν ἐπὶ σφετέρῃσιν ὄλοντο,
εἰ μὴ Ἀχιλλῆος κρατερὸς πάϊς ἤματι κείνῳ,
δυσμενέων ἀπάλαλκε πολὺν στρατὸν, ἠδὲ καὶ αὐτὸν
Εὐρύπυλον. τῷ δ' αἶψα γέρων σχεδὸν ἤλυθε Φοῖνιξ,
καί μιν ἰδὼν, θάμβησεν, ἐοικότα Πηλείωνι·
ἀμφὶ δέ οἱ μέγα χάρμα, καὶ ἄσπετον ἄλγος ἵκανεν·
ἄλγος μὲν, μνησθέντι ποδώκεος ἀντ' Ἀχιλῆος·
χάρμα δ' ἄρ, οὕνεκά οἱ κρατερὸν παῖδ' εἰσενόησε·
κλαῖε δ' ὅγ' ἀσπασίως, ἐπεὶ οὔποτε φῦλ' ἀνθρώπων
νόσφι γόου ζώουσι, καὶ εἴ ποτε χάρμα φέρονται·
ἀμφεχύθη δέ οἱ, εὖτε πατὴρ περὶ παιδὶ χυθείη,
ὅς τε, θεῶν ἰότητι πολὺν χρόνον ἄλγε' ἀνατλὰς,
ἔλθοι ἑὸν ποτὶ δῶμα, φίλῳ μέγα χάρμα τοκῆϊ·
ὣς ὁ Νεοπτολέμοιο κάρη καὶ στήθεα κῦσεν
ἀμφιχυθείς· καὶ τοῖον, ἀγαζόμενος, φάτο μῦθον·
Χαῖρέ μοι, ὦ τέκος ἐσθλὸν Ἀχιλλέος, ὅν ποτ' ἔγωγε,
τυτθὸν ἐόντ', ἀτίταλλον ἐν ἀγκοίνῃσιν ἐμῇσι
προφρονέως· ὁ δ' ἄρ' ὦκα, θεῶν ἐρικυδεῖ βουλῇ,
ἔρνος ὅπως ἐριθηλὲς, ἀέξετο· καί οἱ ἔγωγε
γήθεον εἰσορόων ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν·
ἔσκε δέ μοι μέγ' ὄνειαρ· ἶσον δέ ἑ παιδὶ τίεσκον
τηλυγέτῳ· ὁ δ' ἄρ' ἶσον ἑῷ πατρὶ τίεν ἐμὸν κῆρ·
κείνῳ μὲν γὰρ ἔγωγε πατὴρ, ὁ δ' ἄρ' υἱὸς ἔμοιγε
ἔσκεν, ὅπως φήσασκεν ἰδὼν, ἑνὸς αἵματος ἔμμεν,
εἵνεχ' ὁμοφροσύνης· ἀρετῇ δ' ὅγε φέρτερος ἦεν
πολλὸν, ἐπεὶ μακάρεσσι δέμας καὶ κάρτος ἐῴκει.
τῷ σύγε πάμπαν ἔοικας· ἐγὼ δ' ἄρ κεῖνον ὀΐω
ζωὸν ἔτ' Ἀργείοισι μετέμμεναι· οὗ μ' ἄχος ὀξὺ

ἀμφέχει ἤματα πάντα, λυγρῷ δ' ἐπὶ γήραϊ θυμὸν
τείρομαι· ὡς ὄφελόν με χυτὴ κατὰ γαῖα κέκευθε
κείνου ἔτι ζώοντος· ὃ γὰρ πέλει ἀνέρι κῦδος
κηδεμονῆος ἑοῦ ὑπὸ χείρεσι ταρχυθῆναι.
ἀλλὰ, τέκος, κείνου μὲν ἐγὼ οὐ λήσομαι, ἦτορ
ἀχνύμενος· σὺ δὲ μή τι χαλέπτεο πένθεϊ θυμόν·
ἀλλ' ἄγε Μυρμιδόνεσσι, καὶ ἱπποδάμοισιν Ἀχαιοῖς
τειρομένοις ἐπάμυνε, μέγ' ἀμφ' ἀγαθοῖο τοκῆος
χωόμενος δηΐοισι· κλέος δέ τοι ἔσσεται ἐσθλὸν
Εὐρύπυλον δαμάσαντι, μάχης ἀκόρητον ἐόντα·
τοῦ γὰρ ὑπέρτερος ἐσσὶ, καὶ ἔσσεαι, ὅσσον ἀρείων
σεῖο πατὴρ κείνοιο πέλεν μογεροῖο τοκῆος.
  Ὣς φάμενον προσέειπε πάϊς ξανθοῦ Ἀχιλῆος·
Ὦ γέρον, ἡμετέρην ἀρετὴν ἀνὰ δηϊοτῆτα
Αἶσα διακρινέει κρατερὴ, καὶ ὑπέρβιος Ἄρης.
  Ὣς εἰπὼν, αὐτῆμαρ ἐέλδετο τείχεος ἐκτὸς
σεύεσθ' ἐν τεύχεσσιν ἑοῦ πατρός· ἀλλά μιν ἔσχε
νὺξ, ἥ τ' ἀνθρώποισι λύσιν καμάτοιο φέρουσα
ἔσσυτ' ἀπ' ὠκεανοῖο, καλυψαμένη δέμας ὄρφνῃ.
  Ἀργεῖων δέ μιν υἷες ἴσον κρατερῷ Ἀχιλῆϊ
κύδαινον παρὰ νηυσὶ γεγηθότες· οὕνεκ' ἄρ' αὐτοὺς
θαρσαλέους κατέτευξεν ἰὼν ἐπὶ δῆριν ἑτοίμως·
τοὔνεκά μιν τίεσκον ἀγακλειτοῖς γεράεσσιν,
ἄσπετα δῶρα διδόντες, ἅ τ' ἀνέρι πλοῦτον ὀφέλλει.
οἱ μὲν γὰρ χρυσόν τε, καὶ ἄργυρον, οἱ δὲ γυναῖκας
δμωΐδας, οἱ δ' ἄρα χαλκὸν ἀάσπετον, οἱ δὲ σίδηρον,
ἄλλοι δ' οἶνον ἐρυθρὸν ἐν ἀμφιφορεῦσιν ὄπασσαν,
ἵππους τ' ὠκύποδας, καὶ ἀρήϊα τεύχεα φωτῶν,
φάρεά τ' εὐποίητα, γυναικῶν κάλλιμα ἔργα·

τοῖς ἔπι θυμὸν ἴαινε Νεοπτολέμοιο φίλον κῆρ.
καί ῥ' οἱ μὲν δόρποιο ποτὶ κλισίῃσι μέλοντο,
υἱὸν Ἀχιλλῆος θεοειδέα κυδαίνοντες
ἶσον ἐπουρανίοισιν ἀτειρέσι· τῷ δ' Ἀγαμέμνων,
πόλλ' ἐπικαγχαλόων, τοῖον ποτὶ μῦθον ἔειπεν·
Ἀτρεκέως πάϊς ἐσσὶ θρασύφρονος Αἰακίδαο,
ὦ τέκος, οὕνεκά οἱ κρατερὸν μένος, ἠδὲ καὶ εἶδος,
καὶ μέγεθος, καὶ θάρσος, ἰδὲ φρένας ἔνδον ἔοικας·
τῷ σοι ἐγὼ μέγα θυμὸν ἰαίνομαι· ἦ γὰρ ἔωλπα
σῇσιν ὑπαὶ παλάμῃσι, καὶ ἔγχεϊ, δήϊα φῦλα
καὶ Πριάμοιο πόληα περικλειτὴν ἐναρίξαι,
οὕνεκα πατρὶ ἔοικας· ἐγὼ δ' ἄρα κεῖνον ὀΐω
εἰσοράαν παρὰ νηυσὶν, ὅτε Τρώεσσιν ὁμόκλα,
χωόμενος Πατρόκλοιο δεδουπότος· ἀλλ' ὁ μὲν ἤδη
ἐστὶ σὺν ἀθανάτοισι· σὲ δ' ἐκ μακάρων προέηκε,
σήμερον Ἀργείοισιν ἀπολλυμένοις ἐπαμῦναι.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Εἴθε μιν, ὦ Ἀγάμεμνον, ἔτι ζώοντα κίχανον,
ὄφρα καὶ αὐτὸς ἄθρησεν ἑὸν θυμήρεα παῖδα,
οὔτι καταισχύνοντα βίην πατρὸς, ὥσπερ ὀΐω
ἔσσεσθ', ἤν με σάωσιν ἀκηδέες Οὐρανίωνες.
Ὣς ἄρ ἔφη, πινυτῇσιν ἀρηράμενος φρεσὶ θυμόν·
λαοὶ δ' ἀμφιέποντες ἐθάμβεον ἀνέρα δῖον.
ἀλλ' ὅτε δὴ δόρποιο καὶ εἰλαπίνης κορέσαντο,
δὴ τότ' ἄρ' Αἰακίδαο θρασύφρονος ὄβριμος υἱὸς
ἀνστὰς ἐκ δόρποιο, ποτὶ κλισίην ἀφίκανεν
πατρὸς ἑοῦ· τὰ δὲ πολλὰ δαϊκταμένων ἡρώων
ἔντεά οἱ παρέκειντ'· αἱ δ' ἀμφί μιν ἄλλοθεν ἄλλαι
χῆραι ληϊάδες κλισίην ἐπιπορσύνεσκον,

ὡς ζώοντος ἄνακτος. ὁ δ᾽ ὡς ἴδεν ἔντεα Τρώων,
καὶ δμωὰς, στονάχησεν· ἔρως δέ μιν εἷλε τοκῆος.
ὡς δ᾽ ὅτ᾽ ἀνὰ δρυμὰ πυκνὰ, καὶ ἄγκεα ῥωπήεντα,
σμερδαλέοιο λέοντος, ὑπ᾽ ἀγρευτῆρσι δαμέντος,
σκύμνος ἐς ἄντρον ἵκηται ἐΰσκιον, ἀμφὶ δὲ πάντη
ταρφέα παπταίνει κενεὸν σπέος, ἀθρόα δ᾽ αὖτε
ὀστέα δερκόμενος κταμένων πάρος οὐκ ὀλίγων περ
ἵππων, ἠδὲ βοῶν, μεγάλ᾽ ἄχνυται ἀμφὶ τοκῆος·
ὣς ἄρα θαρσαλέοιο πάϊς τότε Πηλείδαο
θυμὸν ἐπαχνώθη. δμωαὶ δέ μιν ἀμφ᾽ ἀγάσαντο·
καὶ δ᾽ αὐτὴ Βρισηῒς, ὅτ᾽ ἔδρακεν υἷ᾽ Ἀχιλῆος,
ἄλλοτε μὲν θυμῷ μέγ᾽ ἐγήθεεν, ἄλλοτε δ᾽ αὖτε
ἄχνυτ᾽, Ἀχιλλῆος μεμνημένη· ἐν δέ οἱ ἦτορ
ἀμφασίῃ βεβόλητο κατὰ φρένας, ὡς ἐτεόν περ
αὐτοῦ ἔτι ζώοντος ἀταρβέος Αἰακίδαο.

Τρῶες δ᾽ αὖτ᾽ ἀπάνευθε γεγηθότες, ὄβριμον ἄνδρα
Εὐρύπυλον κύδαινον ἐνὶ κλισίῃσι καὶ αὐτοὶ,
ὁππόσον Ἕκτορα δῖον, ὅτ᾽ Ἀργείους ἐδάϊξε,
ῥυόμενος πτολίεθρον ἑὸν καὶ κτῆσιν ἅπασαν.
ἀλλ᾽ ὅτε δὴ μερόπεσσιν ἐπὶ γλυκὺς ἤλυθεν ὕπνος,
δὴ τότε Τρώϊοι υἷες, ἰδ᾽ Ἀργεῖοι μενεχάρμαι,
νόσφι φυλακτήρων, εὗδον, βεβαρηότες ὕπνῳ.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Η.

Ἦμος δ' ἠελίοιο φάος περικίδναται αἶαν
ἐκ περάτων ἀνιόντος, ὅθι σπέος Ἠριγενείης,
δὴ τότε που Τρῶες, καὶ Ἀχαιῶν ὄβριμοι υἷες,
θωρήσσονθ' ἑκάτερθεν, ἐπειγόμενοι περὶ δῆριν.
τοὺς μὲν δὴ πάϊς ἐσθλὸς Ἀχιλλέος ὀτρύνεσκεν
ἀντιάαν Τρώεσσιν, ἀταρβέα θυμὸν ἔχοντας·
τοὺς δ' ἄρα Τηλεφίδαο μέγα σθένος· ἦ γὰρ ἐώλπει
τεῖχος μὲν χαμάδις βαλέειν, νῆάς τ' ἀμαθύνειν
ἐν πυρὶ λευγαλέῳ, λαοὺς δ' ὑπὸ χερσὶ δαΐξαι.
ἀλλά οἱ ἐλπωρὴ μὲν ἔην ἐναλίγκιος αὔρῃ
μαψιδίῃ· Κῆρες δὲ, μάλα σχεδὸν ἑστηκυῖαι,
πολλὸν καγχαλάασκον ἐτώσια μητιόωντι.
καὶ τότε Μυρμιδόνεσσιν Ἀχιλλέος ἄτρομος υἱὸς
θαρσαλέον φάτο μῦθον, ἐποτρύνων πονέεσθαι·
Κέκλυτέ μευ θεράποντες, ἀρήϊον ἐν φρεσὶ θυμὸν
θέντες, ἵν' Ἀργείοισιν ἄκος πολέμου ἀλεγεινοῦ,
δυσμενέεσσι δὲ πῆμα γενώμεθα· μηδέ τις ἡμέων
ταρβείτω· κρατερὴ γὰρ ἄδην ἐκ θάρσεος ἀλκὴ
γίγνεται ἀνδρώποισι· δέος δὲ βίην ἀμαθύνει,

καὶ νόον. ἀλλ᾽ ἄγε πάντες ἐς ἄρεα καρτύνεσθε,
ὄφρα μὴ ἀμπνεύσῃ Τρώων στρατὸς, ἀλλ᾽ Ἀχιλῆα
φαίη ἔτι ζώοντα μετέμμεναι Ἀργείοισιν.
Ὣς εἰπὼν, ὤμοισι πατρώϊα δύσατο τεύχη
πάντοθε μαρμαίροντα· Θέτις δ᾽ ἠγάλλετο θυμῷ,
ἐξ ἁλὸς εἰσορόωσα μέγα σθένος υἱωνοῖο.
καί ῥα θοῶς οἴμησε πρὸ τείχεος αἰπεινοῖο,
ἐμβεβαὼς ἵπποισιν ἑοῦ πατρὸς ἀθανάτοισιν.
οἷος δ᾽ ἐκ περάτων ἀμφαίνεται ὠκεανοῖο
ἠέλιος, θηητὸν ἐπὶ χθόνα πῦρ ἀμαρύσσων,
πῦρ, ὅτε οἱ πώλοισι καὶ ἅρματι συμφέρετ᾽ ἀστὴρ
Σείριος, ὅς τε βροτοῖσι φέρει πολυκηδέα νοῦσον·
τοῖος ἐπὶ Τρώων στρατὸν ἤϊεν ὄβριμος ἥρως,
υἱὸς Ἀχιλλῆος· φόρεον δέ μιν ἄμβροτοι ἵπποι,
τούς οἱ, ἐελδομένῳ νηῶν ἄπο λαὸν ἐλάσσαι,
ὤπασεν Αὐτομέδων· ὃς γὰρ σφέας ἡνιόχευεν·
ἵπποι δ᾽ αὖτ᾽ ἐχάρησαν, ἑὸν φορέοντες ἄνακτα
εἴκελον Αἰακίδῃ· τῶν δ᾽ ἄφθιτον ἦτορ ἐώλπει,
ἔμμεναι ἀνέρα κεῖνον Ἀχιλλέος οὔτι χερείω.
ὣς δὲ καὶ Ἀργεῖοι μέγα καγχαλόωντες ἄγερθεν
ἀμφὶ Νεοπτολέμοιο βίην, ἄμοτον μεμαῶτες,
λευγαλέοις σφήκεσσιν ἐοικότες, οἵτε κλονήσει
κηραμοῦ ἐκποτέονται, ἐελδόμενοι χρόα θείνειν
ἀνδρόμεον, πάντες δὲ περὶ στένος ὁρμαίνοντες,
τεύχουσιν μέγα πῆμα παρεσσυμένοισι βροτοῖσιν·
ὣς οἵγ᾽ ἐκ νηῶν καὶ τείχεος ἐξεχέοντο
μαιμώωντες Ἄρηϊ· πολὺς δ᾽ ἐστείνετο χῶρος·
πᾶν πεδίον δ᾽ ἀπάνευθεν ἐλάμπετο τεύχεσι φωτῶν,
ἠελίου καθύπερθεν ὑπ᾽ αἰθέρι μαρμαίροντος·

οἷον δὴ νέφος εἶσι δι' ἠέρος ἀπλήτοιο,
πνοιῇσιν μεγάλῃσιν ἐλαυνόμενον Βορέαο,
ἦμος δὴ νιφετός τε πέλει, καὶ χείματος ὥρη
ἀργαλέη, πάντη δὲ περιστέφει οὐρανὸν ὄρφνη·
ὣς τῶν πλῆθετο γαῖα συνερχομένων ἑκάτερθεν
νηῶν βαιὸν ἄπωθε· κόνις δ' εἰς οὐρανὸν εὐρὺν
πέπτατ' ἀειρομένη· κανάχιζε δὲ τεύχεα φωτῶν,
σὺν δὲ καὶ ἅρματα πολλά· διεσσύμενοι δ' ἐπὶ μῶλον
ἵπποι ὑπεχρεμέτιζον· ἐὴ δ' ἐκέλευεν ἕκαστον
ἀλκὴ, ἀνιηρὴν ἐς φύλοπιν ὀτρύνουσα.
Ὡς δ' ὅτε κύματα μακρὰ δύο κλονέουσιν ἀῆται,
σμερδαλέον βρομέοντες ἀνὰ πλατὺ χεῦμα θαλάσσης,
ἔκποθεν ἀλλήλοισι περιῤῥηγνύντες ἀέλλας,
ὁππότε χεῖμ' ἀλεγεινὸν ἀν' εὐρέα βένθεα πόντου
μαίνετ', ἀμαιμακέτη δὲ περιστένει Ἀμφιτρίτη
κύμασι λευγαλέοισι, τὰ δ' ἄλλοθεν ἄλλα φέρονται,
οὔρεσιν ἠλιβάτοισιν ἐοικότα, τῶν δ' ἀλεγεινὴ
ὀρνυμένων ἑκάτερθε πέλει κατὰ πόντον ἰωή·
ὣς οἵγ' ἀμφοτέρωθεν ἐπ' ἄρεα συμφορέοντο,
σμερδαλέον μεμαῶτες· Ἔρις δ' ὀρόθυνε καὶ αὐτή·
σὺν δ' ἔβαλον, βροντῇσιν ἐοικότες ἢ στεροπῇσιν,
αἵ τε μέγα κτυπέουσι δι' ἠέρος, ὁππότ' ἀῆται
λάβροι ἐριδμαίνωσι, καὶ ὁππότε λάβρον ἀέντες,
σὺν νέφεα ῥήξωσι Διὸς μέγα χωομένοιο
ἀνδράσιν, οἵ τ' ἐρίθυμον ὑπὲρ Θέμιν ἔργα κάμωνται·
ὣς οἵγ' ἀλλήλοισιν ἐπέχραον· ἔγχεϊ δ' ἔγχος
συμφέρετ', ἀσπίδι δ' ἀσπίς· ἐπ' ἀνέρα δ' ἤϊεν ἀνήρ.
Πρῶτος δ' ὄβριμος υἱὸς ἐϋπτολέμου Ἀχιλῆος
δάμνατ' ἐῢν Μελανῆα, καὶ ἀγλαὸν Ἀλκιδάμαντα,

υἷας Ἀλεξινόμοιο δαΐφρονος, ὅς τ' ἐνὶ κοίλῃ
Καύνῳ ναιετάεσκε, διειδέος ἀγχόθι λίμνης,
Ἴμβρῳ ὑπαὶ νιφόεντι, παραὶ ποσὶ Ταρβήλοιο·
κτεῖνε δὲ Κασσάνδροιο θοὸν ποσὶ παῖδα Μένητα,
ὃν τέκε δῖα Κρέουσα παρὰ προχοῇς ποταμοῖο
Λίνδου ἐϋῤῥείταο, μενεπτολέμων ὅθι Καρῶν
πείρατα, καὶ Λυκίης ἐρικύδεος ἄκρα πέλονται·
εἷλε δ' ἄρ αἰχμητῆρα Μόρυν Φρυγίηθε μολόντα·
τῷ δ' ἄρ' ὁμῶς Πολυνόν τε καὶ Ἱππομέδοντα κατέκτα,
τὸν μὲν ὑπὸ κραδίην, τὸν δὲ κληῖδα τυχήσας·
δάμνατο δ' ἄλλοθεν ἄλλον· ἐπέστενε δ' αἶα νέκυσσι
Τρώων· οἱ δ' ὑπόεικον ἐοικότες αὐαλέοισι
θάμνοις, οὓς ὀλοοῖο πυρὸς κατεδάμνατ' ἀϋτμὴ
ῥηϊδίως, ἐπιόντος ὀπωρινοῦ Βορέαο,
ὣς τοῦ ἐπεσσυμένοιο, κατηρείποντο φάλαγγες.
Αἰνείας δ' ἐδάμασσεν Ἀριστόλοχον μενεχάρμην,
πλήξας χερμαδίῳ κατὰ κραατός· ἐν δ' ἀνέθλασσεν
ὀστέα σὺν πήληκι· λίπεν δ' ἄφαρ ὀστέα θυμός.
Τυδείδης δ' Εὔμαιον ἕλεν θοόν, ὅς ποτ' ἔναιεν
Δάρδανον αἰπήεσσαν, ἵν' Ἀγχίσαο πέλονται
εὐναὶ, ὅπου Κυθέρειαν ἐν ἀγκοίνῃσι δάμασσεν.
Ἔνθ' Ἀγαμέμνων κτεῖνεν ἐῢν Στράτον· οὐδ' ὅγε Θρῄκην
ἵκετ' ἀπὸ πτολέμοιο, φίλης δ' ἑκὰς ἔφθιτο πάτρης.
Μηριόνης δ' ἐδάμασσε Χλέμον Πεισήνορος υἷα,
ἀντιθέου Γλαύκοιο φίλον καὶ πιστὸν ἑταῖρον,
ὅς ῥά τε ναιετάεσκε παρὰ προχοῇς Λιμυροῖο,
καί ῥά μιν ὡς βασιλῆα περικτίονες τίον ἄνδρες,
Γλαύκου ἀποκταμένοιο, καὶ οὐκ ἔτι κοιρανέοντος,

πάντες, ὅσοι Φοίνικος ἕδος περὶ πάγχυ νέμονται,
αἰπύ τε Μασσικύτοιο ῥίον, βωμόν τε Χιμαίρης.
Ἄλλος δ' ἄλλον ἔπεφνε κατὰ μόθον· ἐν δ' ἄρα τοῖσιν
Εὐρύπυλος πολέεσσι κακὰς ἐπὶ κῆρας ἴαλλε
δυσμενέσιν· πρῶτον δὲ μενεπτόλεμον κατέπεφνε
Εὔρυτον, αὐτὰρ ἔπειτα Μενοίτιον αἰολομίτρην,
ἀντιθέους ἑτάρους Ἐλεφήνορος· ἀμφὶ δ' ἄρα σφὶν
Ἅρπαλον, ὅς ῥ' Ὀδυσῆος ἐχέφρονος ἔσκεν ἑταῖρος.
ἀλλ' ὁ μὲν οὖν ἀπάτερθεν ἔχεν πόνον, οὐδ' ἐπαμύνειν
ἔσθενεν ᾧ θεράποντι δεδουπότι· τοῦ δ' ἄρ' ἑταῖρος
Ἄντιφος ὀβριμόθυμος ἀποκταμένοιο χολώθη,
καὶ βάλεν Εὐρυπύλοιο καταντίον· ἀλλά μιν οὔτι
οὔτασεν, οὕνεκά οἱ κρατερὸν δόρυ τυτθὸν ἄπωθεν
ἔμπεσε Μειλανίωνι δαΐφρονι, τόν ποτε μήτηρ
γείνατο πὰρ προχοῇσιν ἐϋῤῥείταο Καΐκου,
Κλειτὴ καλλιπάρῃος, ὑποδμηθεῖσ' Ἐρυλάῳ.
Εὐρύπυλος δ' ἑτάροιο χολωσάμενος κταμένοιο,
Ἀντίφῳ αἶψ' ἐπόρουσεν· ὁ δ' ἔκφυγε ποσσὶ θοοῖσιν
ἐς πληθὺν ἑτάρων· κρατερὸν δέ μιν οὔτι δάμασσεν
ἔγχος Τηλεφίδαο δαΐφρονος, οὕνεκ' ἔμελλεν
ἀργαλέως ὀλέεσθαι ὑπ' ἀνδροφόνοιο Κύκλωπος
ὕστερον· ὣς γάρ που στυγερῇ ἐπιήνδανε Μοίρῃ.
Εὐρύπυλος δ' ἑτέρωθεν ἐπῴχετο· τοῦ δ' ὑπὸ δουρὶ
κιὲν ἐπεσσυμένοιο κατήριπε πουλὺς ὅμιλος.
ἠΰτε δένδρεα μακρὰ, βίῃ δμηθέντα σιδήρου,
οὔρεσιν ἐν λασίοισιν, ἀναπλήσωσι φάραγγας,
κεκλιμέν' ἄλλοθεν ἄλλα κατὰ χθονός· ὣς ἄρ' Ἀχαιοὶ
δάμναντ' Εὐρυπύλοιο δαΐφρονος ἐγχείῃσιν,
μέσφ' ὅτε οἱ κίεν ἄντα μέγα φρονέων ἐνὶ θυμῷ

υἱὸς Ἀχιλλῆος· τὼ δ' ἄμφω δούρατα μακρὰ
ἐν παλάμῃσι τίνασσον, ἐπί σφισι μαιμώωντες.
Εὐρύπυλος δὲ πρῶτος ἀνειρόμενος προσέειπε·
Τίς; πόθεν εἰλήλουθας, ἐναντίον ἄμμι μάχεσθαι;
ἦ σε πρὸς ἄϊδα Κῆρες ἀμείλικτοι φορέουσιν·
οὐ γάρ τίς μ' ὑπάλυξεν ἐν ἀργαλέῃ ὑσμίνῃ·
ἀλλά μοι ὅσσοι ἔναντα, λιλαιόμενοι μαχέσασθαι,
δεῦρο κίον, πάντεσσι φόνον στονόεντ' ἐφέηκα
ἀργαλέως· πάντων δὲ παρὰ Ξάνθοιο ῥέεθρα
ὀστέα τε, σάρκας τε, κύνες διὰ πάντ' ἐδάσαντο.
ἀλλά μοι εἰπὲ, τίς ἐσσὶ, τίνος δ' ἐπαγάλλεαι ἵπποις;
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
τίπτε μ' ἐπισπεύδοντα ποτὶ κλόνον αἱματόεντα,
ἐχθρὸς ἐὼν, ὡσεί τε φίλα φρονέων, ἐρεείνεις
εἰπέμεναι γενεὴν, ἥνπερ μάλα πολλοὶ ἴσασιν;
υἱὸς Ἀχιλλῆος κρατερόφρονος, ὅς τε τοκῆα
σεῖο πάροιθ' ἐφόβησε, βαλὼν περιμήκεϊ δουρί·
καί νύ κέ μιν θανάτοιο κακαὶ περὶ Κῆρες ἔμαρψαν,
εἰ μή οἱ στονόεντα θοῶς ἰήσατ' ὄλεθρον·
ἵπποι δ' οἵ φορέουσιν, ἐμοῦ πατρὸς ἀντιθέοιο,
οὓς τέκεθ' Ἅρπυια, Ζεφύρῳ πάρος εὐνηθεῖσα·
οἵ τε καὶ ἀτρύγετον πέλαγος διὰ ποσσὶ θέουσιν,
ἀκρονύχων ψαύοντες, ἴσον δ' ἀνέμοισι φέρονται.
νῦν δ', ἐπεὶ οὖν γενεὴν ἐδάης ἵππων τε, καὶ αὐτοῦ,
καὶ δόρατος πείρησαι ἀτειρέος ἡμετέροιο
γνώμεναι ἄντα βίην· γενεὴ δέ οἱ ἐν κορυφῇσι
Πηλίου αἰπεινοῖο, τομὴν ὅθι λεῖπε, καὶ εὐνήν.
Ἦ ῥα, καὶ ἐξ ἵππων χαμάδις θόρε κύδιμος ἀνὴρ,
πάλλων ἐγχείην περιμήκετον, ὃς δ' ἑτέρωθεν

χερσὶν ὑπὸ κρατερῇσιν ἀπειρεσίην λάβε πέτρην,
καί ῥα Νεοπτολέμοιο κατ' ἀσπίδος ἧκε φέρεσθαι
χρυσείης· τὸν δ' οὔτι, προσεσσυμένη, στυφέλιξεν,
ἀλλ' ἅτε πρὼν εἱστήκει ἀπείριτος οὔρεϊ μακρῷ,
τόν ῥα διϊπετέων ποταμῶν μένος, οὐδ' ἅμα πάντων,
ἂψ ὦσαι δύναται· ὁ γὰρ ἔμπεδον ἐῤῥίζωται·
ὣς μένεν ἄτρομος υἱὸς Ἀχιλλέος ὀβριμοθύμου.
ἀλλ' οὐδ' ὣς τάρβησε θρασὺ σθένος Εὐρυπύλοιο
ἄσπετον υἷ' Ἀχιλῆος, ἐπεί ῥά μιν ὀτρύνεσκε
θάρσος ἑὸν, καὶ Κῆρες· ὑπὸ κραδίῃσί τε θυμὸς
ἔζεεν ἀμφοτέροισι· περί σφισι δ' αἰόλα τεύχη
ἔβραχεν. οἱ δ' ἅτε θῆρες ἐπήεσαν ἀλλήλοισι
σμερδαλέοι, τοῖσίν τε κατ' οὔρεα δῆρις ἀέξει,
ὁππότε, λευγαλέῳ λιμῷ βεβολημένοι ἦτορ,
ἢ βοὸς, ἢ ἐλάφοιο πέρι κταμένου πονέωνται,
ἄμφω παιφάσσοντες, ἐπικτυπέουσι δὲ βῆσσαι
μαρναμένων· ὣς οἵγε συνήεσαν ἀλλήλοισι,
δῆριν συμφορέοντες ἀμείλιχον· ἀμφὶ δὲ μακραὶ
λαῶν ἀμφοτέρωθεν ἅδην πονέοντο φάλαγγες
ἐς μόθον, ἀργαλέη δὲ περί σφισι δῆρις ὀρώρει·
οἱ δ' ἀνέμων ῥιπῇσιν ἐοικότες αἰψηρῇσι,
σὺν ῥ' ἔβαλον μελίῃσι, μεμαότες αἷμα κεδάσσαι
ἀλλήλων· τοὺς δ' αἰὲν ἐποτρύνεσκεν Ἐνυὼ,
ἐγγύθεν ἱσταμένη· τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά σφεας ἐδάϊζον ἐς ἀσπίδας· ἄλλοτε δ' αὖτε
οὔταζον κνημῖδας, ἰδ' ὑψιλόφους τρυφαλείας·
καί τις καὶ χροὸς ἧψατ', ἐπεὶ πόνος αἰνὸς ἔπειγε
θαρσαλέους ἥρωας. Ἔρις δ' ἐπετέρπετο θυμῷ
κείνους εἰσορόωσα· πολὺς δ' ἐξέῤῥεεν ἱδρὼς

ἀμφοτέρων· οἱ δ' αἰὲν ἐκαρτύνοντο μένοντες·
ἄμφω γὰρ μακάρων ἔσαν αἵματος· οἱ δ' ἀπ' Ὀλύμπου . . .
οἱ μὲν γὰρ κύδαινον Ἀχιλλέος ὄβριμον υἷα,
οἱ δ' αὖτ' Εὐρύπυλον θεοειδέα. τοὶ δ' ἑκάτερθεν
μάρναντ', ἀκμήτοισιν ἐειδόμενοι σκοπέλοισιν
ἠλιβάτων ὀρέων· μέγα δ' ἔβραχον ἀμφοτέρωθεν
θεινόμεναι μελίῃσι τότ' ἀσπίδες. ὀψὲ δὲ μακρὴ
πηλιὰς Εὐρυπύλοιο διήλυθεν ἀνθερεῶνος,
πολλὰ πονησαμένη· τοῦ δ' ἔκχυτο φοίνιον αἷμα
ἐσσυμένως· ψυχὴ δὲ δι' ἕλκεος ἐξεποτήθη
ἐκ μελέων, ὀλοὴ δὲ κατ' ὀφθαλμῶν πέσεν ὄρφνη.
ἤριπε δ' ἐν τεύχεσσι κατὰ χθονὸς, ἠΰτε βλωθρὴ
ἢ πίτυς, ἢ ἐλάτη, κρυεροῦ Βορέαο βίηφι
ἐκ ῥιζῶν ἐριποῦσα· τόσην ἐπὶ κάππεσε γαῖαν
Εὐρυπύλοιο δέμας· μέγα δ' ἔβραχε Τρώϊον οὖδας,
καὶ πεδίον· χλοερὴ δὲ θοῶς κατεχεύατο νεκρῷ
ἀχροίη, καὶ καλὸν ἀπημάλδυνεν ἔρευθος.
τῷ δ' ἐπικαγχαλόων, μεγάλ' εὔχετο καρτερὸς ἥρως·
Εὐρύπυλ', ἦπου ἔφης Δαναῶν νέας ἠδὲ καὶ αὐτοὺς
δῃώσειν, καὶ πάντας ὀϊζυρῶς ἀπολέσσειν
ἡμέας· ἀλλά σοι οὔτι θεοὶ τελέεσκον ἐέλδωρ,
ἀλλ' ὑπ' ἐμοί σ' ἐδάμασσε, καὶ ἀκάματόν περ ἐόντα,
πατρὸς ἐμοῖο μέγ' ἔγχος, ὅπερ βροτὸς οὔτις ἄλυξεν,
ἡμῖν ἄντα μολὼν, οὐδ' εἰ παγχάλκεος ἦεν.
Ἦ ῥα, καὶ ἐκ νέκυος περιμήκετον εἴρυσεν αἰχμὴν
ἐσσυμένως· Τρῶες δὲ μέγ' ἔτρεσαν εἰσορόωντες
ἀνέρα καρτερόθυμον. ὁ δ' αὐτίκα τεύχε' ἀπούρας,
δῶκε θοοῖς ἑτάροισι φέρειν ποτὶ νῆας Ἀχαιῶν·

αὐτὸς δ' εἰς θοὸν ἅρμα θορὼν, καὶ ἀτειρέας ἵππους,
ἤϊεν, οἷός τ' εἶσι δι' αἰθέρος ἀπλήτοιο
ἐκ Διὸς ἀκαμάτοιο σὺν ἀστεροπῇσι κεραυνὸς,
ὅν τε περιτρομέουσι καὶ ἀθάνατοι κατιόντα,
νόσφι Διὸς μεγάλοιο· ὁ δ' ἐσσυμένος ποτὶ γαῖαν,
δένδρεά τε ῥήγνυσι, καὶ οὔρεα παιπαλόεντα·
ὣς ὁ θοῶς Τρώεσσιν ἐπέσσυτο, πῆμα κορύσσων·
δάμνατο δ' ἄλλοθεν ἄλλος, ὅσους κίχον ἄμβροτοι ἵπποι·
πλήθετο δὲ χθονὸς οὖδας, ἄδην δ' ἐρυθαίνετο λύθρῳ.
Ὡς δ' ὅτε μυρία φύλλα κατ' οὔρεος ἐν βήσσῃσι
ταρφέα πεπτηῶτα, χύδην κατὰ γαῖαν ἐρέψῃ·
ὣς Τρώων τότε λαὸς ἀάσπετος ἐν χθονὶ κεῖτο
χερσὶ Νεοπτολέμοιο, καὶ Ἀργείων ἐριθύμων,
ὧν ἄπλετον μετὰ χερσὶν ὑπέῤῥεεν αἷμα κελαινὸν,
αὐτῶν, ἠδ' ἵππων· μάλα δ' ἄντυγες, ἀμφ' ὀχέεσφι
κινύμεναι, δεύοντο περὶ στροφάλιγξιν ἑῇσι.
Καί νύ κε Τρώϊοι υἷες ἔσω πυλέων ἀφίκοντο,
πόρτιες εὖτε λέοντα φοβεύμεναι, ἢ σύες ὄμβρον,
εἰ μὴ Ἄρης ἀλεγεινὸς, ἀρηγέμεναι μενεαίνων
Τρωσὶ φιλοπτολέμοισι, κατήλυθεν Οὐλύμποιο
κρύβδ' ἄλλων μακάρων· φόρεον δέ μιν ἐς μόθον ἵπποι
Αἴθων, καὶ Φλόγιος, Κόναβος δ' ἐπὶ τοῖσι, Φόβος τε·
τοὺς Βορέῃ κελάδοντι τέκε βλοσυρῶπις Ἐριννὺς,
πῦρ ὀλοὸν πνείοντας· ὑπέστενε δ' αἰόλος αἰθὴρ
ἐσσυμένων ποτὶ δῆριν. ὁ δ' ὀτραλέως ἀφίκανεν
ἐς Τροίην· ὑπὸ δ' αἶα μέγ' ἔκτυπε, θεσπεσίοισιν
ἵππων ἀμφὶ πόδεσσι. μολὼν δ' ἄγχιστα κυδοιμοῦ,
πῆλε δόρυ βριαρόν· μέγα δ' ἴαχε, Τρωσὶ κελεύων

ἀντιάαν δηΐοισι κατὰ κλόνον. οἱ δ' ἀΐοντες
θεσπεσίην ὄπα, πάντες ἐθάμβεον· οὐ γὰρ ἴδοντο
ἄμβροτον ἀθανάτοιο θεοῦ δέμας, οὐδὲ μὲν ἵππους·
ἠέρι γὰρ κεκάλυπτο· νόησε δὲ θέσκελον αὐδὴν,
ἔκποθεν ἀΐσσουσαν ἄδην εἰς οὔατα Τρώων,
ἀντιθέου Ἑλένοιο κλυτὸς νόος· ἐν δ' ἄρα θυμῷ
γήθησεν, καὶ λαὸν ἀπεσσύμενον μέγ' ἄϋτει·
Ἆ δειλοὶ, τί φέβεσθε φιλοπτολέμου Ἀχιλῆος
υἱέα θαρσαλέον; θνητός νύ τίς ἐστι καὶ αὐτός·
οὐδέ οἱ ἶσον Ἄρηϊ πέλει σθένος, ὃς μὲν ἀρήγει
ἧμιν ἐελδομένοισι· βοᾷ δ' ὅγε μακρὰ κελεύων
μάρνασθ' Ἀργείοισι κατὰ κλόνον. ἀλλ' ἄγε θυμῷ
τλῆτε φίλοι, καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε·
οὐ γὰρ ἀμείνονα Τρωσὶν ὀΐομαι ἄλλον ἱκέσθαι
ἀλκτῆρα πτολέμοιο· τί γὰρ ποτὶ δῆριν Ἄρηος
λώϊον, εὖτε βροτοῖσι κορυσσομένοις ἐπαμύνει,
ὡς νῦν ἧμιν ἵκανεν ἐπίῤῥοθος; ἀλλὰ καὶ αὐτοὶ
μνήσασθε πτολέμοιο, δέος δ' ἀπὸ νόσφι βάλεσθε.
Ὣς φάτο· τοὶ δ' ἵσταντο καταντίον Ἀργείοισιν.
ἠΰτ' ἐνὶ ξυλόχοισι κύνες κατέναντα λύκοιο,
φεύγοντες τοπάρυιθε, βίην τρέψωσι μάχεσθαι,
ταρφέα μηλονόμοιο παροτρύνοντος ἔπεσσιν·
ὣς ἄρα Τρώϊοι υἷες ἀνὰ μόθον αἰνὸν Ἄρηος
δείματος ἐκτὸς ἔσαν· κατὰ δ' ἀντίον ἀνέρος ἀνὴρ
μάρνατο θαρσαλέως. περὶ δ' ἔκτυπεν ἔντεα φωτῶν
θεινόμενα ξιφέεσσι, καὶ ἔγχεσι, καὶ βελέεσσιν·
αἰχμαὶ δ' ἐς χρόα δῦνον· ἐδεύετο δ' αἵματι πολλῷ
δεινὸς Ἄρης. ὀλέκοντο δ' ἀνὰ μόθον ἄλλος ἐπ' ἄλλῳ,
μαρναμένων ἑκάτερθε· μάχη δ' ἔχεν ἶσα τάλαντα.

Ὡς δ' ὁπότ' αἰζηοὶ μεγάλης ἀνὰ γουνὸν ἀλωῆς
ὄρχατον ἀμπελόεντα διατμήξωσι σιδήρῳ
σπερχόμενοι, τῶν δ' ἶσον ἀέξεται εἰς ἔριν ἔργον,
οὕνεκ' ἴσοι τελέθουσιν ὁμηλικίῃ τε βίῃ τε·
ὣς τῶν ἀμφοτέρωθε μάχης ἀλεγεινὰ τάλαντα
ἶσα πέλεν. Τρῶες γὰρ ὑπέρβιον ἐνθέμενοι κῆρ
μίμνον, ἀταρβήτοιο πεποιθότες Ἄρεος ἀλκῇ·
Ἀργεῖοι δ' ἄρα παιδὶ μενεπτολέμου Ἀχιλῆος.
κτεῖνον δ' ἀλλήλους. ὀλοὴ δ' ἀνὰ μέσσον Ἐνυὼ
στρωφᾶτ', ἀλγινόεντι λύθρῳ πεπαλαγμένη ὤμους,
καὶ χέρας· ἐκ δέ οἱ αἰνὸς ἀπὸ μελέων ῥέεν ἱδρώς·
οὐδ' ἑτέροισιν ἄμυνεν, ἴσῃ δ' ἐπετέρπετο χάρμῃ,
ἀζομένη φρεσὶν ᾗσι Θέτιν καὶ δῖον Ἄρηα.
Ἔνθα Νεοπτόλεμος τηλέκλειτον Περιμήδεα
δάμναθ', ὃς οἰκί' ἔναιε παρὰ Σμινθήϊον ἄλσος·
τῷ δ' ἔπι Κέστρον ἔπεφνε, μενεπτόλεμόν τε Φάληρον,
καὶ κρατερὸν Περίλαον, ἐϋμμελίην τε Μενάλκην,
ὃν τέκετ' Ἰφιάνασσα παρὰ ζάθεον πόδα Κίλλης
τεχνήεντι Μέδοντι, δαήμονι τεκτοσυνάων·
ἀλλ' ὁ μὲν οἴκοι ἔμιμνε φίλῃ ἐνὶ πατρίδι γαίῃ·
παιδὸς δ' οὐκ ἀπόνητο· πόνον δέ οἱ, ἔργα τε πάντα,
χηρωσταὶ μετόπισθεν, ἀποφθιμένοιο, δάσαντο.
Δηΐφοβος δὲ Λυκῶνα, μενεπτόλεμόν γε, κατέκτα,
τυτθὸν ὑπὲρ βουβῶνα τυχών· περὶ δ' ἔγχεϊ μακρῷ
ἔγκατα πάντ' ἐχύθησαν· ὅλη δ' ἐξέσσυτο νηδύς.
Αἰνείας δὲ Δάμαντα κατέκτανεν, ὅς τε πάροιθεν
Αὐλίδα ναιετάεσκε, συνέσπετο δ' Ἀρκεσιλάῳ
ἐς Τροίην· ἀλλ' οὔτι φίλην πάλιν ἔδρακεν αἶαν.
Εὐρύαλος δ' ἐδάμασσε βαλὼν ἀλεγεινὸν ἄκοντι

Ἀστραῖον· τοῦ δ' αἶψα διὰ στέρνοιο ποτήθη
αἰχμὴ ἀνιηρὴ, στομάχου δ' ἀπέκερσε κελεύθους,
ἀνέρι κῆρα φέρουσα· μίγη δέ οἱ εἴδατα λύθρῳ.
Τοῦ δ' ἄρα βαιὸν ἄπωθεν, ἕλεν μεγάθυμος Ἀγήνωρ
Ἱππομένην, Τεύκροιο δαΐφρονος ἐσθλὸν ἑταῖρον,
τύψας ἐς κληῗδα θοῶς· σὺν δ' αἵματι θυμὸς
ἔκθορεν ἐκ μελέων· ὀλοὴ δέ μιν ἀμφεχύθη νύξ.
Τεύκρῳ δ' ἔμπεσε πένθος, ἀποκταμένου ἑτάροιο,
καὶ βάλεν ὠκὺν ὀϊστὸν, Ἀγήνορος ἄντα τανύσσας·
ἀλλά οἱ οὔτι τύχησεν, ἀλευαμένου μάλα τυτθόν·
ἔμπεσε δ' ἐγγὺς ἐόντι δαΐφρονι Δηϊοφόντῃ
λαιὸν ἐς ὀφθαλμὸν, διὰ δ' οὔατος ἐξεπέρησεν
δεξιτεροῦ, γλήνην δὲ διέτμαγεν· οὕνεκα Μοῖραι
ἀργαλέον βέλος ὦσαν ὅπῃ θέλον. ὃς δ' ἔτι ποσσὶν
ὀρθὸς ἀνεσκαίρεσκε· βαλὼν δ' ὅγε δεύτερον ἰὸν,
λαιμῷ ἐπεῤῥοίβδησε· διέθρισε δ' αὐχένος ἶνας
ἀντικρὺς ἀΐξας· τὸν δ' ἀργαλέη κίχε μοῖρα.
Ἄλλος δ' ἄλλῳ τεῦχε μόρον· κεχάροντο δὲ Κῆρες,
καὶ Μόρος· ἀλγινόεσσα δ' Ἔρις μέγα μαιμώωσα,
ἤϋσεν μάλα μακρὸν· Ἄρης δέ οἱ ἀντεβόησε
σμερδαλέον, Τρώεσσι δ' ἐνέπνευσεν μέγα θάρσος,
Ἀργείοισι δὲ φύζαν· ἄφαρ δ' ἐλέλιξε φάλαγγας.
ἀλλ' οὐχ υἷα φόβησεν Ἀχιλλέος· ἀλλ' ὅγε μίμνων,
μάρνατο θαρσαλέως, ἐπὶ δ' ἔκτανεν ἄλλον ἐπ' ἄλλῳ.
ὡς δ' ὅτε τις μυίῃσι, περὶ γλάγος ἐρχομένῃσι,
χεῖρα περιῤῥήσσῃ κοῦρος νέος, αἱ δ' ὑπὸ πληγῇ
θᾶττον δαμνάμεναι, σχεδὸν ἀθρόαι ἄλλοθεν ἄλλαι
θυμὸν ἀποπνείουσι, πάϊς δ' ἐπιτέρπεται ἔργῳ·

ὣς ἄρα φαίδιμος υἱὸς ἀμειλίκτου Ἀχιλῆος
γήθεεν ἀμφὶ νέκυσσι, καὶ οὐκ ἀλέγιζεν Ἄρηος
Τρῶας ἐποτρύνοντος· ἐτίνυτο δ' ἄλλοθεν ἄλλους,
λαὸν ἐπαΐσσοντας· ὅπως δ' ἀνέμοιο θύελλας
μίμνη ἐπεσσυμένας ὄρεος μεγάλοιο κολώνη,
ὣς ἄρα μίμνεν ἄτρεστος. Ἄρης δέ οἱ ἐμμεμαῶτι
χώετο, καί οἱ ἔμελλεν ἐναντία δηριάασθαι
αὐτός, ἀποῤῥίψας ἱερὸν νέφος, εἰ μὴ Ἀθήνη
ἔκποθεν Οὐλύμποιο θόρεν ποτὶ δάσκιον Ἴδην·
ἔτρεμε δὲ χθὼν δῖα, καὶ ἠχήεντα ῥέεθρα
Ξάνθου· τόσσον ἔδεισε· δέος δ' ἀμφέκλασε θυμὸν
Νυμφάων· φοβέοντο δ' ὑπὲρ Πριάμοιο πόληος·
τεύχεσι δ' ἀμβροσίοισι πέρι στεροπαὶ ποτέοντο·
σμερδαλέοι δὲ δράκοντες ἀπ' ἀσπίδος ἀκαμάτοιο
πῦρ ἄμοτον πνείεσκον· ἄνω δ' ἔψαυε νέφεσσι
θεσπεσίη τρυφάλεια· θοῶς δ' ἤμελλεν Ἄρηϊ
μάρνασθ' ἐσσυμένως, εἰ μὴ Διὸς ἠΰ νόημα
ἀμφοτέρους ἐφόβησεν, ἀπ' αἰθέρος αἰπεινοῖο
βροντήσας ἀλεγεινόν. Ἄρης δ' ἀπεχάζετο χάρμης,
δὴ γάρ οἱ μεγάλοιο Διὸς διεφαίνετο θυμός·
ἵκετο δ' ἐς Θρήκην δυσχείμερον, οὐδ' ἔτι Τρώων
μέμβλετό οἱ κατὰ θυμὸν ὑπέρβιον. οὐδὲ μὲν ἐσθλὴ
Παλλὰς ἐνὶ πεδίῳ Τρώων μένεν, ἀλλὰ καὶ αὐτὴ
ἷξεν Ἀθηναίων ἱερὸν πέδον. οὐδ' ἔτι χάρμης
μνώοντ' οὐλομένης, δεύοντο δὲ Τρώϊοι υἷες
ἀλκῆς· Ἀργεῖοι δὲ μέγ' ἱέμενοι πολέμοιο,
χαζομένοισιν ἕποντο κατ' ἴχνιον, ἠΰτ' ἀῆται
νήεσιν, ἐσσυμένης ἅμα λαίφεσιν εἰς ἁλὸς οἶδμα,
ὄβριμον ἢ θάμνοισι πυρὸς μένος, ἢ κεμάδεσσιν

ὀτρηροὶ κατ' ὄρεσφι κύνες λελιημένοι ἄγρης·
ὣς Δαναοὶ δηΐοισιν ἐπήϊον, οὕνεκ' ἄρ' αὐτοὺς
υἱὸς Ἀχιλλῆος μεγάλῳ δορὶ θαρσύνεσκε,
κτείνων ὅν κε κίχησε κατὰ κλόνον· οἱ δ' ὑπὸ φύζαν
χασσάμενοι, κατέδυσαν ἐς ὑψίπυλον πτολίεθρον.
Ἀργεῖοι δ' ἄρα τυτθὸν ἀνέπνευσαν πολέμοιο,
ἔλσαντες Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων,
ἄρνας ὅπως σταθμοῖσιν ἐπ' οἰοπόλοισι νομῆες.
ὡς δ' ὁπότ' ἀμπνείωσι βόες μέγα κεκμηῶτες,
ἄχθος ἀνειρύσσαντες ἄνω ποτὶ δύσβατον ἄκρην,
πυκνὸν ἀνασθμαίνοντες ὑπὸ ζυγόν· ὣς ἄρ' Ἀχαιοὶ
ἔμπνεον ἐν τεύχεσσι κεκμηκότες. ἀμφὶ δὲ πύργους
μάρνασθαι μεμαῶτες, ἐκυκλώσαντο πόληα·
οἱ δ' ἄρα ᾗσι πύλῃσιν ἐπειρύσσαντες ὀχῆας,
ἐν τεύχεσσιν ἔμιμνον ἐπεσσυμένων μένος ἀνδρῶν.
ὡς δ' ὅτε μηλοβοτῆρες ἐνὶ σταθμοῖσι μένωσι
λαίλαπα κυανέην, ὅτε χείματος ἦμαρ ἵκηται
λάβρον ὁμοῦ στεροπῇσι, καὶ ὕδατι, καὶ νεφέεσσι
ταρφέσιν, οἱ δὲ μάλ' οὔτι λιλαιόμενοί περ ἱκέσθαι,
ἐς νομὸν ἀΐσσουσιν, ἄχρις μέγα λωφήσειε
χεῖμα, καὶ εὐρύποροι ποταμοὶ μεγάλα βρομέοντες·
ὣς οἵγ' ἐν τείχεσσι μένον τρομέοντες ὁμοκλὴν
δυσμενέων· λαοὶ δὲ θοῶς ἐπέχυντο πόληϊ.
ὡς δ' ὁπότε ψῆρες, τανυσίπεροι, ἠὲ κολοιοὶ,
καρπῷ ἐλαϊνέῳ θαμέες περὶ πάγχυ πέσωσι,
βρώμης ἱέμενοι θυμηδέος, οὐδ' ἄρα τούς γε
αἰζηοὶ βυόωντες ἀποτρωπῶσι φέβεσθαι,
πρὶν φαγέειν, λιμὸς γὰρ ἀναιδέα θυμὸν ἀέξει·
ὣς Δαναοὶ Πριάμοιο τότ' ἀμφεχέοντο πόληϊ

ὄβριμοι· ἐν δὲ πύλῃσι πέσον, μεμαῶτες ἐρύσσαι
ἔργον ἀπειρέσιον κρατερόφρονος Ἐννοσιγαίου.
Τρῶες δ' οὐ λήθοντο μάχης, μάλα περ δεδιῶτες,
ἀλλὰ καὶ ὥς, πύργοισιν ἐφεστῶτες, πονέοντο
νωλεμέως· ἰοὶ δὲ πολυκμήτων ἀπὸ τειχῶν
θρῶσκον ὁμῶς λάεσσι, καὶ αἰγανέῃσι θοῇσι
δυσμενέων ἐς ὅμιλον, ἐπεί σφισι τλήμονα Φοῖβος
ἧκε βίην· αἰεὶ γάρ οἱ ἤθελε θυμὸς ἀμύνειν
Τρωσὶν ἐϋπτολέμοισι, καὶ Ἕκτορος οἰχομένοιο.
Ἔνθ' ἄρα Μηριόνης στυγερὸν προέηκε βέλεμνον,
καὶ βάλε Φυλοδάμαντα φίλον κρατεροῖο Πολίτου,
τυτθὸν ὑπὸ γναθμοῖο· πάγη δ' ὑπὸ λαιμὸν ὀϊστός.
κάππεσε δ' αἰγυπιῷ ἐναλίγκιος, ὅν τ' ἀπὸ πέτρης
ἰῷ ἐϋγλώχινι βαλὼν αἰζηὸς ὀλέσσῃ,
ὣς ὁ θοῶς πύργοιο κατήριπεν αἰπεινοῖο·
γυῖα δέ οἱ λίπε θυμός· ἐπέβραχε δ' ἔντεα νεκροῦ.
τῷ δ' ἐπικαγχαλόων υἱὸς κρατεροῖο Μόλοιο,
ἄλλον ἐφῆκεν ὀϊστὸν, ἐελδόμενος μέγα θυμῷ
υἷα βαλεῖν Πριάμοιο πολυτλήτοιο Πολίτην·
ἀλλ' ὁ μὲν αἶψ' ἀλέεινε, παρακλίνας ἑτέρωθεν
ὃν δέμας, οὐδέ οἱ ἰὸς ἐπὶ χρόα καλὸν ἴαψεν.
ὡς δ' ὅθ' ἁλὸς κατὰ πόντον ἐπειγομένης νεὸς οὔρῳ,
ναύτης παιπαλόεσσαν ἰδὼν ἐνὶ χεύματι πέτρην,
νῆα παρατρέψῃ, λελιημένος ἐξυπαλύξαι,
χειρὶ παρακλίνας οἰήϊον, ᾗχί ἑ θυμὸς
ὀτρύνει, τυτθὴ δὲ βίη μέγα πῆμ' ἀπερύκει·
ὣς ἄρ' ὅγε, προϊδὼν ὀλοὸν βέλος, ἔκφυγε πότμον.
Οἱ δ' αἰεὶ μάρναντο· λύθρῳ δ' ἐρυθαίνετο τείχη,
πύργοι θ' ὑψηλοὶ καὶ ἐπάλξιες, ᾗχί τε Τρῶες

ἰοῖσι κτείνοντο πολυσθενέων ὑπ' Ἀχαιῶν.
οὔτι μὲν οἵγ' ἀπάνευθε πόνων ἔσαν, ἀλλ' ἄρα καὶ τῶν
πολλοὶ γαῖαν ἔρευθον· ὀρώρει δ' αἰπὺς ὄλεθρος,
βαλλομένων ἑκάτερθε. λυγρὴ δ' ἐπετέρπετ' Ἐνυὼ
δῆριν ἐπικλονέουσα, κασιγνήτη Πολέμοιο·
καί νύ κε δὴ ῥήξαντο πύλας, καὶ τείχεα Τροίης
Ἀργεῖοι, μάλα γάρ σφιν ἀάσπετον ἔπλετο κάρτος,
εἰ μὴ ἄρ' αἶψ' ἐβόησεν ἀγακλειτὸς Γανυμήδης,
οὐρανοῦ ἐκκατιδών· μάλα γὰρ περιδείδιε πάτρῃ·
Ζεῦ πάτερ, εἰ ἐτεόν γε τεῆς ἐξ εἰμὶ γενέθλης,
σῇσι δ' ὑπ' ἐννεσίῃσι λιπὼν ἐρικυδέα πάτρην,
εἰμὶ μετ' ἀθανάτοισι, πέλει δέ μοι ἄμβροτος αἰών·
τῷ μευ νῦν ἐσάκουσον, ἀκηχεμένου μέγα θυμῷ.
οὐ γὰρ τλήσομαι ἄστυ καταιθόμενον προσιδέσθαι,
οὐδ' ἄρ' ἀπολλυμένην γενεὴν ἐν δηϊοτῆτι
λευγαλέῃ, τῆς οὔτι χερειότερον πέλει ἄλγος.
σοὶ δὲ καὶ εἰ μέμονε κραδίῃ τάδε μηχανάασθαι,
ἔρξον ἐμεῦ ἀπὸ νόσφιν. ἐλαφρότερον δέ μοι ἄλγος
ἔσσεται, ἢν μὴ ἐγώγε μετ' ὄμμασιν οἷσιν ἴδωμαι·
κεῖνο γὰρ οἴκτιστον, καὶ κύντατον, ὁππότε πάτρην
δυσμενέων παλάμῃσιν ἐρειπομένην τις ἴδηται.
Ἦ ῥα, μέγα στενάχων Γανυμήδεος ἀγλαὸν ἦτορ·
καὶ τότ' ἄρα Ζεὺς αὐτὸς ἀπειρεσίοις νεφέεσσι
νωλεμέως ἐκάλυψε κλυτὴν Πριάμοιο πόληα·
ἠχλύνθη δὲ μάχη φθισίμβροτος, οὐδέ τις αὐτῶν
ἐξιδέειν ἐπὶ τεῖχος ἔτ' ἔσθενεν, ἧχι τέτυκτο·
ταρφέσι γὰρ νεφέεσσι διηνεκέως κεκάλυπτο·
ἀμφὶ δ' ἄρα βρονταί τε, καὶ ἀστεροπαὶ κτυπέοντο
οὐρανόθεν· Δαναοὶ δὲ Διὸς κτύπον εἰσαΐοντες,

θάμβεον· ἐν δ' ἄρα τοῖσι μέγ' ἴαχε Νηλέος υἱός·
Ὦ κλυτοὶ Ἀργείων σημάντορες, οὐκ ἔτι νῶϊν
ἔσσεται ἔμπεδα γυῖα, Διὸς μέγα θαρσαλέοισι
Τρωσὶν ἀμύνοντος· μάλα γὰρ μέγα πῆμα κυλίνδει
ἡμῖν· ἀλλ' ἄγε θᾶττον ἑὰς ἐπὶ νῆας ἰόντες,
παυσώμεσθα πόνοιο, καὶ ἀργαλέοιο κυδοιμοῦ,
μὴ δὴ πάντας ἐνιπρήσῃ μάλα περ μενεαίνων.
τοῖσιν μὲν τεράεσσι πιθώμεθα· τῷ γὰρ ἔοικεν
πάντας ἐπιπείθεσθαι, ἐπεὶ μάλα φέρτατός ἐστιν
ἰφθίμων τε θεῶν, ὀλιγασθενέων τ' ἀνθρώπων.
καὶ γὰρ Τιτήνεσσιν ὑπερφιάλοισι χολωθεὶς,
οὐρανόθεν κατέχευε πυρὸς μένος· ἡ δ' ὑπένερθεν
καίετο πάντοθε γαῖα· καὶ ὠκεανοῦ πλατὺ χεῦμα
ἔζεεν ἐκ βυσσοῖο, καὶ ἐς πέρατ' ἄχρις ἱκέσθαι·
καὶ ποταμῶν τέρσοντο ῥοαὶ μάλα μακρὰ ῥεόντων·
δάμνατο δ' ὁππόσα φῦλα φερέσβιος ἔτρεφε γαῖα,
ἠδ' ὅσα πόντος ἔφερβεν ἀπείριτος, ἠδ' ὁπόσ' ὕδωρ
ἀενάων ποταμῶν· ἐπὶ δέ σφισιν ἄσπετος αἰθὴρ
τέφρῃ ὑπεκρύφθη καὶ λιγνύϊ· τείρετο δὲ χθών.
τοὔνεκ' ἐγὼ δείδοικα Διὸς μένος ἤματι τῷδε.
ἀλλ' ἴομεν ποτὶ νῆας, ἐπεὶ Τρώεσσιν ἀρήγει
σήμερον· αὐτὰρ ἔπειτα καὶ ἡμῖν κῦδος ὀρέξει·
ἄλλοτε γάρ τε φίλη πέλει ἠὼς, ἄλλοτε δ' ἐχθρή·
καὶ δ' οὔπω τοι μοῖρα διαπραθέειν κλυτὸν ἄστυ,
εἰ ἐτεὸν Κάλχαντος ἐτήτυμος ἔπλετο μῦθος,
τόν ῥα πάρος κατέλεξεν ὁμηγερέεσσιν Ἀχαιοῖς,
δῃῶσαι Πριάμοιο πόλιν δεκάτῳ ἐνιαυτῷ.
Ὣς φάτο· τοὶ δ' ἀπάνευθε περικλυτὸν ἄστυ λιπόντες,

χάσσαντ᾽ ἐκ πολέμοιο, Διὸς τρομέοντες ὁμοκλήν·
ἀνέρι γὰρ πεπίθοντο παλαιῶν ἵστορι μύθων.
ἀλλ᾽ οὐδ᾽ ὣς ἀμέλησαν ἀποκταμένων ἐνὶ χάρμῃ·
ἀλλὰ σφέας τάρχυσαν, ἀπὸ πτολέμου ἐρύσαντες.
οὐ γὰρ δὴ κείνους νέφος ἄμφεχεν, ἀλλὰ πόληα
ὑψηλὴν, καὶ τεῖχος ἀνέμβατον, ᾧ πέρι πολλοὶ
Τρώων υἷες ἄρηϊ, καὶ Ἀργείων, ἐδάμησαν.
ἐλθόντες δ᾽ ἐπὶ νῆας, ἀρήϊα τεύχε᾽ ἔθεντο,
καί ῥα κόνιν, καὶ ἱδρῶτα, λύθρον τ᾽ ἀποφαιδρύναντο,
κύμασιν ἐμβεβαῶτες ἐϋῤῥόου Ἑλλησπόντου.
Ἠέλιος δ᾽ ἀκάμαντας ὑπὸ ζόφον ἤλασεν ἵππους·
νὺξ δ᾽ ἐχύθη περὶ γαῖαν, ἀπέτραπε δ᾽ ἀνέρας ἔργων·
Ἀργεῖοι δ᾽ Ἀχιλῆος ἐϋπτολέμου θρασὺν υἷα
ἶσα τοκῆϊ τίεσκον· ὁ δ᾽ ἐν κλισίῃσιν ἀνάκτων
δαίνυτο καγχαλόων· κάματος δέ μιν οὔτι βάρυνεν,
οὕνεκά οἱ στονόεντα Θέτις μελεδήματα γυίων
ἐξέλετ᾽, ἀκμήτῳ δ᾽ ἐναλίγκιον εἰσοράασθαι
τεῦξεν. ὁ δ᾽ ἐκ δόρποιο, κορεσσάμενος κρατερὸν κῆρ,
ἐς κλισίην ἀφίκανεν ἑοῦ πατρὸς, ἔνθα οἱ ὕπνος
ἀμφεχύθη· Δαναοὶ δὲ νεῶν προπάροιθεν ἴαυον,
αἰὲν ἀμειβόμενοι φυλακάς· φοβέοντο γὰρ αἰνῶς,
Τρώων μή ποτε λαὸς, ἢ ἀγχεμάχων ἐπικούρων,
νῆας ἐνιπρήσῃ, νόστου δ᾽ ἀπὸ πάντας ἀμέρσῃ.
ὣς δ᾽ αὔτως Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων
ἀμφὶ πύλας καὶ τεῖχος ἀμοιβαδὸν ὑπνώεσκον,
Ἀργείων στονόεσσαν ὑποτρομέοντες ὁμοκλήν.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Θ.

Ἦμος δ' ἤνυτο νυκτὸς ἀπὸ κνέφας, ἔγρετο δ' ἠὼς
ἐκ περάτων, μάρμαιρε δ' ἀπείριτος ἄσπετος αἰθήρ·
δὴ τότ' ἀτειρέες υἷες ἐϋσθενέων Ἀργείων
ἀμπεδίον πάπταινον· ἴδοντο δὲ Ἰλίου ἄκρην
ἀννέφελον, χθιζὸν δὲ τέρας μέγα θαυμάζεσκον.
Τρῶες δ' οὐκ ἔτ' ἔφαντο πρὸ τείχεος αἰπεινοῖο
στήμεναι ἐν πολέμῳ· μάλα γὰρ δέος ἔλλαβε πάντας.
Ἀντήνωρ δ' ἐν τοῖσι, θεῶν ἠρήσατ' ἄνακτι·
Ζεῦ, Ἴδης μεδέων, ἠδ' οὐρανοῦ αἰγλήεντος,
κλῦθί μευ εὐχομένοιο, καὶ ὄβριμον ἄνδρα πόληος
τρέψον ἀφ' ἡμετέρης, ὀλοὰ φρεσὶ μητιόωντα·
εἴθ' ὅγ' Ἀχιλλεύς ἐστι, καὶ οὐ κίε δῶμ' Ἀΐδαο,
εἴτε τις ἄλλος Ἀχαιὸς, ἀλίγκιος ἀνέρι κείνῳ.
λαοὶ γὰρ κατὰ ἄστυ θεηγενέος Πριάμοιο
πολλοὶ ἀποφθινύθουσι, κακοῦ δ' οὐ γίγνετ' ἐρωὴ,
ἀλλὰ φόνος τε, καὶ οἶτος ἐπὶ πλέον αἰὲν ἀέξει.
Ζεῦ πάτερ, οὐδέ νύ σοί τι δαϊζομένων ὑπ' Ἀχαιοῖς
μέμβλεται, ἀλλ' ἄρα καὶ σὺ λελασμένος υἷος ἑοῖο
Δαρδάνου ἀντιθέοιο μέγ' Ἀργείοισιν ἀρήγεις.

ἀλλά σοι εἰ τόδε θυμὸς ἐνὶ κραδίῃ μενεαίνει,
Τρῶας ὑπ' Ἀργείοισιν ὀϊζυρῶς ἀπολέσσαι,
ἔρξον ἄφαρ, μηδ' ἄμμι πολὺν χρόνον ἄλγεα τεῦχε.
Ἦρα, μέγ' εὐχόμενος· τοῦ δ' ἔκλυεν οὐρανόθι Ζεύς·
καὶ τὸ μὲν αἶψ' ἐτέλεσσε· τὸ δ' οὐκ ἤμελλε τελέσσειν.
δὴ γάρ οἱ κατένευσεν, ὅπως ἀπὸ πολλοὶ ὄλωνται
Τρῶες ὁμῶς τεκέεσσι· δαΐφρονα δ' υἷ' Ἀχιλῆος
τρεψέμεν οὐ κατένευσεν ἀπ' εὐρυχόροιο πόληος,
ἀλλά ἑ μᾶλλον ἔγειρεν, ἐπεί νύ ἑ θυμὸς ἀνώγει
ἦρα φέρειν καὶ κῦδος ἐΰφρονι Νηρηΐνῃ.
Καὶ τὰ μὲν ὣς ὥρμαινε θεῶν μέγα φέρτατος ἄλλων·
μεσσηγὺς δὲ πόληος ἰδ' εὐρέος Ἑλλησπόντου,
Ἀργεῖοι καὶ Τρῶες ἀποκταμένους ἐνὶ χάρμῃ
καῖον ὁμῶς ἵπποισι· μάχη δ' ἐπέπαυτο φόνοιο,
οὕνεκα δὴ Πριάμοιο βίῃ κήρυκα Μενοίτην
εἰς Ἀγαμέμνονα πέμψε, καὶ ἄλλους πάντας Ἀχαιοὺς,
λισσόμενος νέκυας πυρὶ καίεμεν· οἱ δ' ἐπίθοντο,
αἰδόμενοι κταμένους· οὐ γάρ σφισι μῆνις ὀπήδει.
ἦμος δὲ φθιμένοισι πυρὰς ἐκάμοντο θαμειὰς,
δή ῥα τότ' Ἀργεῖοι μὲν ἐπὶ κλισίας ἀφίκοντο·
Τρῶες δ' ἐς Πριάμοιο πολυχρύσοιο μέλαθρα,
ἀχνύμενοι μάλα πολλὰ δεδουπότος Εὐρυπύλοιο·
τὸν γὰρ δὴ τίεσκον ἶσον Πριάμοιο τέκεσσι·
τοὔνεκά μιν τάρχυσαν, ἀποκταμένων ἑκὰς ἄλλων,
Δαρδανίης προπάροιθε πύλης, ὅθι μακρὰ ῥέεθρα
δινήεις προΐησιν, ἀεξόμενος Διὸς ὄμβρῳ.
Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀταρβέος ἵκετο πατρὸς
τύμβον ἐς εὐρώεντα· κύσεν δ' ὅγε, δάκρυα χεύων,
στήλην εὔποίητον ἀποφθιμένοιο τοκῆος·

καί ῥα περιστενάχων, τοῖον ποτὶ μῦθον ἔειπε·
Χαῖρε πάτερ, καὶ ἔνερθε κατὰ χθονός· οὐ γὰρ ἔγωγε
λήσομαι οἰχομένοιο σέθεν ποτὶ δῶμ' Ἀΐδαο.
ὡς εἴθε ζωόν σε μετ' Ἀργείοισι κίχανον·
τῷ κε τάχ' ἀλλήλοισι φρένας τερφθέντ' ἐνὶ θυμῷ,
Ἰλίου ἐξ ἱερῆς ληϊσσάμεθ' ἄσπετον ὄλβον·
νῦν δ' οὔτ' ἄρ σύ γ' ἐσεῖδες ἐὸν τέκος, οὐδὲ σ' ἐγώ περ
εἶδον ζωὸν ἐόντα, λιλαιόμενός περ ἰδέσθαι.
ἀλλὰ καὶ ὧς, σέο νόσφι, καὶ ἐν φθιμένοισιν ἐόντος
σὸν δόρυ, καὶ τεὸν υἷα μέγ' ἐν δαΐ πεφρίκασι
δυσμηνέες· Δαναοὶ δὲ γεγηθότες εἰσορόωσι
σοὶ δέμας ἠδὲ φυὴν ἐναλίγκιον, ἠδὲ καὶ ἔργα.
Ὣς εἰπὼν, ἀπὸ θερμὸν ὀμόρξατο δάκρυ παρειῶν
βῆ δὲ θοῶς ἐπὶ νῆας ὑπερθύμοιο τοκῆος,
οὐκ οἶος· ἅμα γάρ οἱ ἴσαν δυοκαίδεκα φῶτες
Μυρμιδόνων· Φοῖνιξ δ' ὁ γέρων μετὰ τοῖσιν ὀπήδει,
λυγρὸν ἀναστενάχων περικυδέος ἀμφ' Ἀχιλῆος.
νὺξ δ' ἐπὶ γαῖαν ἵκανεν, ἐπέσσυτο δ' οὐρανὸν ἄστρα·
οἱ δ' ἄρα δορπήσαντες, ἕλονθ' ὕπνον· ἔγρετο δ' ἠώς·
Ἀργεῖοι δ' ἄρα δῦσαν ἐν ἔντεσι· τῆλε δ' ἀπ' αὐτῶν
αἴγλη μαρμαίρεσκεν, ἐς αἰθέρα μέχρις ἰοῦσα.
καί ῥα θοῶς ἔκτοσθε πυλάων ἐσσεύοντο
πανσυδίῃ, νιφάδεσσιν ἐοικότες, αἵ τε φέρονται
ταρφέες ἐκ νεφέων, κρυερῇ ὑπὸ χείματος ὥρῃ·
ὣς οἵ γ' ἐξεχέοντο πρὸ τείχεος, ὦρτο δ' ἀϋτὴ
σμερδαλέη· μέγα δ' αἶα περιστεναχίζετ' ἰόντων.
Τρῶες δ' εὖτ' ἐπύθοντο βοὴν, καὶ λαὸν ἴδοντο,
θάμβησαν· πᾶσιν δὲ κατεκλάσθη κέαρ ἔνδον,
πότμον ὀϊομένων· περὶ γάρ, νέφος ὥς, ἐφαάνθη

λαὸς δυσμενέων· καναχίζε δὲ τεύχεα φωτῶν
κινυμένων· ἄμοτος δὲ κονίσσαλος ὦρτο ποδοῖϊν.
καὶ τότ᾽ ἄρ᾽ ἠὲ θεῶν τις ὑπὸ φρένας ἔμβαλε θάρσος
Δηϊφόβῳ, καὶ θῆκε μάλ᾽ ἄτρομον, ἠὲ καὶ αὐτὸν
θυμὸς ἐποτρύνεσκε ποτὶ κλόνον, ὄφρ᾽ ἀπὸ πάτρης
δυσμενέων ἀλεγεινὸν ὑπ᾽ ἔγχεϊ λαὸν ὀλέσσῃ·
θαρσαλέον δ᾽ ἄρα μῦθον ἐνὶ Τρώεσσιν ἔειπεν·
Ὦ φίλοι, εἰ δ᾽ ἄγε θυμὸν ἀρήϊον ἐν φρεσὶ θέσθε,
μνησάμενοι, στονόεντος ὅσα πτολέμοιο τελευτὴ
ἄλγε᾽ ἐπ᾽ ἀνθρώποισι δορυκτήτοισι τίθησιν.
οὐ γὰρ Ἀλεξάνδροιο πέλει πέρι μοῦνος ἄεθλος,
οὐδ᾽ Ἑλένης, ἀλλ᾽ ἔστι περὶ πτόλιός τε, καὶ αὐτῶν,
ἠδ᾽ ἀλόχων, τεκέων τε φίλων, γεραρῶν τε τοκήων,
πάσης τ᾽ ἀγλαΐης, καὶ κτήσιος, ἠδ᾽ ἐρατεινῆς
γαίης, ἥ με δαμέντα κατὰ κλόνον ἀμφικαλύψοι
μᾶλλον, ἢ ἀθρήσαιμι φίλην ὑπὸ δούρατι πάτρην
δυσμενέων· οὐ γάρ τι κακώτερον ἔλπομαι ἄλλο
πῆμα μετ᾽ ἀνθρώποισι ὀϊζυροῖσι τετύχθαι.
τοὔνεκ᾽ ἀπωσάμενοι στυγερὸν δέος, ἀμφ᾽ ἐμὲ πάντες
καρτύνασθ᾽ ἐπὶ δῆριν ἀμείλιχον· οὐ γὰρ Ἀχιλλεὺς
ζωὸς ἔθ᾽ ἡμῖν ἄντα μαχήσεται, οὕνεκ᾽ ἄρ᾽ αὐτὸν
πῦρ ὀλοὸν κατέδαψε· πέλει δέ τις ἄλλος Ἀχαιῶν,
ὃς νῦν λαὸν ἄγειρεν. ἔοικε δὲ μήτ᾽ Ἀχιλῆα
μήτε τιν᾽ ἄλλον Ἀχαιὸν ὑποτρομέειν, περὶ πάτρης
μαρναμένους· τῷ μή τι φεβώμεθα μῶλον Ἄρηος,
εἰ καὶ πολλὰ πάροιθεν ἀνέτλημεν μογέοντες.
ἦ οὔπω τόδε οἴδατ᾽ ἀνὰ φρένας, ὡς ἀλεγεινοῖς
ἀνδράσιν ἐκ καμάτοιο πέλει θαλίη τε, καὶ ὄλβος,
ἐκ δ᾽ ἄρα λευγαλέων ἀνέμων, καὶ χείματος αἰνοῦ,

Ζεὺς ἐπάγει μερόπεσσι δι' ἠέρος εὔδιον ἦμαρ,
ἔκ τ' ὀλοῆς νούσοιο πέλει σθένος, ἔκ τε μόθοιο
εἰρήνη; τὰ δὲ πάντα χρόνῳ μεταμείβεται ἔργα.
Ὣς φάτο· τοὶ δ' ἐς Ἄρηα, μεμαότες, ἐντύναντο
ἐσσυμένως· καναχὴ δὲ κατὰ πτόλιν ἔπλετο πάντη,
μῶλον ἐς ἀλγινόεντα κορυσσομένων αἰζηῶν.
ἔνθ' ἄρα τῷ μὲν ἄκοιτις ὑποτρομέουσα κυδοιμὸν,
ἔντε' ἀποιχομένῳ παρανήεε δακρυχέουσα·
τῷ δ' ἄρα νήπιοι υἷες, ἐπειγόμενοι περὶ πατρὶ
τεύχεα πάντα φέρεσκον· ὁ δὲ σφισιν ἄλλοτε μὲν που
ἄχνυτ' ὀδυρομένοις· ὁτὲ δ' ἔμπαλι μειδιάασκεν,
παισὶν ἀγαλλόμενος· κραδίη δέ οἱ ἐν δαῒ μᾶλλον
ὥρμαινεν πονέεσθαι ὑπὲρ τεκέων τε, καὶ αὐτοῦ.
ἄλλῳ δ' αὖτε γεραιὸς ἐπισταμένης παλάμῃσιν
ἀμφετίθει μελέεσσι κακῆς ἀλκτήρια χάρμης,
πολλὰ παρηγορέων φίλον υἱέα, μηδενὶ εἴκειν
ἐν πολέμῳ· καὶ στέρνα τετυμμένα δείκνυε παιδὶ,
ταρφέα σήματ' ἔχοντα παλαιῆς δηϊοτῆτος.
Ἀλλ' ὅτε δὴ μάλα πάντες ἐν ἔντεσι θωρήχθησαν,
ἄστεος ἐξεχέοντο, μέγ' ἱέμενοι πολέμοιο
λευγαλέου· ταχέεσσι δ' ἐφ' ἱππήεσσιν ὄρουσαν
ἱππῆες· πεζοῖσι δ' ἐπέχραον ἔθνεα φωτῶν·
ἅρμασι δ' ἅρμαθ' ἵκοντο καταντίον· ἔβραχε δὲ χθὼν
ἐς μόθον ἐσσυμένων· ἐπαΰτεε δ' οἷσιν ἕκαστος
κεκλόμενος· τοὶ δ' αἶψα συνήϊον· ἀμφὶ δ' ἄρα σφι
τεύχε' ἐπεσμαράγησε· μίη δ' ἑκάτερθεν ἀϋτὴ
λευγαλέη· τὰ δὲ πολλὰ θοῶς ποτέοντο βέλεμνα,
βαλλόμεν' ἀμφοτέρωθεν· ὑπ' ἔγχεϊ δ' ἀσπίδες ἀνδρῶν
θεινόμεναι κτυπέεσκον ἀάσχετον· αἱ δ' ὑπ' ἀκόντων,

καὶ ξιφέων· πολέες δὲ καὶ ἀξίνῃσι θοῇσιν
ἀνέρες οὐτάζοντο· φορύνετο δ' ἔντεα φωτῶν
αἵματι. Τρωϊάδες δ' ἀπὸ τείχεος ἐσκοπίαζον
αἰζηῶν στονόεντα μόθον· πάσῃσι δὲ γυῖα
ἔτρεμεν, εὐχομένῃσιν ὑπὲρ τεκέων τε, καὶ ἀνδρῶν,
ἠδὲ κασιγνήτων· πολιοὶ δ' ἅμα τῇσι γέροντες
ἕζοντ' εἰσορόωντες· ἔχον δ' ὑπὸ κήδεσι θυμὸν
παίδων ἀμφὶ φίλων· Ἑλένη δ' ἐνὶ δώμασι μίμνεν
οἴη ἅμ' ἀμφιπόλοισιν· ἔρυκε γὰρ ἄσπετος αἰδώς.
Οἱ δ' ἄμοτον πονέοντο πρὸ τείχεος· ἀμφὶ δὲ Κῆρες
γήθεον· οὐλομένη δ' ἐπαΰτεεν ἀμφοτέροισι
μακρὸν Ἔρις βοόωσα· κόνις δ' ἐρυθαίνετο λύθρῳ
κτεινομένων· ὀλέκοντο δ' ἀνὰ κλόνον ἄλλοθεν ἄλλος.
Ἔνθ' ἄρα Δηΐφοβος κρατερὸν κτάνεν ἡνιοχῆα
— — Ἱππασίδην. ὁ δ' ἀφ' ἅρματος αἰψηροῖο
ἤριπεν ἀμφὶ νέκυσσιν· ἄχος δέ οἱ ἔσχεν ἄνακτα·
δείδιε γὰρ μὴ δή μιν ἐφ' ἡνία χεῖρας ἔχοντα
υἱὸς ἐΰς Πριάμοιο κατακτείνῃσι καὶ αὐτόν·
ἀλλά οἱ οὐκ ἀμέλησε Μελάνθιος, ἀλλ' ἐπὶ δίφρον
ἆλτο θοῶς· ἵπποισι δ' ἐκέκλετο μακρά, τινάσσων
εὔληρ', οὐδ' ἔχε μάστιν· ἔλαυνε δὲ δούρατι θείνων.
καὶ τοὺς μὲν Πριάμοιο πάϊς λίπεν· ἵκετο δ' ἄλλων
ἐς πληθύν· πολέεσσι δ' ὀλέθριον ὤπασεν ἦμαρ
ἐσσυμένως· ὀλοῇ γὰρ ἀλίγκιος αἰὲν ἀέλλῃ,
θαρσαλέως δηΐοισιν ἐπέρχετο· τοῦ δ' ὑπὸ χερσὶ
μυρίοι ἐκτείνοντο· πέδον δ' ἐστείνετο νεκρῶν.
Ὡς δ' ὅτ' ἂν οὔρεα μακρὰ θορὼν εἰς ἄγκεα βήσσης
δρυτόμος ἐγκονέων, νεοθηλέα δάμναται ὕλην,
ἄνθρακας ὄφρα κάμῃσι, κατακρύψας ὑπὸ γαῖαν

σὺν πυρὶ δούρατα μακρὰ, τὰ δ' ἄλλοθεν ἄλλα πεσόντ'
πρῶνας ὕπερθε κάλυψαν, ἀνὴρ δ' ἐπιτέρπεται ἔργῳ·
ὣς ἄρα Δηϊφόβοιο θοῆς ὑπὸ χερσὶν Ἀχαιοὶ
ἰλαδὸν ὀλλύμενοι, περικάππεσον ἀλλήλοισι·
καί ῥ' οἱ μὲν Τρώεσσιν ὁμίλεον· οἱ δ' ἐφέβοντο
εὐρὺν ἐπὶ Ξάνθοιο ῥόον· τοὺς δ' ὕδατος εἴσω
Δηΐφοβος συνέλασσε, καὶ οὐκ ἀπέληγε φόνοιο.
ὡς δ' ὁπότ' ἰχθυόεντος ἐπ' ᾐόσιν Ἑλλησπόντου
δίκτυον ἐξερύωσι πολύκμητοι ἁλιῆες,
κολπωθὲν, ποτὶ γαῖαν, ἔσω δ' ἁλὸς εἰσέτ' ἐόντος,
ἐνθόρῃ αἰζηὸς, γναμπτὸν δόρυ χερσὶ μεμαρπὼς,
αἰνὸν ἐπὶ ξιφίῃσι φέρων φόνον, ἄλλοθε δ' ἄλλον
δάμναται, ὅν κε κίχῃσι, φόνῳ δ' ἐρυθαίνεται ὕδωρ·
ὣς τοῦ ὑπαὶ παλάμῃσι περὶ Ξάνθοιο ῥέεθρα
αἵματι φοινίχθησαν· ἐνεστείνοντο δὲ νεκροί.
Οὐδὲ μὲν οὐδ' ἄρα Τρῶες ἀναιμωτὶ πονέοντο,
ἀλλά σφέας ἐδάϊζεν Ἀχιλλέος ὄβριμος υἱὸς
ἀμφ' ἄλλῃσι φάλαγξι· Θέτις δέ που εἰσορόωσα,
τέρπετ' ἐφ' υἱωνῷ, ὅσον ἄχνυτο Πηλείωνι.
τοῦ γὰρ ὑπὸ μελίῃ πουλὺς στρατὸς ἐν κονίῃσι
πίπτεν ὁμῶς ἵπποισιν· ὁ δ' ἑσπόμενος κεράϊζεν·
ἔνθ' Ἀμίδην ἐδάϊξε περικλυτὸν, ὅς ῥά οἱ ἵππῳ
ἑζόμενος συνέκυρσε, καὶ οὐκ ἀπόνητ' ἐρατεινῆς
ἱππασίης· δὴ γάρ μιν ὑπ' ἔγχεϊ τύψε φαεινῷ
ἐς νηδὺν· αἰχμὴ δὲ ποτὶ ῥάχιν ἐξεπέρησεν·
ἔγκατα δ' ἐξεχύθησαν· ἕλεν δέ μιν οὐλομένη Κὴρ
ἐσσυμένως, ἵπποιο θοοῦ παρὰ ποσσὶ πεσόντα.
εἷλε δ' ἄρ' Ἀσκάνιόν τε, καὶ Οἴνοπα· τὸν μὲν ἔλασσε
δουρὶ μέγα στομάχοιο ποτὶ στόμα· τὸν δ' ὑπὸ λαιμὸν

καίριος ἔνθα μάλιστα πέλει μόρος ἀνθρώποισιν.
ἄλλους δ' ἔκτανεν αὖθις, ὅσους κίχε. τίς κεν ἐκείνους
ἀνδρῶν μυθήσαιτο κατὰ κλόνον, ὅσσοι ὄλοντο
χερσὶ Νεοπτολέμοιο; κάμεν δέ οἱ οὔποτε γυῖα.
ὡς δ' ὁπότ' αἰζηῶν τις ἀγρῷ ἐνὶ τηλεθάοντι,
πᾶν ἦμαρ κρατερῇσι πονησάμενος παλάμῃσιν,
ἐς γαῖαν κατέχευεν ἀπείρονα καρπὸν ἐλαίης
ῥάβδῳ ἐπισπέρχων, ἐκάλυψε δὲ χῶρον ὕπερθεν·
ὣς τοῦ ὑπαὶ παλάμῃσι κατήριπε πουλὺς ὅμιλος.
Τυδείδης δ' ἑτέρωθεν, ἐϋμμελίης τ' Ἀγαμέμνων,
ἄλλοι τ' ἐν Δαναοῖσιν ἀριστῆες πονέοντο
προφρονέως ἀνὰ δῆριν ἀμείλιχον· οὐδὲ μὲν ἐσθλοῖς
Τρώων ἡγεμόνεσσι δέος πέλεν, ἀλλὰ καὶ αὐτοὶ
ἐκ θυμοῖο μάχοντο, καὶ ἀνέρας αἰὲν ἔρυκον
χαζομένους· πολέες δὲ καὶ, οὐκ ἀλέγοντες ἀνάκτων,
ἐκ πολέμοιο φέβοντο, μένος τρομέοντες Ἀχαιῶν.
Ὀψὲ δ' ἄρ εἰσενόησε περὶ προχοῇσι Σκαμάνδρου
ὀλλυμένους Δαναοὺς κρατερὸς πάϊς Αἰακίδαο
αἰὲν ἐπασσυτέρους· λίπε δ' οὓς πάρος αὐτὸς ἔναιρεν,
φεύγοντας προτὶ ἄστυ, καὶ Αὐτομέδοντι κέλευεν
κεῖσ' ἐλάαν, ὅθι πουλὺς ἐδάμνατο λαὸς Ἀχαιῶν.
αὐτὰρ ὅγ' αἶψα πίθησε, καὶ ἀθανάτων μένος ἵππων
νεύεσκεν μάστιγι ποτὶ κλόνον· οἱ δ' ἐπέτοντο
ῥίμφα διὰ κταμένων, κρατερὸν φορέοντες ἄνακτα.
οἷος δ' ἐς πόλεμον φθισίμβροτον ἔρχεται Ἄρης,
ἐμβεβαὼς ἵπποισι, περιτρομέει δ' ἄρα γαῖα
ἐσσυμένου, καὶ θεῖα περὶ στέρνοισι θεοῖο
τεύχη ἐπιβρομέουσιν, ἴσον πυρὶ μαρμαίροντα·
τοῖος Ἀχιλλῆος κρατεροῦ πάϊς ἤϊεν ἄντην

ἐσθλοῦ Δηϊφόβοιο· κόνις δ' ἐπαείρετο πολλὴ
ἵππων ἀμφὶ πόδεσσιν, ἰδὼν δέ μιν ἄλκιμος ἀνὴρ
Αὐτομέδων, ἐνόησεν ὅτις πέλεν· αἶψα δ' ἄνακτι
τοῖον ἔπος κατέλεξε, περικλυτὸν ἄνδρα πιφαύσκων·
Ὦ ἄνα, Δηϊφόβοιο πέλει στρατὸς, ἠδὲ καὶ αὐτὸς,
σεῖο πάροιθε τοκῆ' ὅς ὑπέτρεμε· νῦν δέ οἱ ἐσθλὸν
ἢ θεὸς, ἢ δαίμων τις ὑπὸ κραδίην βάλε θάρσος.
Ὣς ἄρ' ἔφη· τὸν δ' οὔτι προσέννεπεν, ἀλλ' ἔτι μᾶλλον
ἵππους ὠτρύνεσκεν ἐλαυνέμεν, ὄφρα τάχιστα
ὀλλυμένοις Δαναοῖσιν ἀεικέα πότμον ἀλάλκοι.
ἀλλ' ὅτε δή ῥ' ἀφίκοντο μάλα σχεδὸν ἀλλήλοισι,
δὴ τότε Δηΐφοβος, μάλα περ χατέων πολέμοιο,
ἔστη, ὅπως πῦρ αἰνὸν, ὅθ' ὕδατος ἐγγὺς ἵκηται·
θάμβεε δ' εἰσορόων κρατερόφρονος Αἰακίδαο
ἵππους, ἠδὲ καὶ υἷα πελώριον, οὔτι τοκῆος
μείονα· τοῦ δ' ἄρα θυμὸς ὑπὸ φρεσὶν ὡρμαίνεσκεν
ἄλλοτε μὲν φεύγειν, ὁτὲ δ' ἀνέρος ἄντα μάχεσθαι.
ὡς δ' ὅτε σῦς ἐν ὄρεσσι νεηγενέων ἀπὸ τέκνων
θῶας ἀποσσεύησι, λέων δ' ἑτέρωθι φανείη
ἔκποθεν ἐσσύμενος, τοῦ δ' ἵσταται ἄσπετος ὁρμὴ,
οὔτε πρόσω μεμαῶτος ἔτ' ἐλθέμεν, οὔτ' ἄρ' ὀπίσσω,
θήγει δ' ἀφριόωντας ὑπὸ γναθμοῖσιν ὀδόντας·
ὣς υἱὸς Πριάμοιο σὺν ἅρμασι μίμνε καὶ ἵπποις,
πορφύρων φρεσὶ πολλὰ, καὶ ἀμφαφόων δόρυ χερσί.
τὸν δ' υἱὸς προσέειπεν ἀμειλίκτου Ἀχιλῆος·
Πριαμίδη, τί νυ τόσσον ἐπ' Ἀργείοισι μέμηνας
χειροτέροις, οἵ, σεῖο περιτρομέοντες ὁμοκλὴν,
φεῦγον ἐπεσσυμένοιο, σὺ δ' ἤλπεο πολλὸν ἄριστος
ἔμμεναι; ἀλλά σοι εἴπερ ὑπὸ κραδίῃ μένος ἐστὶν,

ἡμετέρης πειρῆσαι ἀνὰ κλόνον ἀσχέτου αἰχμῆς.
Ὣς εἰπὼν, οἴμησε λέων ὡς ἄντ' ἐλάφοιο,
ἐμβεβαὼς ἵπποισι καὶ ἅρμασι πατρὸς ἑοῖο·
καί νύ κέ μιν τάχα δουρὶ σὺν ἡνιόχῳ κατέπεφνεν,
εἰ μή οἱ μέλαν αἶψα νέφος κατέχευεν Ἀπόλλων
ἔκποθεν Οὐλύμποιο, καὶ ἐξ ὀλοοῖο μόθοιο
ἥρπασε, καί μιν ἔθηκε ποτὶ πτόλιν· ἧχι καὶ ἄλλοι
Τρῶες ἔσαν φεύγοντες· ὁ δ' ἐς κενεὴν δόρυ τύψας
ἠέρα Πηλείδαο πάϊς, τοῖον φάτο μῦθον·
Ὦ κύον· ἐξήλυξας ἐμὸν μένος· οὐδέ σοι ἀλκὴ
ἱεμένῳ περ ἄλαλκε· θεῶν δέ τις ὅσσ' ἐκάλυψε,
νύκτα βαλὼν καθύπερθε· καὶ ἐκ κακότητος ἐρύξας.
Ὣς ἄρ' ἔφη· δνοφερὸν δὲ νέφος καθύπερθε Κρονίων,
εὖτ' ὀμίχλην, διέχευε. λύθη δ' εἰς ἠέρα μακρήν·
αὐτίκα δ' ἐξεφάνη πεδίον, καὶ πᾶσα περὶ χθών·
Τρῶας δ' εἰσενόησεν ἀπόπροθι πολλὸν ἐόντας
σκαιῆς ἀμφὶ πύλῃσιν· ἔβη δ' ἄρα πατρὶ ἐοικὼς
ἀντία δυσμενέων, οἵ μιν φοβέοντο κιόντα.
ἠΰτε κῦμ' ἀλεγεινὸν ἐπεσσύμενον τρομέουσι
ναῦται, ὅτ' ἐξ ἀνέμοιο διεγρόμενον φορέηται
εὐρὺ μάλ', ὑψηλόν τε, μέμηνε δὲ λαίλαπι πόντος·
ὣς, τοῦ ἐπερχομένοιο, κακὸν δέος ἄμφεχε Τρῶας·
τοῖον δ' ἔκφατο μῦθον, ἐποτρύνων, ἑτάροισι·
Κλῦτε φίλοι, καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε
ἄτρομον, οἷον ἔοικε φορήμεναι ἀνέρας ἐσθλοὺς,
νίκην ἱεμένους ἐρικυδέα χερσὶν ἀρέσθαι,
καὶ κλέος ἐκ πολέμοιο δυσηχέος· ἀλλ' ἄγε θυμὸν
παρθέμενοι, πονεώμεθ' ὑπὲρ μένος, εἰσόκε Τροίης

πέρσωμεν κλυτὸν ἄστυ, καὶ ἐκτελέσωμεν ἐέλδωρ·
αἰδὼς γάρ, μάλα πολλὸν ἐπὶ χρόνον ἔνθα μένοντας,
ἔμμεναι ἀπρήκτους, καὶ ἀνάλκιδας, οἷα γυναῖκας·
τεθναίην γὰρ μᾶλλον, ἢ ἀπτόλεμος καλεοίμην.
Ὣς φάτο· τοὶ δ' ἔτι μᾶλλον ἐς Ἄρεος ἔργον ὄρουσαν
θαρσαλέως, Τρώεσσι δ' ἐπέδραμον· οἱ δὲ καὶ αὐτοί,
προφρονέως μάρναντο περὶ πτόλιν· ἄλλοτε δ' αὖτε
ἔντοσθεν πυλέων ἀπὸ τείχεος· οὐδ' ἀπέληγε
δεινὸς Ἄρης, Τρώων μὲν ἐελδομένων ἀπερύξαι
δυσμενέων στρατὸν αἰνόν, ἐϋσθενέων δ' Ἀργείων
ἄστυ διαπραθέειν· ὀλοὴ δ' ἔχε πάντας ὀϊζύς.
Καὶ τότε δὴ Τρώεσσιν ἀρηγέμεναι μενεαίνων,
ἔκθορεν Οὐλύμποιο, καλυψάμενος νεφέεσσι,
Λητοΐδης· τὸν δ' αἶψα θοαὶ φορέεσκον ἄελλαι
τεύχεσι χρυσείοισι κεκασμένον· ἀμφὶ δὲ μακραὶ
μάρμαιρον κατιόντος ἴσον στεροπῇσι κέλευθοι·
ἀμφὶ δέ οἱ γωρυτὸς ἐπέκτυπεν· ἔβραχε δ' αἰθὴρ
θεσπέσιον, καὶ γαῖα μέγ' ἴαχεν, ἔνθ' ἀκάμαντας
θῆκε παρὰ Ξάνθοιο ῥόον πόδας· ἐκ δὲ βοήσας
σμερδαλέον, Τρώεσσι θράσος βάλε, δεῖμα δ' Ἀχαιοῖς,
μίμνειν αἱματόεντα κατὰ κλόνον. οὐδ' Ἐνοσίχθων
ὄβριμος ἠγνοίησε· μένος δ' ἐπέπνευσεν Ἀχαιοῖς
ἤδη τειρομένοισι· μάχη δ' ἀΐδηλος ἐτύχθη
ἀθανάτων βουλῇσιν· ὄλοντο δὲ μυρία φῦλα
αἰζηῶν ἑκάτερθε. κοτεσσάμενος δ' ἄρ' Ἀπόλλων
Ἀργείοις, ὥρμαινε βαλεῖν θρασὺν υἷ' Ἀχιλῆος
αὐτοῦ, ὅπου καὶ πρόσθεν Ἀχιλλέα· τοῦ δ' ἄρα θυμὸν
οἰωνοὶ κατέρυκον ἀριστερὰ κεκληγῶτες,
ἄλλα τε σήματα πολλά. χόλος δέ οἱ οὐκ ἔτ' ἔμελλε

πείθεσθαι τεράεσσι. τὸ δ' οὐ λάθε Κυανοχαίτην,
ἠέρι θεσπεσίῃ κεκαλυμμένον· ἀμφὶ δὲ ποσσὶ,
νισσομένοιο ἄνακτος, ἐρυμνὴ κίνυτο γαῖα·
τοῖον δ' ἔκφατο μῦθον, ἐελδόμενός μιν ἐρύξαι·
Ἴσχε τέκος, καὶ μή τι πελώριον υἶ' Ἀχιλῆος
κτείνῃς· οὐδὲ γὰρ αὐτὸς Ὀλύμπιος ὀλλυμένοιο
γηθήσει· μέγα δ' ἄλγος ἐμοὶ, καὶ πᾶσι θεοῖσιν
ἔσσεται εἰναλίοισιν, ὅπως πάρος ἀμφ' Ἀχιλῆα·
ἀλλ' ἀναχάζεο δῖον ἐς αἰθέρα, μή με χολώσῃς,
αἶψα δ', ἀναῤῥήξας μεγάλης χθονὸς εὐρὺ βερέθρον,
αὐτὴν Ἴλιον εἶθαρ ἑοῖς ἅμα τείχεσι πᾶσαν
θήσω ὑπὸ ζόφον εὐρύν· ἄχος δέ τοι ἔσσεται αὐτῷ.
Ὣς φάθ'. ὁ δ' ἁζόμενος μέγ' ἀδελφεὸν οἷο τοκῆος,
δείσας τ' ἀμφὶ πόληος, ἐϋσθενέων θ' ἅμα λαῶν,
χάσσατ' ἐς οὐρανὸν εὐρύν· ὁ δ' εἰς ἅλα· τοὶ δ' ἐμάχοντο,
ἀλλήλους ὀλέκοντες· Ἔρις δ' ἐπιτέρπετο χάρμῃ·
μέσφ' ὅτε δὴ Κάλχαντος ὑπ' ἐννεσίῃσιν Ἀχαιοὶ
ἐς νῆας χάσσαντο, καὶ ἐξελάθοντο μόθοιο.
οὐ γὰρ δὴ πέπρωτο δαμήμεναι Ἰλίου ἄστυ,
πρίν γε Φιλοκτήταο βίην ἐς ὅμιλον Ἀχαιῶν
ἐλθέμεναι, πολέμοιο δαήμονα δακρυόεντος·
καὶ τὸ μὲν ἠγαθέοισιν ἐπέφραδεν οἰωνοῖσιν,
ἠὲ καὶ ἐν σπλάγχνοισιν ἐπέδρακεν· οὐ γὰρ ἄϊδρις
μαντοσύνης ἐτέτυκτο· θεὸς δ' ὣς ᾔδεε πάντα.
Τῷ πίσυνοι, στονόεντος ἀποιχόμενοι πολέμοιο,
Ἀτρεῖδαι προέηκαν ἐϋκτιμένην ποτὶ Λῆμνον
Τυδέος ὄβριμον υἷα, μενεπτόλεμόν τ' Ὀδυσῆα,
νηῒ θοῇ. οἳ δ' αἶψα ποτὶ πτόλιν Ἡφαίστοιο

ἤλυθον, Αἰγαίοιο διὰ πλατὺ χεῦμα θαλάσσης,
Λῆμνον ἐς ἀμπελόεσσαν, ὅπη πάρος αἰνὸν ὄλεθρον
ἀνδράσι κουριδίοισιν ἐμητίσαντο γυναῖκες,
ἔκπαγλον κοτέουσαι, ἐπεί σφεας οὔτι τίεσκον,
ἀλλὰ δμωϊάδεσσι παρευνάζοντο γυναιξὶ
Θρηϊκίης, τὰς δουρὶ καὶ ἠνορέῃ κτεάτισσαν,
πέρθοντές ποτε γαῖαν ἀρηϊφίλων Θρηΐκων·
αἳ δὲ μέγα, ζήλοιο περὶ κραδίῃσι πεσόντος,
θυμὸν ἀνοιδήσαντο, φίλους δ' ἀνὰ δώματ' ἀκοίτας
κτεῖνον ἀνηλεγέως ὑπὸ χείρεσιν· οὐδ' ἐλέησαν
κουριδίους περ ἐόντας· ἐπεί ῥ' ἀπαναίνεται ἦτορ
ἀνέρος ἠδὲ γυναικὸς, ὅτε ζηλήμονι νούσῳ
ἀμφιπέσῃ· κρατεραὶ γὰρ ἐποτρύνουσιν ἀνῖαι·
ἀλλ' αἵδε σφετέροισιν ἐπ' ἀνδράσι πῆμ' ἐβάλοντο
νυκτὶ μιῇ, καὶ πᾶσαν ἐχηρώσαντο πόληα,
παρθέμεναι φρεσὶ θυμὸν ἀταρβέα, καὶ μέγα κάρτος.
Οἳ δ' ὅτε δὴ Λῆμνον κίον, ἠδὲ καὶ ἄντρον ἔδυνον
λάϊνεον, τόθι κεῖτο πάϊς Ποίαντος ἀγαυοῦ,
δὴ τότ' ἄρα σφίσι θάμβος ἐπήλυθεν, εὖτ' ἐσίδοντο
ἀνέρα λευγαλέῃσιν ἐπιστενάχοντ' ὀδύνῃσι,
κεκλιμένον στυφελοῖο κατ' οὔδεος· ἀμφὶ δ' ἄρ' αὐτῷ,
οἰωνῶν πτερὰ πολλὰ περὶ λεχέεσσι κέχυντο·
ἄλλα δέ οἱ συνέραπτο περὶ χροΐ, χείματος ἄλκαρ
λευγαλέου. δὴ γάρ μιν ἐπὴν ἕλε λιμὸς ἀτερπὴς,
βάλλων ἄσχετον ἰὸν, ὅπη νόος, ἰθύνεσκεν·
καὶ τὰ μὲν ἂρ κατέδαπτε, τὰ δ' ἕλκεος οὐλομένοιο
ἀμφετίθει καθύπερθε, μελαίνης ἄλκαρ ἀνίης·
αὐαλέαι δέ οἱ ἀμφὶ κόμαι περὶ κρατὶ κέχυντο
θηρὸς ὅπως ὀλοοῖο, τὸν ἀργαλέης δόλος ἄγρης

μάρψῃ νυκτὸς ἰόντα θοοῦ ποδός· ὃς δ᾽ ὑπ᾽ ἀνάγκης
τειρόμενος, ποδὸς ἄκρον ἀταρτηροῖσιν ὀδοῦσι
κόψας, εἰς ἑὸν ἄντρον ἀφίκεται, ἀμφὶ δέ οἱ κῆρ
τείρει ὁμοῦ λιμός τε, καὶ ἀργαλέαι μελεδῶναι.
Ὣς τὸν ὑπὸ σπέος εὐρὺ κακὴ περιδάμνατ᾽ ἀνίη·
καί οἱ πᾶν μεμάραντο δέμας, περὶ δ᾽ ὀστέα μοῦνον
ῥινὸς ἔην, ὀλοὴ δὲ παρηΐδας ἀμφέχυτ᾽ αὐχμὴ
λευγαλέον ῥυπόωντος· ἀνιηρὸν δέ μιν ἄλγος
δάμνατο· κοῖλαι δ᾽ ἔσκον ὑπ᾽ ὀφρύσιν ἀνδρὸς ὀπωπαὶ
αἰνῶς τειρομένοιο· γόος δέ μιν οὔποτε λεῖπεν,
οὕνεχ᾽ οἱ ἕλκος ἔμελλεν ἐς ὀστέον ἄχρις ἱκέσθαι,
πυθόμενον καθύπερθε· λυγραὶ δ᾽ ὑπέρεπτον ἀνίαι.
Ὡς δ᾽ ὅτ᾽ ἐπὶ προβολῇσι πολυκλύστοιο θαλάσσης
πέτρην παιπαλόεσσαν ἀπειρεσίης ἁλὸς ἅλμη
δάμνατ᾽, ὑποτμήγουσα μάλα στερεήν περ ἐοῦσαν,
θεινομένης δ᾽ ἄρα τῆς, ἀνέμῳ καὶ κύματι λάβρῳ,
χηραμὰ κοιλαίνονται ὑπὸ βρωθέντα θαλάσσης·
ὣς τοῦ ὑπίχνιον ἕλκος ἀέξετο πυθομένοιο
ἰοῦ ἀπὸ στυφελοῖο, τόν οἱ ἐνομόρξατ᾽ ὀδοῦσι
λυγρὸς ὕδρος, τόν φασιν ἀναλθέα τε, στυγερόν τε,
ἔμμεναι, ὁππότε μιν τέρσῃ περὶ χέρσον ἰόντα
ἠελίοιο μένος· τῷ καὶ μέγα φέρτατον ἄνδρα
τεῖρε δυσαλθήτοισιν ὑποδμηθέντ᾽ ὀδύνῃσιν·
ἐκ δέ οἱ ἕλκεος αἰὲν ἐπὶ χθόνα λειβομένοιο
ἰχῶρος πεπάλακτο πέδον πολυχανδέος ἄντρου,
θαῦμα μέγ᾽ ἀνθρώποισι καὶ ὕστερον ἐσσομένοισι.
καί οἱ πὰρ κλισίην φαρέτρη παρέκειτό γε μακρὴ,
ἰῶν πεπληθυῖα· πέλοντο δ᾽ ἄρ᾽ οἱ μὲν ἐπ᾽ ἄγρην
οἱ δ᾽ ἐς δυσμενέας, τοὺς ἄμπεχε λοίγιον ὕδρου

φάρμακον αἰνομόροιο· πάροιθε δέ οἱ μέγα τόξον
κεῖτο πέλας, γναμπτοῖσιν ἀρηράμενον κεράεσσι,
χερσὶν ὑπ' ἀκαμάτῃσι τετυγμένον Ἡρακλῆος.
Τοὺς δ' ὁπότ' εἰσενόησε ποτὶ σπέος εὐρὺ κιόντας,
ἐσσυμένως οἴμησεν ἐπ' ἀμφοτέροισι τανύσσαι
ἀλγινόεντα βέλεμνα, χόλου μεμνημένος αἰνοῦ,
οὕνεκά μιν τὸ πάροιθε μέγα στενάχοντα λίποντο
μοῦνον ἐρημαίοισιν ἐπ' αἰγιαλοῖσι θαλάσσης.
καί νύ κεν αἶψ' ἐτέλεσσεν ἅ οἱ θρασὺς ἤθελε θυμὸς,
εἰ μή οἱ στονόεντα χόλον διέχευεν Ἀθήνη,
ἀνέρας εἰσορόωντος ὁμήθεας. οἱ δέ οἱ ἄγχι
ἤλυθον, ἀχνυμένοισιν ἐοικότε· καί ῥά μιν ἄμφω
ἄντρου ἔσω κοίλοιο παρεζόμενοι ἑκάτερθεν,
ἕλκεος ἀμφ' ὀλοοῖο καὶ ἀργαλέων ὀδυνάων
ἤρουτ'· αὐτὰρ ὁ τοῖσιν ἑὰς διεπέφραδ' ἀνίας.
οἱ δέ ἑ θαρσύνεσκον· ἔφαντο δέ οἱ λυγρὸν ἕλκος
ἐξ ὀλοοῖο μόγοιο καὶ ἄλγεος ἰήσασθαι,
ἢν στρατὸν εἰσαφίκηται Ἀχαϊκὸν, ὅν ῥα καὶ αὐτὸν
φάντο μέγ' ἀσχαλάαν παρὰ νήεσιν, ἠδὲ καὶ αὐτοὺς
Ἀτρείδας ἅμα τοῖσι· κακοῦ δέ οἱ οὔτιν' Ἀχαιῶν
αἴτιον ἔμμεν' ἔφαντο κατὰ στρατὸν, ἀλλ' ἀλεγεινὰς
Μοίρας, ὧν ἑκὰς οὔτις ἀνὴρ ἐπινίσσεται αἶαν,
ἀλλ' αἰὲν μογεροῖσιν ἐπ' ἀνδράσιν ἀπροτίοπτοι
στρωφῶντ' ἤματα πάντα, βροτῶν μένος ἄλλοτε μέν που
βλάπτουσαι κατὰ θυμὸν ἀμείλιχον, ἄλλοτε δ' αὖτε
ἔκποθε κυδαίνουσαι· ἐπεὶ μέγα πάντα βροτοῖσι
κεῖναι, καὶ στονόεντα, καὶ ἤπια μηχανόωνται,
αὐταὶ ὅπως ἐθέλουσιν. ὁ δ' εἰσαΐων Ὀδυσῆος
ἠδὲ καὶ ἀντιθέου Διομήδεος, αὐτίκα θυμὸν

ῥηϊδίως κατέπαυσεν ἀνιηροῖο χόλοιο,
ἔκπαγλον τοπάροιθε χολούμενος, ὅσσ' ἐπεπόνθει.
Οἱ δέ μιν αἶψ' ἐπὶ νῆα καὶ ἠϊόνας βαρυδούπους,
καγχαλόωντες, ἔνεικαν ὁμῶς σφετέροισι βελέμνοις·
καί ῥά οἱ ἀμφεμάσαντο δέμας, καὶ ἀμείλιχον ἕλκος,
σπόγγῳ εὐτρήτῳ, κατὰ δ' ἔκλυσαν ὕδατι πολλῷ·
ἀμπνύσθη δ' ἄρα τυτθόν. ἄφαρ δέ οἱ, ἐγκονέοντες,
δόρπον ἐῢν τεύξαντο μεμαότι· σὺν δὲ καὶ αὐτοὶ
δαίνυντ' ἔνδοθι νηός. ἐπήλυθε δ' ἀμβροσίη νύξ
τοῖσι δ' ἐφ' ὕπνος ὄρουσε· μένον δ' ἄχρις ἠριγενείης
ἀμφιάλου Λήμνοιο παρ' ᾐόσιν. αὐτὰρ ἅμ' ἠοῖ
πεῖσμα θοῶς εὐνῇσιν ἐϋγνάμπτοισιν ἄειραν
ἔκτοθεν ἐγκονέοντες· ἐπιπροέηκε δ' Ἀθήνη,
ἐξόπιθεν πνείοντα τανυπρώρου νεὸς οὖρον.
ἱστία δ' αἶψ' ἐτάνυσσαν ὑπ' ἀμφοτέροισι πόδεσσι,
νῆα κατιθύνοντες ἐΰζυγον· ἡ δ' ὑπ' ἰωῇ
ἔσσυτ' ἐπὶ πλατὺ χεῦμα· μέλαν δ' ἀμφέστενε κῦμα
ῥηγνύμενον, πολιὸς δὲ περίζεε πάντοθεν ἀφρός·
ἀμφὶ δέ οἱ δελφῖνες ἀολλέες ἐσσεύοντο,
κῦμα διαπρήσσοντες, ἁλὸς πολιοῖο κέλευθα.
Οἱ δ' ἄφαρ Ἑλλήσποντον ἐπ' ἰχθυόεντ' ἀφίκοντο,
ἧχι καὶ ἄλλαι νῆες ἔσαν· κεχάροντο δ' Ἀχαιοί,
ὡς ἴδον οὓς ποθέεσκον ἀνὰ στρατόν. οἱ δ' ἄρα νηὸς
ἀσπασίως ἀπέβησαν· ἔχεν δ' ἄρα χεῖρας ἀραιὰς
Ποίαντος θρασὺς υἱὸς ἐπ' ἀνέρας, οἵ ῥά μιν ἄμφω
λυγρὸν ἐπισκάζοντα ποτὶ χθόνα δῖαν ἄγεσκον
ἀμφοτέρων κρατερῇσιν ἐπικλινθέντα χέρεσσιν.
ἠΰτ' ἐνὶ ξυλόχοισιν ἐς ἥμισυ μέχρι κοπεῖσαν
φηγὸν ὑφ' ὑλοτόμοιο βίης, ἢ πίονα πεύκην,

τυτθὸν ἐφεστηκυῖαν, ὅσον λίπε δρυτόμος ἀνὴρ,
πρέμνον ὑποτμήγων λιπαρὸν, δάος ὄφρα πέληται
πίσσα πυρὶ δμηθεῖσα, κατ᾽ οὔρεα, τὴν δ᾽ ἀλεγεινῶς
ἀχθομένην ἄνεμός τε καὶ ἀδρανίη ποτικλίνῃ·
ὣς ἄρ᾽ ὑπ᾽ ἀτλήτῳ βεβαρημένον ἄλγεϊ φῶτα
θαρσαλέοι ἥρωες ἐπικλινθέντα φέρεσκον
Ἀργείων ἐς ὅμιλον ἀρήϊον. οἱ δ᾽ ἐσιδόντες,
ᾤκτειραν μάλα πάντες ἑκηβόλον ἀνέρα, λυγρῷ
ἕλκεϊ τειρόμενον· τὸν δὲ στερεὸν, καὶ ἄνουσον,
ὠκύτερον ποίησε νοήματος αἰψηροῖο
ἶσος ἐπουρανίοις Ποδαλείριος, εὖ μὲν ὕπερθεν
πάσσων φάρμακα πολλὰ καθ᾽ ἕλκεος, εὖ δὲ κικλήσκων
οὔνομα πατρὸς ἑοῖο. θοῶς δ᾽ ἰάχησαν Ἀχαιοὶ
πάντες κυδαίνοντες ὁμῶς Ἀσκληπιοῦ υἷα·
καί μιν φαιδρύναντο, καὶ ἀμφὶς ἔχρισαν ἐλαίῳ
προφρονέως. ὀλοὴ δὲ κατηφείη, καὶ ὀϊζὺς,
ἀθανάτων ἰότητι κατέφθιτο· οἱ δ᾽ ἀνὰ θυμὸν
τέρποντ᾽ εἰσορόωντες· ὁ δ᾽ ἄμπνυεν ἐκ κακότητος·
ἀχροίῃ γὰρ ἔρευθος ἐπήλυθεν, ἀργαλέῃ δὲ
ἀδρανίῃ μέγα κάρτος· ἀέξετο δ᾽ ἄψεα πάντα.
ὡς δ᾽ ὁπότ᾽ ἀλδαίνηται ἐπὶ σταχύεσσιν ἄρουρα,
ἥν, τὸ πάρος φθινύθουσαν, ἐπέκλυσε χείματος αἰνοῦ
ὄμβρος ἐπιβρίσας, ἡ δ᾽ ἀλθομένη ἀνέμοισι,
μειδιάα, τεθαλυῖα πολυκμήτῳ ἐν ἀλωῇ·
ὣς ἄρα τειρομένοιο Φιλοκτήταο πάροιθε
πᾶν δέμας αἶψ᾽ ἀνέθηλεν· ἐϋτροχάλῳ δ᾽ ἐνὶ κοίλῃ
κάλλιπε κήδεα πάντα, τά οἱ περιδάμνατο θυμόν.
Ἀτρεΐδαι δ᾽ ὁρόωντες ἅτ᾽ ἐκ θανάτου ἀνιόντα
ἀνέρα, θαυμάζεσκον· ἔφαντο γὰρ ἔμμεναι ἔργον

ἀθανάτων· τὸ δ᾽ ἄρ᾽ ἦεν ἐτήτυμον, ὡς ἐνόησαν·
καὶ γάρ οἱ μέγεθός τε, καὶ ἀγλαΐην κατέχευεν
ἐσθλὴ Τριτογένεια, φάνεν δέ ἑ, οἷος ἔην περ
τοπρὶν ἐν Ἀργείοισι, πάρος κακότητι δαμῆναι.
καὶ τότ᾽ ἄρ᾽ ἐς κλισίην Ἀγαμέμνονος ἀφνειοῖο
πάντες ὁμῶς οἱ ἄριστοι ἄγον Ποιάντιον υἷα·
καί μιν κυδαίνοντες, ἐπ᾽ εἰλαπίνῃσι γέραιρον.
ἀλλ᾽ ὅτε δὴ κορέσαντο ποτοῦ, καὶ ἐδητύος ἐσθλῆς,
δὴ τότε μιν προσέειπεν ἐϋμμελίης Ἀγαμέμνων·
Ὦ φίλ᾽, ἐπειδήπερ σὲ θεῶν ἰότητι πάροιθεν
Λήμνῳ ἐν ἀμφιάλῳ λίπομεν, βλαφθέντε νόημα, —
μηδ᾽ ἡμῖν χόλον αἰνὸν ἐνὶ φρεσὶ σῇσι βαλέσθαι·
οὐ γὰρ ἄνευ μακάρων τάδ᾽ ἐρέξαμεν, ἀλλά που αὐτοὶ
ἤθελον ἀθάνατοι νῶϊν κακὰ πολλὰ βαλέσθαι,
σεῦ ἀπὸ νόσφιν ἐόντος, ἐπεὶ περίοιδας ὀϊστοῖς
δυσμενέας δάμνασθαι, ὅτ᾽ ἀντία σεῖο μάχονται.
(ἀνδράσι γὰρ βιότοιο πολυπλάγκτοιο κέλευθοι)
πᾶσαν ἀν᾽ ἤπειρον, πέλαγός τ᾽ ἀνὰ μακρὸν, ἄϊστοι,
Μοιράων ἰότητι, πολυσχιδέες τε πέλονται,
πυκναί τε, σκολιαί τε, τετραμμέναι ἄλλυδις ἄλλῃ·
τῶν δὲ δι᾽ αἰζηοὶ φορέονθ᾽ ὑπὸ δαίμονος αἶσαν,
εἰδόμενοι φύλλοισιν ὑπὸ πνοίῃς ἀνέμοιο
σευομένοις· ἀγαθὸς δὲ κακῇ ἐνέκυρσε κελεύθῳ
πολλάκις· οὐκ ἐσθλὸς δ᾽ ἀγαθῇ· τὰς δ᾽ οὔτ᾽ ἀλέασθαι
οὔτ᾽ ἄρ ἑκὼν τις ἑλέσθαι ἐπιχθόνιος δύνατ᾽ ἀνήρ·
χρὴ δὲ σαόφρονα φῶτα, καὶ ἣν φορέῃθ᾽ ὑπ᾽ ἀέλλης
οἴμην ἀργαλέην, στερεῇ φρενὶ τλῆναι ὀϊζύν.
ἀλλ᾽ ἐπεὶ ἀασάμεσθα, καὶ ἠλίτομεν, τόδε ἔργον
ἐξαῦτις δώροισιν ἀρεσσόμεθ᾽ ἀπλήτοισι,

Τρώων ἥν ποθ᾽ ἕλωμεν ἐϋκτίμενον πτολίεθρον·
νῦν δὲ λάβ᾽ ἑπτὰ γυναῖκας, ἐείκοσι δ᾽ ὠκέας ἵππους
ἀθλοφόρους, τρίποδάς τε δυώδεκα· τοῖς ἐπὶ θυμὸν
τέρψεις ἤματα πάντα· καὶ ἐν κλισίῃσιν ἐμῇσιν
αἰεί τοι παρὰ δαιτὶ γέρας βασιλήϊον ἔσται.
Ὣς εἰπών, ἥρωϊ πόρεν περικαλλέα δῶρα·
τὸν δ᾽ ἄρα Ποίαντος προσέφη κρατερόφρονος υἱός·
Ὦ φίλος, οὔ τοι ἐγὼν ἔτι χώομαι, οὐδὲ μὲν ἄλλῳ
Ἀργείων, εἴπου τὶς ἔτ᾽ ἤλιτεν εἵνεκ᾽ ἐμεῖο.
οἶδα γάρ, ὡς στρεπτὸς πέλεται νόος ἀνδράσιν ἐσθλοῖς,
οὐδ᾽ αἰεὶ χαλεπὸν θέμις ἔμμεναι, οὐδ᾽ ἀσύφηλον·
ἀλλ᾽ ὅτὲ μὲν σμερδνὸν τελέθειν, ὅτὲ δ᾽ ἤπιον εἶναι.
νῦν δ᾽ ἴομεν ποτὶ κοῖτον, ἐπεὶ χατέοντι μάχεσθαι
βέλτερον ὑπνώειν, ἢ ἐπὶ πλέον εἰλαπινάζειν.
Ὣς εἰπών, ἀπόρουσε, καὶ ἐς κλισίην ἀφίκανε
σφῶν ἑτάρων· οἱ δ᾽ αἶψα φιλοπτολέμῳ βασιλῆϊ
εὐνὴν ἐντύνοντο, μέγα φρεσὶ καγχαλόωντες·
αὐτὰρ ὃγ᾽ ἀσπασίως κατελέξατο μέχρις ἐπ᾽ ἠῶ.
Νὺξ δ᾽ ἀνεχάσσατο δῖα· φάος δ᾽ ἐρύθηνε κολώνας
ἠελίου· καὶ πάντα βροτοὶ περιποίπνυον ἔργα.
Ἀργεῖοι δ᾽ ὀλοοῖο μέγ᾽ ἱέμενοι πολέμοιο,
οἱ μὲν δούρατα θῆγον ἐΰξοα· τοὶ δὲ βέλεμνα·
ἄλλοι δ᾽ αἰγανέας· ἅμα δ᾽ ἠοῖ δαῖτα πένοντο
αὐτοῖς ἠδ᾽ ἵπποισι· πάσαντο δὲ πάντες ἐδωδήν.
τοῖσιν δὴ Ποίαντος ἀμύμονος ὄβριμος υἱὸς
τοῖον ἔπος μετέειπεν, ἐποτρύνων πονέεσθαι·
Εἴδ᾽ ἄγε νῦν πολέμοιο μεδώμεθα· μή δέ τις ἡμέων
μιμνέτω ἐν νήεσσι, πάρος κλυτὰ τείχεα λῦσαι
Τροίης εὐπύργοιο, καταπρῆσαί τε πόλῃα.

Ὣς φάτο· τοῖσι δὲ θυμὸς ὑπὸ κραδίῃ μέγ' ἰάνθη·
δῦσαν δ' ἐν τεύχεσσι καὶ ἀσπίσιν· ἐκ δ' ἄρα νηῶν
πανσυδίῃ βελέεσσι κεκασμένοι ἐσσεύοντο,
καὶ βοέοις σακέεσσι, καὶ ἀμφιφάλοις κορύθεσσιν·
ἄλλος δ' ἄλλον ἔρειδε κατὰ στίχας· οὐδέ κε φαίης,
κείνων ἐσσυμένων ἑκὰς ἔμμεναι ἄλλον ἀπ' ἄλλου·
ὣς ἄρ' ἔσαν θαμινοὶ, καὶ ἀρηρότες ἀλλήλοισι.

---

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ' ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ Ι.

Τρῶες δ' αὖτ' ἔκτοσθεν ἔσαν Πριάμοιο πόληος
πάντες σὺν τεύχεσσι καὶ ἅρμασιν, ἠδὲ καὶ ἵπποις
ὠκυτάτοις· καῖον γὰρ ἀποκταμένους ἐνὶ χάρμῃ·
δειδιότες μὴ λαὸς ἐπιβρίσειεν Ἀχαιῶν.
τοὺς δ' ὡς οὖν ἐσίδοντο ποτὶ πτόλιν ἀΐσσοντας
ἐσσυμένως, κταμένοισι χυτὸν περὶ σῆμ' ἐβάλοντο,
σπερχόμενοι· δεινὸν γὰρ ὑποτρομέεσκον ἰδόντες.
τοῖσι δ' ἄρ', ἀχνυμένοισιν ὑπὸ φρεσὶ, μῦθον ἔειπε
Πουλυδάμας, ὁ γὰρ ἔσκε λίην πινυτὸς, καὶ ἐχέφρων·
Ὦ φίλοι, οὐκ' ἔτ' ἀνεκτὸς ἐφ' ἡμῖν μαίνεται Ἄρης·
ἀλλ' ἄγε δὴ φραζώμεθ' ὅπως πολέμοιό τι μῆχος
εὕρωμεν· Δαναοὶ γὰρ ἐπικρατέουσι μένοντες.
νῦν δ' ἄγε δὴ πύργοισιν ἐϋδμήτοις ἐπιβάντες,
μίμνωμεν νύκτας τε καὶ ἤματα δηριόωντες,
εἰσόκε δὴ Δαναοὶ Σπάρτην ἐρίβωλον ἵκωνται,
ἢ αὐτοῦ παρὰ τεῖχος ἀκηδήσωσι μένοντες,
ἀκλέες ἑζόμενοι· ἐπεὶ οὐ σθένος ἔσσεται αὐτῶν
ῥῆξαι τείχεα μακρὰ, καὶ εἰ μάλα πολλὰ κάμωσιν·
οὐ γὰρ ἀβληχρὰ θεοῖσι τετεύχαται ἄφθιτα ἔργα.

οὐδέ τί που βρώμης ἐπιδευόμεθ᾽, οὐδὲ ποτῆτος·
πολλὰ γὰρ ἐν Πριάμοιο πολυχρύσοιο μελάθροις
ἔμπεδον εἴδατα κεῖται, ἅπερ πολέεσσι καὶ ἄλλοις
πολλὸν ἐπὶ χρόνον ἔσσετ᾽ ἀγειρομένοισιν ἐδωδὴ
ἐς κόρον, εἰ καὶ ἔτ᾽ ἄλλος ἐελδομένοισιν ἵκηται
τρὶς τόσος ἐνθάδε λαὸς, ἀρηγέμεναι μενεαίνων.
Ὣς φάτο· τὸν δ᾽ ἐνένισπε θρασὺς πάϊς Ἀγχίσαο·
Πουλυδάμα, πῶς γάρ σε σαόφρονά φασι τετύχθαι,
ὃς κέλεαι ποτὶ δηρὸν ἀνὰ πτόλιν ἄλγεα πάσχειν;
οὐ γὰρ ἀκηδήσουσι πολὺν χρόνον ἐνθάδ᾽ Ἀχαιοὶ,
ἀλλά γ᾽ ἐπιβρίσουσιν, ἀλευομένους ἐσιδόντες·
νῶϊν δ᾽ ἔσσεται ἄλγος, ἀποφθιμένων ἐνὶ πάτρῃ,
ἤν πως ἐνθάδε πουλὺν ἔτι χρόνον ἀμφιμάχωνται.
οὐ γάρ τις Θήβηθε μελίφρονα σῖτον ὀπάσσει
ἧμιν, ἐπὴν εἰρχθῶμεν ἀνὰ πτόλιν· οὐδέ τις οἴσει
οἶνον Μαιονίηθεν· ἀνιηρῷ δ᾽ ὑπὸ λιμῷ
φθισόμεθ᾽ ἀργαλέως, εἰ καὶ μάλα τεῖχος ἀμύνει.
ἀλλ᾽ εἰ μὲν θάνατόν τε κακὸν καὶ Κῆρας ἀλύξαι,
μήδ᾽ ἄρ᾽ ὀϊζυρῶς θανέειν πολυάχθεϊ λιμῷ
μέλλομεν, εἰν ἔντεσσι σὺν ἡμετέροις τεκέεσσι
καὶ γεραροῖς πατέρεσσι μαχώμεθα· καί ῥά ποθι Ζεὺς
χραισμήσει· κείνου γὰρ ἀφ᾽ αἵματος εἰμὲν ἀγαυοῦ.
εἰ δέ τοι ἂρ κἀκείνῳ ἀπεχθόμενοι θανέωμεν,
εὐκλειῶς μέγ᾽ ὀλέσθαι ἀμυνομένους περὶ πάτρης
βέλτερον, ἢ μείναντας ὀϊζυρῶς ἀπολέσθαι.
Ὣς φάτο· τὸν δ᾽ ἄρα πάντες ἐπίαχον εἰσαΐοντες·
αἶψα δὲ δὴ κορύθεσσι, καὶ ἀσπίσι, καὶ δοράτεσσι
φράχθεν ἐπ᾽ ἀλλήλους. ἐπὶ δ᾽ ἀκαμάτου Διὸς ὄσσε
δέρκετ᾽ ἀπ᾽ Οὐλύμποιο κορυσσομένους ἐς Ἄρηα

Τρῶας ἐπ᾽ Ἀργείοισιν· ἔγειρε δὲ θυμὸν ἑκάστου,
ὄφρα μάχην ἀλίαστον ἐπ᾽ ἀμφοτέροισι τανύσσῃ
λαοῖς· ἦ γὰρ ἔμελλεν Ἀλέξανδρος θανέεσθαι
χερσὶ Φιλοκτήταο, πονεύμενος ἀμφ᾽ ἀλόχοιο.
Τοὺς δ᾽ ἄγεν εἰς ἕνα χῶρον Ἔρις μεδέουσα κυδοιμοῦ,
οὔτινι φαινομένη· περὶ γὰρ νέφος ἄμφεχεν ὤμοις
αἱματόεν· φοίτα δὲ μέγαν κλονέουσα κυδοιμὸν,
ἄλλοτε μὲν Τρώων ἐς ὁμήγυριν, ἄλλοτ᾽ Ἀχαιῶν·
τὴν δὲ Φόβος, καὶ Δεῖμος, ἀταρβέες ἀμφεπένοντο,
πατροκασιγνήτην κρατερόφρονα κυδαίνοντες.
ἡ δὲ μέγ᾽ ἐξ ὀλίγοιο κορύσσετο μαιμώωσα·
τεύχεα δ᾽ ἐξ ἀδάμαντος ἔχεν πεπαλαγμένα λύθρῳ,
πάλλε δὲ λοίγιον ἔγχος ἐς ἠέρα· τῆς δ᾽ ὑπὸ ποσσὶ
κίνυτο γαῖα μέλαινα· πυρὸς δ᾽ ἄμπνυεν ἀϋτμὴν
σμερδαλέον, μέγα δ᾽ αἰὲν ἀΰτεεν ὀτρύνουσα
αἰζηούς· οἱ δ᾽ αἶψα συνήϊον ὀτρύνοντες
ὑσμίνην· δεινὴ γὰρ ἄγεν θεὸς ἐς μέγα ἔργον.
τῶν δ᾽ ὥς που ἀνέμων ἰαχὴ πέλε λάβρον ἀέντων,
εἴαρος ἀρχομένου, ὅτε δένδρεα μακρὰ καὶ ὕλη
φύλλα φύει, ἠδ᾽ ὥστε δι᾽ ἀζαλέης ξυλόχοιο
πῦρ βρέμει αἰθόμενον, ἠδ᾽ ὡς μέγα πόντος ἀπείρων
μαίνεται ἐξ ἀνέμοιο δυσηχέος, ἀμφὶ δὲ ῥοῖβδος
γίγνετ᾽ ἀπειρέσιος, τρόμεει δ᾽ ὕπο γούνατα ναυτῶν·
ὣς τῶν ἐσσυμένων, μέγ᾽ ὑπέβραχε γαῖα πελώρη·
ἐν δέ σφιν πέσε δῆρις· ἐπ᾽ ἄλλον δ᾽ ἄλλος ὄρουσε.
Πρῶτος δ᾽ Αἰνείας Δαναῶν ἕλεν Ἁρπαλίωνα
υἱὸν Ἀριζήλοιο· τὸν Ἀμφινόμη τέκε μήτηρ
γῇ ἐνι Βοιωτῶν· ὁ δ᾽ ἅμα Προθοήνορι δίῳ
ἐς Τροίην ἵκανεν ἀμυνέμεν Ἀργείοισι.

τόν ῥα τότ' Αἰνείας ἁπαλὴν ὑπὸ νηδύα τύψας,
νοσφίσατ' ἐκ θυμοῖο, καὶ ἥδεος ἐκ βιότοιο·
τῷ δ' ἔπι Θερσάνδροιο δαΐφρονος υἷα δάμασσεν
Ὕλλον, εὐγλώχινι βαλὼν κατὰ λαιμὸν ἄκοντι,
ὃν τέκε δῖ' Ἀρέθουσα παρ' ὕδασι Ληθαίοιο
Κρήτῃ ἐν ἀμφιάλῳ· μέγα δ' ἤκαχεν Ἰδομενῆα.
Αὐτὰρ Πηλείδαο πάϊς δυοκαίδεκα φῶτας
Τρώων αὐτίκ' ὄλεσσεν ὑπ' ἔγχεϊ πατρὸς ἑοῖο·
Κέβρον μὲν πρῶτον, καὶ Ἀρίονα, Πασίθεόν τε,
Ὑσμινόν τε, καὶ Ἰμβράσιον, Χέδιόν τε, Φλέγην τε,
Μνήσαιόν τ' ἐπὶ τοῖσι, καὶ Εὔνομον, Ἀμφίνομόν τε,
καὶ Φάσιν, ἠδὲ Γαηνὸν, ὃς οἰκία ναιετάασκεν
Γαργάρῳ αἰπεινῇ· μετὰ δ' ἔπρεπε μαρναμένοισι
Τρωσὶν ἐρισθενέεσσι, κίεν δ' ἅμα πίονι λαῷ
ἐς Τροίην· μάλα γάρ οἱ ὑπέσχετο πολλὰ καὶ ἐσθλὰ
Δαρδανίδης Πρίαμος δώσειν περικαλλέα δῶρα·
νήπιος· οὐ γὰρ ἐφράσσαθ' ἑὸν μόρον· ἦ γὰρ ἔμελλεν
ἐσσυμένως ὀλέεσθαι ὑπ' ἀργαλέου πολέμοιο,
πρὶν δόμου ἐκ Πριάμοιο περικλυτὰ δῶρα φέρεσθαι.
Καὶ τότε Μοῖρ' ἀΐδηλος ἐπέτραπεν Ἀργείοισιν
Εὐρυμένην, ἕταρον κρατερόφρονος Αἰνείαο·
ὦρσε δέ οἱ μέγα θάρσος ὑπὸ φρένας, ὄφρα δαμάσσας
πολλοὺς, αἴσιμον ἦμαρ ἀναπλήσῃ ὑπ' ὀλέθρῳ.
δάμνατο δ' ἄλλοθεν ἄλλον, ἀνηλέϊ θηρὶ ἐοικώς·
οἱ δέ οἱ αἶψ' ὑπόεικον, ἐφ' ὑστατίῃ βιότοιο
αἰνὸν μαιμώωντι, καὶ οὐκ ἀλέγοντι μόθοιο.
καί νύ κεν ἔργον ἔρεξεν ἀπείριτον ἐν δαῒ κείνῃ,
εἰ μή οἱ χεῖρές τε κάμον, καὶ δούρατος αἰχμὴ
πολλὸν ἀνεγνάμφθη· ξίφεος δέ οἱ οὐκ ἔτι κώπη

ἔσθενεν, ἀλλά μιν αἶσα διέκλασε· τὸν δ' ὑπ' ἄκοντι
τύψε κατὰ στομάχοιο Μέγης· ἀνὰ δ' ἔβλυσεν αἷμα
ἐκ στόματος· τῷ δ' αἶψα σὺν ἄλγεϊ Μοῖρα παρέστη.
Τοῦ δ' ἄρ' ἀποκταμένοιο, δύω θεράποντες Ἐπειοῦ
Δηϊλέων τε, καὶ Ἀμφίων, ἄπο τεύχε' ἑλέσθαι
ὥρμαινον· τοὺς δ' αὖτε θρασὺ σθένος Αἰνείαο
δάμνατο μαιμώοντας ὀϊζυρῶς περὶ νεκρῷ.
ὡς δ' ὅτ' ἐν οἰνοπέδῳ τις ἐπαΐσσοντας ὀπώρῃ
σφῆκας τερσομένῃσι παρὰ σταφυλῇσι δαμάσσῃ,
οἱ δ' ἄρ' ἀποπνείουσι, πάρος γεύσασθαι ὀπώρης·
ὣς τοὺς αἶψ' ἐδάμασσε, πρὶν ἔντεα ληΐσσασθαι.
Τυδείδης δὲ Μένοντα, καὶ Ἀμφίνοον κατέπεφνεν,
ἄμφω ἀμύμονε φῶτε· Πάρις δ' ἕλε Δημολέοντα
Ἱππασίδην, ὃς πρόσθε Λακωνίδα γαῖαν ἔναιε
πὰρ προχοῇς ποταμοῖο βαθυῤῥόου Εὐρώταο,
ἤλυθε δ' ἐς Τροίην ὑπ' ἀρηϊθόῳ Μενελάῳ·
καί ῥ' ἓ Πάρις κατέπεφνε, τυχὼν ὑπὸ μαζὸν ὀϊστῷ
δεξιόν· ἐκ δέ οἱ ἦτορ ἀπὸ μελέων ἐκέδασσε.
Τεῦκρος δὲ Ζέχιν εἷλε περικλυτὸν, υἷα Μέδοντος,
ὃς ῥά τε ναιετάεσκεν ὑπὸ Φρυγίην πολύμηλον,
ἄντρον ὑπὸ ζάθεον καλλιπλοκάμων Νυμφάων,
ᾗχί ποτ' Ἐνδυμίωνα παρυπνώοντα βόεσσιν
ὑψόθεν ἀθρήσασα κατήλυθε δῖα Σελήνη
οὐρανόθεν· δριμὺς γὰρ ἄγεν πόθος ἠϊθέοιο,
ἀθανάτην πονέουσαν . . . . . ἧς ἔτι νῦν περ
εὐνῆς σῆμα τέτυκται ὑπὸ δρυσίν· ἀμφὶ δ' ἄρ' αὐτῇ
ἐκκέχυτ' ἐν ξυλόχοισι βοῶν γλάγος· οἱ δέ νυ φῶτες
θηεῦντ' εἰσέτι κεῖνο· τὸ γὰρ μάλα τηλόθι φαίης
ἔμμεναι εἰσορόων πολιὸν γάλα· κεῖνο δ' ἴησι

λευκὸν ὕδωρ, καὶ, βαιὸν ἀπόπροθεν ὁππόθ᾽ ἵκηται,
πήγνυται ἀμφὶ ῥέεθρα· πέλει δ᾽ ἄρα λάϊνον οὖδας.
Ἀλκαίῳ δ᾽ ἐπόρουσε Μέγης Φυλήϊος υἱός·
καί μιν ἀεὶ σπαίρουσαν ὑπὸ κραδίην ἐπέρησεν
ἐγχείῃ· τοῦ δ᾽ ὦκα λύθη πολυήρατος αἰών·
οὐδέ μιν ἐκ πολέμοιο πολυκλαύτοιο μολόντα,
καίπερ ἐελδόμενοι, μογεροὶ δέξαντο τοκῆες,
Φύλαϊς εὔζωνος καὶ Μάργασος, οἵ ῥ᾽ ἐνέμοντο
Ἁρπάσου ἀμφὶ ῥέεθρα διειδέος, οὗ ἀλεγεινῷ
Μαιάνδρῳ κελάδοντα ῥόον καὶ ἀπείριτον οἶδμα
συμφέρετ᾽, ἤματα πάντα λάβρῳ περὶ χεύματι θύων.
Γλαύκου δ᾽ ἐσθλὸν ἑταῖρον, ἐϋμμελίην Σκυλακῆα,
υἱὸς Ὀϊλῆος σχεδὸν οὔτασεν ἀντιόωντα,
βαιὸν ὑπὲρ σάκεος· διὰ δὲ πλατὺν ἤλασεν ὦμον
αἰχμὴ ἀνιηρή· περὶ δ᾽ ἔβλυσεν αἷμα βοείῃ.
ἀλλά μιν οὔτι δάμασσεν· ἐπεί ῥά ἑ μόρσιμον ἦμαρ
δέχνυτο νοστήσαντα φίλης παρὰ τείχεσι πάτρης.
εὖτε γὰρ Ἴλιον αἰπὺ θοοὶ διέπερσαν Ἀχαιοὶ,
δὴ τότ᾽ ἄρ᾽ ἐκ πολέμοιο φυγὼν, Λυκίην ἀφίκανεν
οἶος ἄνευ ἑτάρων· τὸν δ᾽ ἄστεος ἄγχι γυναῖκες
ἀγρόμεναι, τεκέων σφετέρων ὕπερ, ἠδὲ καὶ ἀνδρῶν,
εἴρονθ᾽· ὃς δ᾽ ἄρα τῇσι μόρον κατέλεξεν ἁπάντων·
αἱ δ᾽ ἄρα χερμαδίοισι περισταδὸν ἀνέρα κεῖνον
δάμναντ᾽, οὐδ᾽ ἀπόνητο μολὼν ἐς πατρίδα νόστου,
ἀλλά ἑ λᾶες ὕπερθε μέγα στενάχοντα κάλυψαν·
καί ῥά οἱ ἐκ βελέων ὀλοὸς περὶ τύμβος ἐτύχθη
πὰρ τέμενος καὶ σῆμα κραταιοῦ Βελλεροφόντου,
τῷ ἔνι, κυδαλίμης Τιτηνίδος ἀγχόθι πέτρης.
ἀλλ᾽ ὁ μὲν, αἴσιμον ἦμαρ ἀναπλήσας ὑπ᾽ ὀλέθρου,

ὕστερον ἐννεσίῃσιν ἀγανοῦ Λητοΐδαο
τίεται ὥστε θεὸς, φθινύθει δέ οἱ οὔποτε τιμή.
Ποίαντος δ' ἐπὶ τοῖσι πάϊς κτάνε Δηϊονῆα,
ἠδ' Ἀντήνορος υἱὸν ἐΰμμελίην Ἀκάμαντα·
ἄλλων δ' αἰζηῶν ὑπεδάμνατο πουλὺν ὅμιλον·
θῦνε γὰρ ἐν δηΐοισιν ἀτειρέϊ ἶσος Ἄρηϊ,
ἢ ποταμῷ κελάδοντι, ὅς ἕρκεα μακρὰ δαΐζει
πλημμύρων, ὅτε λάβρον ὀρινόμενος περὶ πέτρης,
ἐξ ὀρέων ἀλεγεινὰ μεμιγμένος ἔρχεται ὄμβρῳ,
ἀέναός περ ἐὼν καὶ ἀγάῤῥοος, οὐδέ νυ τόν γε
εἴργουσιν προβλῆτες, ἀάσπετα παφλάζοντα·
ὣς οὔτις Ποίαντος ἀγακλειτοῦ θρασὺν υἷα
ἔσθενεν ὀφθαλμοῖσιν ἰδὼν καὶ ἄπωθε πελάσσαι.
ἐν γάρ οἱ στέρνοισι μένος περιώσιον ἦεν·
τεύχεσι δ' ἀμφεκέκαστο δαΐφρονος Ἡρακλῆος
δαιδαλέοις· περὶ γάρ οἱ ἐνὶ ζωστῆρι φαεινῷ
ἄρκτοι ἔσαν βλοσυραὶ καὶ ἀνοιδέες· ἀμφὶ δὲ θῶες
σμερδαλέοι, καὶ λυγρὰν ὑπ' ὀφρύσι μειδιόωσαι
παρδάλιες· τῶν δ' ἄγχι λύκοι ἔσαν ὀβριμόθυμοι,
καὶ σύες ἀργιόδοντες, ἐΰσθενέες τε λέοντες,
ἐκπάγλως ζωοῖσιν ἐοικότες· ἀμφὶ δὲ πάντη
ὑσμῖναι ἐνέκειντο μετ' ἀργαλέοιο φόνοιο.
δαίδαλα μέν οἱ τόσσα περὶ ζωστῆρα τέτυκτο·
ἄλλα δέ οἱ γωρυτὸς ἀπείριτος ἀμφεκέκαστο·
ἐν μὲν ἔην Διὸς υἱὸς ἀελλοπόδης Ἑρμείης
Ἰνάχου ἀμφὶ ῥέεθρα κατακτείνων μέγαν Ἄργον·
Ἄργον, ὅς ὀφθαλμοῖσιν ἀμοιβαδὸν ὑπνώεσκεν·
ἐν δὲ βίη Φαέθοντος, ἀνὰ ῥόον Ἠριδανοῖο
βλήμενος ἐκ δίφροιο· καταιθομένης δ' ἄρα γαίης,

ὥς ἐτεὸν καύσαιτο, μέγας ἐνὶ ἠέρι καπνός·
Περσεὺς δ' ἀντίθεος βλοσυρὴν ἐδάϊζε Μέδουσαν,
ἄστρων ἧχι λοετρὰ πέλει, καὶ τέρματα γαίης,
πηγαί δ' ὠκεανοῖο βαθυῤῥόου, ἔνθ' ἀκάμαντι
ἠελίῳ δύνοντι συνέρχεται ἑσπερίη νύξ.
ἐν δὲ καὶ ἀκαμάτοιο μέγας πάϊς Ἰαπετοῖο
Καυκάσου ἠλιβάτοιο παρῃώρητο κολώνῃ,
δεσμῷ ἐν ἀῤῥήκτῳ· κεῖρεν δέ οἱ αἰετὸς ἧπαρ
αἰὲν ἀεξόμενον· ὃ δ' ἄρα στενάχοντι ἐῴκει.
καὶ τὰ μὲν ἄρ τεύξαντο κλυταὶ χέρες Ἡφαίστοιο
ὀβρίμῳ Ἡρακλῆϊ· ὁ δ' ὤπασε παιδὶ φορῆναι
Ποίαντος, μάλα γάρ οἱ ὁμωρόφιος φίλος ἦεν.
Αὐτὰρ ὁ κυδιόων ἐν τεύχεσι, δάμνατο λαούς·
ὀψὲ δέ οἱ μετόρουσε Πάρις, στονόεντας ὀϊστοὺς
νωμῶν ἐν χείρεσσι μετὰ γναμπτοῖο βιοῖο
θαρσαλέως· τῷ γάρ ῥα συνήϊεν ὕστατον ἦμαρ·
ἧκε δ' ἀπὸ νευρῆφι θοὸν βέλος· ἣ δ' ἰάχησεν,
ἰοῦ ἀπεσσυμένοιο. ὁ δ' οὐχ ἅλιον φύγε χειρῶν·
ἀλλ' αὐτοῦ μὲν ἅμαρτεν, ἀλευομένου μάλα τυτθὸν,
καί ῥ' ἔβαλεν Κλεόδωρον, ἀγακλειτόν περ ἐόντα,
βαιὸν ὑπὲρ μαζοῖο, διήλασε δ' ἄχρις ἐς ὦμον·
οὐ γάρ ἔχεν σάκος εὐρὺ, τό οἱ λυγρὸν ἔσχεν ὄλεθρον·
ἀλλ' ὅγε γυμνὸς ἐὼν, ἀνεχάζετο· τοῦ γὰρ ἀπ' ὤμων
Πουλυδάμας ἀπάραξε σάκος, τελαμῶνα δαΐξας
βουπλῆγι στιβαρῷ· ὁ δ' ἐχάσσατο μαρνάμενός περ
αἰχμῇ ἀνιηρῇ· στονόεις δέ οἱ ἔμπεσεν ἰὸς
ἄλλοθεν ἀΐξας· ὣς γάρ νύ που ἤθελε δαίμων
θήσειν αἰνὸν ὄλεθρον ἐΰφρονος υἷϊ Λέρνου,
ὃν τέκετ' Ἀμφιάλη Ῥοδίων ἐν πίονι γαίῃ.

Τὸν δ' ὡς οὖν ἐδάμασσε Πάρις στονόεντι βελέμνῳ,
δὴ τότε δὴ Ποίαντος ἀμύμονος ὄβριμος υἱὸς
ἐμμεμαὼς, θοὰ τόξα τιταίνων οἱ μέγ' ἄϋτει·
Ὦ κύον, ὥς σοὶ ἔγωγε φόνον καὶ κῆρ' ἀΐδηλον
δώσω, ἐπεί νύ μοι ἄντα λιλαίεαι ἰσοφαρίζειν.
καί κεν ἀναπνεύσουσιν, ὅσοι σέθεν εἵνεκα λυγρῷ
τείροντ' ἐν πολέμῳ· τάχα γὰρ λύσις ἔσσετ' ὀλέθρου,
ἐνθάδε σεῖο θανόντος, ἐπεί σφισι πῆμα τέτυξαι.
Ὣς εἰπὼν, νευρὴν τάχ' ἐΰστροφον ἀγχόθι μαζοῦ
εἴρυσε· κυκλώθη δὲ κέρας, καὶ ἀμείλιχος ἰὸς
ἰθύνθη, τόξον δ' αἰεὶ ὑπέρεσχεν ἀκωκὴ
τυτθὸν ὑπ' αἰζηοῖο βίῃ· μέγα δ' ἔβραχε νευρὴ,
ἰοῦ ἀπεσσυμένοιο δυσηχέος· οὐδ' ἀφάμαρτε
δῖος ἀνήρ. τοῦ δ' οὔτι λύθη κέαρ, ἀλλ' ἔτι θυμῷ
ἔσθενεν· οὐ γάρ οἱ τότε καίριος ἔμπεσεν ἰὸς,
ἀλλὰ παρέθρισε φωτὸς ἐπιγράβδην χρόα καλόν.
ἐξαῦτις δ' ὅγε τόξα τιτύσκετο· τὸν δὲ παραφθὰς,
ἰῷ εὐγλώχινι βάλεν βουβῶνος ὕπερθε
Ποίαντος φίλος υἱός· ὁ δ' οὐκ ἔτ' ἔμιμνε μάχεσθαι,
ἀλλὰ θοῶς ἀπόρουσε, κύων ὥς, εὖτε λέοντα
ταρβήσας χάσσηται, ἐπεσσύμενος τοπάροιθεν·
ὣς ὅγε λευγαλέῃσι πεπαρμένος ἦτορ ἀνίῃς
χάζετ' ἀπὸ πτολέμοιο. συνεκλονέοντο δὲ λαοὶ,
ἀλλήλους ὀλέκοντες· ἐν αἵματι δ' ἔπλετο δῆρις
κτεινομένων ἑκάτερθε· νεκροὶ δ' ἐπέκειντο νέκυσσι
πανσυδίῃ, ψεκάδεσσιν ἐοικότες, ἠὲ χαλάζῃ,
ἢ χιόνος νιφάδεσσιν, ὅτ' οὔρεα μακρὰ καὶ ὕλην
Ζηνὸς ὑπ' ἐννεσίῃ ζέφυρος καὶ χεῖμα παλύνει·
ὣς οἵγ' ἀμφοτέρωθεν ἀνηλεῖ Κηρὶ δαμέντες,

ἀθρόοι ἀλλήλοισι δεδουπότες, ἀμφεχέοντο.
Αἰνὰ δ' ἀνεστενάχιζε Πάρις· περὶ δ' ἕλκεϊ θυμὸν
τείρετο· τὸν δ', ἀλύοντα μέγ', ἄμφεπον ἰητῆρες·
Τρῶες δ' εἰς ἑὸν ἄστυ κίον· Δαναοὶ δ' ἐπὶ νῆας
κυανέας ἀφίκοντο θοῶς· τοὺς γάρ ῥα κυδοιμοῦ
νὺξ ἀπέπαυσε μέλαινα, μόγον δ' ἐξείλετο γυίων,
ὕπνον ἐπὶ βλεφάροισι, πόνου ἀλκτῆρα, χέασα.
ἀλλ' οὐχ ὕπνος ἔμαρπτε θοὸν Πάριν ἄχρις ἐς ἠῶ·
οὐ γάρ οἵ τις ἄλαλκε, λιλαιομένων περ ἀμύνειν
παντοίοις ἀκέεσσιν, ἐπεί ῥά οἱ αἴσιμον ἦεν
Οἰνώνης ὑπὸ χερσὶ μόρον καὶ κῆρας ἀλύξαι,
ἢν ἐθέλῃ· ὁ δ' ἄρ' αἶψα, θεοπροπίῃσι πιθήσας,
ἤϊεν οὐκ ἐθέλων· ὀλοὴ δέ μιν ἦγεν ἀνάγκη
κουριδίης εἰς ὦπα. λυγροὶ δέ μιν ἀντιόωντες
κακκορυφῆς ὄρνιθες ἄϋτεον, οἱ δ' ἀνὰ χεῖρα
σκαιὴν ἀΐσσοντες· ὁ δὲ σφεας ἄλλοτε μέν που
δείδιεν εἰσορόων, ὁτὲ δ' ἀκράαντα πέτεσθαι
ἔλπετο· τοὶ δέ οἱ αἰνὸν ὑπ' ἄλγεσι φαῖνον ὄλεθρον.
ἷξε δ' ἐς Οἰνώνην ἐρικυδέα· τὸν δ' ἐσιδοῦσαι
ἀμφίπολοι, θάμβησαν ἀολλέες, ἠδὲ καὶ αὐτὴ
Οἰνώνη· ὁ δ' ἄρ' αἶψα πέσεν παρὰ ποσσὶ γυναικός,

— — — — —

ἀμφὶ μέλαιν' ἐφύπερθε, καὶ ἔνδοθι μέχρις ἱκέσθαι
μυελὸν ἐς λιπόωντα δι' ὀστέου, οὕνεκα νηδὺν
φάρμακον αἰνὸν ἔπυθε κατ' οὐταμένου χρόα φωτός·
τείρετο δὲ στυγερῇ βεβλημένος ἦτορ ἀνίῃ.
ὡς δ' ὅτε τις νούσῳ, καὶ ἀργαλέῃ μέγα δίψῃ
αἰθόμενος κραδίην, ἀδινὸν κέαρ αὐαίνηται,
ὅν τε περιζείουσα χολὴ φλέγει, ἀμφὶ δὲ νωθὴς

ψυχή οἱ πεπότητ' ἐπὶ χείλεσιν αὐαλέοισιν,
ἀμφότερον, βιότου τε, καὶ ὕδατος ἱμείρουσα·
ὣς τοῦ ὑπὸ στέρνοισι καταίθετο θυμὸς ἀνίῃ·
καί ῥ' ὀλιγοδρανέων, τοῖον ποτὶ μῦθον ἔειπεν·
Ὦ γύναι αἰδοίη, μὴ δή νύ με τειρόμενόν περ
ἐχθήρῃς, ἐπεὶ ἄρ σε πάρος λίπον ἐν μεγάροισι
χήρην, οὐκ ἐθέλων περ· ἄγον δέ με Κῆρες ἄφυκτοι
εἰς Ἑλένην, ἧς εἴθε πάρος λεχέεσσι μιγῆναι,
σῇσιν ἐν ἀγκοίνῃσι θανὼν, ἀπὸ θυμὸν ὄλεσσα.
ἀλλ' ἄγε, πρός σε θεῶν, οἵ τ' οὐρανὸν ἀμφινέμονται,
πρός τε τεῶν λεχέων, καὶ κουριδίης φιλότητος,
ἤπιον ἔνθεο θυμόν· ἄχος δ' ἀλεγεινὸν ἄλαλκε,
φάρμακ' ἀλεξήσοντα καθ' ἕλκεος οὐλομένοιο
θεῖσα, τά μοι μεμόρηται ἀπωσέμεν ἄλγεα θυμοῦ,
ἢν ἐθέλῃς· σῇσιν γὰρ ἐπὶ φρεσὶν, εἴτε σαῶσαι
μήδεαι ἐκ θανάτοιο δυσήχεος, εἴτε καὶ οὐκί·
ἀλλ' ἐλέαιρε τάχιστα, καὶ ὠκυμόρων σθένος ἰῶν
ἐξάκεσ', ὥς μοι ἔτ' ἀμφὶ μένος καὶ γυῖα τέθηλε·
μὴ δέ τί με, ζήλοιο λυγροῦ μεμνημένη ἔμπης,
καλλείψῃς θανέεσθαι ἀμειλίκτῳ ὑπὸ πότμῳ,
πὰρ ποσὶ σοῖσι πεσόντα· Λιταῖς δ' ἀποθύμια ῥέξεις,
αἵ ῥα καὶ αὐταὶ Ζηνὸς ἐριγδούποιο θύγατρες
εἰσὶ, καὶ ἀνθρώποισιν ὑπερφιάλοις κοτέουσαι,
ἐξόπιθε στονόεσσαν ἐπιθύνουσιν Ἐριννὺν,
καὶ χόλον. ἀλλὰ σὺ, πότνα, κακὰς ἀπὸ Κῆρας ἔρυκε
ἐσσυμένως, εἰ καί τι παρήλιτον ἀφραδίῃσιν.
Ὣς ἄρ' ἔφη· τῆς δ' οὔτι φρένας πυρέπεισε κελαινὰς,
ἀλλά ἑ κερτομέουσα, μέγ' ἀχνύμενον προσέειπεν·
Τίπτε μοι εἰλήλουθας ἐναντίον, ἥν ῥα πάροιθεν

κάλλιπες ἐν μεγάροισι, μέγ' ἄσπετα κωκύουσαν,
εἵνεκα Τυνδαρίδος πολυκήδεος, ᾗ παριαύων,
τέρπεο καγχαλόων, ἐπειὴ πολὺ φερτέρη ἐστὶν
τῆς σέο κουριδίης· τὴν γὰρ φάτις ἔμμεν ἀγήρω·
κείνην ἐσσυμένως γουνάζεο, μηδέ νύ μοί περ
δακρυόεις ἐλεεινὰ καὶ ἀλγινόεντα παραύδα.
αἲ γάρ μοι μέγα θηρὸς ὕπαὶ κραδίῃ μένος εἴη
δαρδάψαι σέο σάρκας, ἔπειτα δέ θ' αἷμα λαφύξαι·
οἷά με πήματ' ἔοργας, ἀτασθαλίῃσι πιθήσας.
σχέτλιε, ποῦ νύ τοι ἐστὶν ἐΰστέφανος Κυθέρεια;
πῆ δὲ πέλει γαμβροῖο λελασμένος ἀκάματος Ζεύς;
τοὺς ἔχ' ἀοσσητῆρας· ἐμῶν δ' ἀπὸ τῆλε μελάθρων
χάζεο, καὶ μακάρεσσι καὶ ἀνδράσι πῆμ' ἀλεγεινόν.
σεῖο γὰρ εἵνεκ', ἀλιτρὲ, καὶ ἀθανάτους ἕλε πένθος,
τοὺς μὲν ἐφ' υἱωνοῖς, τοὺς δ' υἱάσιν ὀλλυμένοισιν.
ἀλλά μοι ἔῤῥε δόμοιο, καὶ εἰς Ἑλένην ἀφίκανε,
ᾗς σε χρεὼν, νυκτός τε καὶ ἤματος ἀσχαλόωντα,
τρύζειν πὰρ λεχέεσσι, πεπαρμένον ἄλγεϊ λυγρῷ,
εἰσόκε σ' ἰήνειεν ἀνιηρῶν ὀδυνάων.
Ὣς φαμένη, γοόωντα φίλων ἀπέπεμπε μελάθρων·
νηπίη· οὐδ' ἄῤ' ἐφράσσαθ' ἑὸν μόρον· ἦ γὰρ ἔμελλον,
κείνου ἀποφθιμένοιο, καὶ αὐτῇ Κῆρες ἕπεσθαι
ἐσσυμένως· ὣς γάρ οἱ ἐπέκλωσεν Διὸς αἶσα.
τὸν δ' ἄρ ἐπεσσύμενον λασίης ὕπερ ἄκριας Ἴδης,
λυγρὸν ἐπισκάζοντα, καὶ ἀχνύμενον μέγα θυμῷ,
Ἥρη τ' εἰσενόησε, καὶ ἄμβροτον ἦτορ ἰάνθη,
ἑζομένη κατ' Ὄλυμπον, ὅπη Διὸς ἔπλετ' ἀλωή·
καί ῥά οἱ ἀμφίπολοι πίσυρες σχεδὸν ἑδριόωντο,
τάς ποτ' ἄῤ' Ἠελίῳ χαροπὴ δμηθεῖσα Σελήνη

γείνατ᾽ ἀν᾽ οὐρανὸν εὐρὺν, ἀτειρέας, οὐδὲν ὁμοίας
ἀλλήλαις· μορφῇ δὲ διέκριθεν ἄλλη ἀπ᾽ ἄλλης·
[ἡ δ᾽ ἑτέρη, χειμῶνι καὶ αἰγοκερῆϊ μέμηλε·]
τέτρασι γὰρ μοίρῃσι βροτῶν διαμείβεται αἰὼν,
ἃς κεῖναι ἐφέπουσιν ἀμοιβαδόν· ἀλλὰ τὰ μέν που
αὐτῷ Ζηνὶ μέλοιτο κατ᾽ οὐρανόν· αἱ δ᾽ ὀάριζον
ὅππως λοίγιος Αἶσα περὶ φρεσὶν οὐλομένῃσι
μήδετο, Τυνδαρίδος στυγερὸν γάμον ἐντύνουσα
Δηϊφόβῳ, καὶ μῆτιν ἀνιηρὴν Ἑλένοιο,
καὶ χόλον ἀμφὶ γυναικός· ὅπως τέ μιν υἷες Ἀχαιῶν
ἤμελλον μάρψαντες ἐν ὑψηλοῖσιν ὄρεσσι,
χωόμενον Τρώεσσι, θοὰς ἐπὶ νῆας ἄγεσθαι·
ὥς τε, οἱ ἐννεσίῃσι, κραταιοῦ Τυδέος υἱὸς,
ἑσπομένου Ὀδυσῆος, ὑπὲρ μέγα τεῖχος ὀρούσας,
Ἀλκαθόῳ στονόεντα φέρειν ἤμελλεν ὄλεθρον,
ἁρπάξας ἐθέλουσαν ἐΰφρονα Τριτογένειαν,
ἥ τ᾽ ἔρυμα πτόλιός τε, καὶ αὐτῶν ἔπλετο Τρώων·
οὐδὲ γὰρ οὐδὲ θεῶν τις ἀπειρέσιον χαλεπήνας
ἔσθενεν ὄλβιον ἄστυ διαπραθέειν Πριάμοιο,
ἀθανάτης ἔμπροσθεν ἀκηδέος ἐμβεβαυίας·
οὐδέ οἱ ἄμβροτον εἶδος ἐτεκτήναντο σιδήρῳ
ἀνέρες, ἀλλά μιν αὐτὸς ἀπ᾽ Οὐλύμποιο Κρονίων
κάββαλεν ἐς Πριάμοιο πολυχρύσοιο πύληα.

Καὶ τὰ μὲν ὧς ὀάριζε Διὸς δάμαρ ἀμφιπόλοισιν,
ἄλλα δὲ πόλλ᾽ ἐπὶ τοῖσι. Πάριν δ᾽ ἄρα θυμὸς ἐν Ἴδῃ
κάλλιπεν, οὐδ᾽ Ἑλένη μιν ἐσέδρακε νοστήσαντα.
ἀμφὶ δέ μιν Νύμφαι μέγ᾽ ἐκώκυον, οὕνεκ᾽ ἄρ᾽ αὐτοῦ
εἰσέτι που μέμνηντο κατὰ φρένας, ὅσσα πάροιθεν
ἐξέτι νηπιάχοιο συναγρομένης ὀάριζε·

σὺν δέ σφι μύροντο βοῶν θοοὶ ἀγροιῶται,
ἀχνύμενοι κατὰ θυμόν· ἐπεστενάχοντο δὲ βῆσσαι.
Καὶ τότε δὴ Πριάμοιο πολυτλήτοιο γυναικὶ
δεινὸν Ἀλεξάνδροιο μόρον φάτο βουκόλος ἀνήρ·
τῆς δ' ἄφαρ, ὡς ἐσάκουσε, τρόμῳ περιπάλλετο θυμὸς
γυῖα δ' ὑπεκλάσθησαν· ἔπος δ' ὀλοφύρατο τοῖον·
Ὤλεό μοι, φίλε τέκνον· ἐμοὶ δ' ἐπὶ πένθεϊ πένθος
κάλλιπες αἰὲν ἄφυκτον, ἐπεὶ πολὺ φέρτατος ἄλλων
παίδων ἔσκες ἐμεῖο, μεθ' Ἕκτορα· τῷ νύ σε λυγρὴ
κλαύσομαι, εἰσόκε μοι κραδίῃ ἐνὶ πάλλεται ἦτορ·
οὐ γὰρ ἄνευ μακάρων τάδε πάσχομεν, ἀλλά τις Αἶσα
μήδετο λοίγια ἔργα, τὰ μὴ ὄφελον ἐνόησα,
ἀλλ' ἔθανον προπάροιθεν ἐν εἰρήνῃ τε, καὶ ὄλβῳ,
ἐλπομένη καὶ ἔτ' ἄλλα κακώτερα θηήσασθαι,
παῖδας μὲν κταμένους, κεραϊζομένην δὲ πόληα,
καὶ πυρὶ δαιομένην Δαναῶν ὑπὸ καρτεροθύμων·
σύν τε νυοὺς, θύγατράς τε, μετὰ Τρῳῇσι καὶ ἄλλαις,
ἑλκομένας ἅμα παισὶ, δορυκτήτῳ ὑπ' ἀνάγκῃ.
Ὣς φάτο κωκύουσα· πόσις δέ οἱ οὔ τι πέπυστο·
ἀλλ' ὅ γὰρ Ἕκτορος ἦστο τάφῳ ἐπὶ δάκρυα χεύων,
οὕνεκ' ἄριστος ἔην, καὶ ἐρύετο δούρατι πάτρην·
τοῦ περὶ πευκαλίμας ἀχέων φρένας, οὔ τι πέπυστο.
Ἀλλ' Ἑλένη μάλα πολλὰ διηνεκέως γοόωσα,
ἄλλα μὲν ἐν Τρώεσσιν ἀΰτεεν, ἄλλα δέ οἱ κῆρ
ἐν κραδίῃ μενέαινε· φίλον δ' ἀνὰ θυμὸν ἔειπεν·
Ἆνερ, ἐμοὶ, καὶ Τρωσὶ, καί οἱ αὐτῷ μέγα πῆμα,
ὤλεο λευγαλέως· ἐμὲ δ' ἐν στυγερῇ κακότητι
κάλλιπες, ἐλπομένην ὀλοώτερα πήματ' ἰδέσθαι·
ὡς ὄφελόν μ' Ἅρπυιαι ἀνηρείψαντο πάροιθεν,

ὁππότε σοι ἑπόμην ὀλοῇ ὑπὸ δαίμονος αἴσῃ·
νῦν δ' ἄρα καί σοι πῆμα θεοὶ δόσαν, ἠδ' ἐμοὶ αὐτῇ
αἰνομόρῳ· πάντες δέ με ἄσπετον ἐῤῥίγασι,
πάντες δ' ἐχθαίρουσιν ἐμὸν κέαρ· οὐδέ πη οἶδα
ἐκφυγέειν· εἰ γάρ κε φύγω Δαναῶν ἐς ὅμιλον,
αὐτίκ' ἀεικίσσουσιν ἐμὸν δέμας· εἰ δέ κε μίμνω,
Τρωαὶ καὶ Τρῶές με, περισταδὸν ἄλλοθεν ἄλλαι,
αἶψα διαῤῥαίσουσι· νέκυν δ' οὐ γαῖα καλύψει,
ἀλλὰ κύνες δάψουσι, καὶ οἰωνῶν θοὰ φῦλα·
ὡς ὄφελόν μ' ἐδάμασσα πάρος τάδε πήματ' ἰδέσθαι.
Ὣς ἔφατ', οὐ γοόωσα πόσιν τόσσον, ὅσον αἰνῆς
μύρετ' ἀλιτροσύνης μεμνημένη. ἀμφὶ δὲ Τρωαὶ,
ὡς κείνη, στενάχοντο· μετὰ φρεσὶ δ' ἄλλα μενοίνων·
αἱ μὲν ὑπὲρ τοκέων, μεμνημέναι, ἠδὲ καὶ ἀνδρῶν,
αἱ δ' ἄρ' ὑπὲρ παίδων, ἠδὲ γνωτῶν ἐριτίμων.
Οἴη δ' ἐκ θυμοῖο δαΐζετο κυδαλίμοιο
Οἰνώνη· ἀλλ' οὔτι μετὰ Τρωῇσιν ἐοῦσα
κώκυσεν, ἀλλ' ἀπάνευθεν ἐνὶ σφετέροισι μελάθροις
κεῖτο βαρυστενάχουσα παλαιοῦ λέκτρον ἀκοίτεω.
οἵη δ' ἐν ξυλόχοισι περιτρέφεται κρύσταλλος
αἰπυτάτων ὀρέων, ἥ τ' ἄγκεα πολλὰ παλύνει
χευαμένη ζεφύροιο καταιγίσιν· ἀμφὶ δὲ μακραὶ
ἄκριες ὑδρηλῇσι κατειβόμεναι λιβάδεσσι
σεύονθ', ἡ δὲ νάπῃσιν, ἀπειρεσίη περ ἐοῦσα,
πίδακος ἐσσυμένης κρυερὸν περιτήκεται ὕδωρ·
ὣς ἥ γ' ἀσχαλόωσα μέγα στυγερῇ ὑπ' ἀνίῃ
τήκετ', ἀκηχεμένη πόσιος περὶ κουριδίοιο·
αἰνά τ' ἀναστενάχουσα, φίλον προσελέξατο θυμόν·
Ὤ μοι ἀτασθαλίης, ὤ μοι στυγεροῦ βιότοιο,

ἢ πόσιν ἀμφαγάπησα δυσάμμορος, ᾧ σὺν ἐώλπειν
γήραϊ τειρομένη βιότου κλυτὸν οὐδὸν ἱκέσθαι,
αἰὲν ὁμοφρονέουσα· θεοὶ δ' ἑτέρωσε βάλοντο·
ὥς μ' ὄφελόν ποτε Κῆρες ἀνηρείψαντο μέλαιναι,
ὁππότε νόσφιν ἔμελλον Ἀλεξάνδροιο πέλεσθαι·
ἀλλὰ καὶ εἰ ζωός μ' ἔλιπεν, μέγα τλήσομαι ἔργον,
ἀμφ' αὐτῷ θανέειν, ἐπεὶ οὔτι μοι εὔαδεν ἠώς.
Ὣς φαμένης ἐλεεινὰ κατὰ βλεφάρων ἐχέοντο
δάκρυα, κουριδίοιο δ' ἀναπλήσαντος ὄλεθρον
μνωομένη, ἅτε κηρὸς ὕπαὶ πυρὶ, τήκετο λάθρῃ·
ἅζετο γὰρ πατέρα σφὸν, ἰδ' ἀμφιπόλους ἐϋπέπλους,
μέχρις ἐπὶ χθόνα δῖαν ἀπ' εὐρέος ὠκεανοῖο
νὺξ ἐχύθη, μερόπεσσι λύσιν καμάτοιο φέρουσα.
καί ῥα τόθ', ὑπνώοντος ἐνὶ μεγάροισι τοκῆος
καὶ δμώων, πυλεῶνας ἀναῤῥήξασα μελάθρων,
ἔκθορεν, ἠΰτ' ἄελλα· φέρον δέ μιν ὠκέα γυῖα.
ὡς δ' ὅτ' ἀν' οὔρεα πόρτιν, ἐρασσαμένην μέγα ταύρου,
θυμὸς ἐποτρύνει ποσὶ καρπαλίμοισι φέρεσθαι
ἐσσυμένως, ἡ δ' οὔτι, λιλαιομένη φιλότητος,
ταρβεῖ βουκόλον ἄνδρα, φέρει δέ μιν ἄσχετος ὁρμὴ,
εἴ που ἐνὶ ξυλόχοισιν ὁμήθεα ταῦρον ἴδοιτο·
ὣς ἥ, ῥίμφα θέουσα, διήνυε μακρὰ κέλευθα,
διζομένη τάχα ποσσὶ πυρῆς ἐπιβήμεναι αἰνῆς·
οὐδέ τί οἱ κάμε γούνατ'· ἐλαφρότεροι δ' ἐφέροντο
ἐσσυμένως πόδες αἰέν· ἔπειγε γὰρ οὐλομένη Κὴρ,
καὶ Κύπρις· οὐδέ τι θῆρας ἐδείδιε λαχνήεντας,
ἀντομένη ὑπὸ νύκτα, πάρος μέγα πεφρικυῖα·
πᾶσα δέ οἱ λασίων ὀρέων ἐστείβετο πέτρη,
καὶ κρημνοὶ, πᾶσαι δὲ διεπρήσσοντο χαράδραι.

τὴν δέ που εἰσορόωσα τόθ' ὑψόθι δῖα Σελήνη
μνησαμένη κατὰ θυμὸν ἀμύμονος Ἐνδυμίωνος,
πολλὰ μάλ' ἐσσυμένην ὀλοφύρατο· καί οἱ ὕπερθε
λαμπρὸν παμφαίνουσα, μακρὰς ἀνέφαινε κελεύθους.
ἵκετο δ' ἐμβεβαυῖα δι' οὔρεος, ἧχι καὶ ἄλλαι
νύμφαι Ἀλεξάνδροιο μακρὸν πέρι κωκύεσκον.
τὸν δ' ἔτι που κρατερὸν πῦρ ἄμφεχεν, οὕνεκ' ἄρ' αὐτῷ
μηλονόμοι ξυνιόντες ἀπ' οὔρεος ἄλλοθεν ἄλλοι
ὕλην θεσπεσίην παρενήνεον, ἦρα φέροντες
ὑστάτιον καὶ πένθος ὁμῶς ἑτάρῳ καὶ ἄνακτι,
κλαίοντες μάλα πολλὰ περισταδόν. ἡ δέ μιν οὔτι,
ἀμφαδὸν ὡς ἄθρησε, βοήσατο τειρομένη περ,
ἀλλὰ καλυψαμένη πέρι φάρεϊ καλὰ πρόσωπα,
αἶψα πυρῇ ἐνέπαλτο· γόον δ' ἄρα πουλὺν ὄρινε·
καίετο δ' ἀμφὶ πόσει· Νύμφαι δέ μιν ἄλλοθεν ἄλλαι
θάμβεον, εὖτ' ἐσίδοντο μετ' ἀνέρι πεπτηυῖαν·
καί τις ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
Ἀτρεκέως Πάρις ἦεν ἀτάσθαλος, ὃς μάλα κεδνὴν
κάλλιπε κουριδίην, καὶ ἀνήγαγε μάργον ἄκοιτιν,
οἷ αὐτῷ καὶ Τρωσὶ, καὶ ἄστεϊ λοίγιον ἄλγος·
νήπιος· οὐδ' ἀλόχοιο περίφρονος ἄζετο θυμὸν
τειρομένης, ἥπερ μιν ὑπὲρ φάος ἠελίοιο,
καίπερ ἀπεχθαίροντα, καὶ οὐ φιλέοντα, τίεσκεν.
Ὣς ἄρ' ἔφη Νύμφη τις ἀνὰ φρένας· οἱ δ' ἐνὶ μέσσῃ
πυρκαϊῇ καίοντο, λελασμένοι ἠριγενείης·
ἀμφὶ δὲ βουκόλοι ἄνδρες ἐθάμβεον, εὖτε πάροιθεν
Ἀργεῖοι θάμβησαν ἀολλέες, ἀθρήσαντες
Εὐάδνην Καπανῆος, ἐπεκχυμένην μελέεσσιν
ἀμφὶ πόσιν δμηθέντα Διὸς στονόεντι κεραυνῷ.

ἀλλ᾽ ὅτε δ᾽ ἀμφοτέρους ὀλοὴ πυρὸς ἤνυσε ῥιπὴ,
Οἰνώνην τε, Πάριν τε, μιῇ δ᾽ ὑποκάββαλε τέφρῃ,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ᾽ αὐτῶν
χρυσέῳ ἐν κρητῆρι θέσαν· περὶ δέ σφισι σῆμα
ἐσσυμένως τεύξαντο· θέσαν δ᾽ ἄρα δοιὼ ὕπερθεν
στήλας, αἵπερ ἔασι τετραμμέναι ἄλλυδις ἄλλη.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ ΙΑ.

Τρωαὶ δὲ στενάχοντο κατὰ πτόλιν, οὐδ᾽ ἐδύναντο
ἐλθέμεναι ποτὶ τύμβον, ἐπεὶ μάλα τηλόθ᾽ ἔκειτο
ἄστεος αἰπεινοῖο· νέοι δ᾽ ἔκτοσθε πόληος
νωλεμέως πονέοντο· μάχη δ᾽ οὐ λῆγε πόνοιο,
καίπερ Ἀλεξάνδροιο δεδουπότος, οὕνεκ᾽ Ἀχαιοὶ
Τρωσὶν ἐπεσσεύοντο ποτὶ πτόλιν, ἠδὲ καὶ αὐτοὶ
τείχεος ἤϊον ἐκτὸς, ἐπεί σφεας ἦγεν ἀνάγκη·
ἐν γὰρ δὴ μέσσοισιν Ἔρις, στονόεσσά τ᾽ Ἐνυὼ
στρωφῶντ᾽, ἀργαλέῃσιν Ἐριννύσιν ἴκελαι ἄντην,
ἄμφω ἀπὸ στομάτων ὀλοὸν πνείουσαι ὄλεθρον·
ἀμφ᾽ αὐτῇσι δὲ Κῆρες, ἀναιδέα θυμὸν ἔχουσαι,
ἀργαλέως μαίνοντο· Φόβος δ᾽ ἑτέρωθε, καὶ Ἄρης,
λαοὺς ὀτρύνεσκον· ἐφέσπετο δέ σφισι Δεῖμος,
φοινήεντι λύθρῳ πεπαλαγμένος, ὄφρα ἑ φῶτες,
οἱ μὲν καρτύνωνται ὁρώμενοι, οἱ δὲ φέβωνται.
πάντη δ᾽ αἰγανέαι τε, καὶ ἔγχεα, καὶ βέλε᾽ ἀνδρῶν,
ἄλλυδις ἄλλα χέοντο, κακοῦ μεμαῶτα φόνοιο·
ἀμφὶ δ᾽ ἄρα σφίσι δοῦπος ἐρειδομένοισιν ὀρώρει,
μαρναμένων ἑκάτερθε, κατὰ φθισήνορα χάρμην.

Ἔνθ' ἄρα Λαοδάμαντα Νεοπτόλεμος κατέπεφνε·
ὃς τράφη ἐν Λυκίῃ Ξάνθου παρὰ καλὰ ῥέεθρα,
ὅν ποτ' ἐριγδούποιο Διὸς δάμαρ ἀνθρώποισι
Λητὼ δὴ ἀνέφηνεν, ἀναῤῥήξασα χέρεσσι
τρηχὺ πέδον Λυκίης ἐρικυδέος, ὁππόθ' ἑοῖο
δάμναθ' ὑπ' ὠδίνεσσι πολυτλήτησιν ἀνίῃ
θεσπεσίου τοκετοῖο, ὅσην ὠδῖνες ἔγειρον.
τῷ δ' ἐπὶ Νῖρον ὄλεσσε, βαλὼν ἀνὰ δηϊοτῆτα
δουρὶ διὰ γναθμοῖο· πέρησε δ' ἀνὰ στόμα χαλκὸς
γλῶσσαν ἔτ' αὐδήεσσαν· ὁ δ' ἔγχεος ἄσχετον αἰχμὴν
ἄμπεχε βεβρυχώς· περὶ δ' ἔῤῥεεν αἷμα γένυσσι
φθεγγομένου. καὶ τὸν μὲν ὑπὸ κρατερῇ χερὸς ἀλκῇ
ἐγχείῃ στονόεσσα ποτὶ χθονὸς οὖδας ἔρεισε
δευόμενον θυμοῖο· βάλεν δ' Εὐήνορα δῖον
τυτθὸν ὕπαὶ λαπάρην, διὰ δ' ἤλασεν ἐς μέσον ἧπαρ
αἰχμήν· τῷ δ' ἀλεγεινὸς ἄφαρ συνέκυρσεν ὄλεθρος.
εἷλε δ' ἄρ' Ἰφιτίωνα, καὶ Ἱππομέδοντα δάμασσε
Μαινάλου ὄβριμον υἷα, τὸν Ὠκυρόη τέκε Νύμφη
Σαγγαρίου ποταμοῖο παρὰ ῥόον· οὐδέ νυ τόν γε
δέξατο νοστήσαντα· κακαὶ δέ ἑ Κῆρες ἄμερσαν
παιδὸς ἀνιηρῶς· μέγα δ' υἱέος ἔλλαβε πένθος.
Αἰνείας δὲ Βρέμοντα, καὶ Ἀνδρόμαχον κατέπεφνεν,
ὃς τράφη ἐν Κνωσσῷ, ὁ δ' ἄρα ζαθέῃ ἐνὶ Λύκτῳ·
ἄμφω δ' εἰς ἕνα χῶρον ἀπ' ὠκυπόδων πέσον ἵππων·
καί ῥ' ὁ μὲν ἀσπαίρεσκε, πεπαρμένος ἔγχεϊ μακρῷ
λαιμόν· ὁ δ' ἀλγινόεντος ἀνὰ κροτάφοιο θέμεθλα
χερμαδίῳ στονόεντι μάλα κρατερῆς ἀπὸ χειρὸς
βλήμενος ἐκπνείεσκε, μέλας δέ μιν ἄμπεχε πότμος·
ἵπποι δ' ἐπτοίηντο, καὶ ἡνιόχων ἀπάνευθε

φεύγοντες, πολλοῖσιν ἐνεπλάζοντο νέκυσσι·
καὶ τοὺς μὲν θεράποντες ἀμύμονος Αἰνείαο
μάρψαντες, κεχάροντο φίλῃ περὶ ληΐδι θυμόν.
Ἔνθα Φιλοκτήτης ὀλοῷ βάλε Πείρασον ἰῷ
φεύγοντ᾽ ἐκ πολέμοιο· διέθρισε δ᾽ ἀγκύλα νεῦρα
γούνατος ἐξόπιθεν· κατὰ δ᾽ ἔκλασεν ἀνέρος ὁρμήν.
καὶ τὸν μὲν Δαναῶν τις ὅτ᾽ ἔδρακε γυιωθέντα,
ἐσσυμένως ἀπάμερσε καρήατος, ἐς δορὶ τύψας
ἀλγινόεντα τένοντ᾽· ὀλοὴ δ᾽ ὑπεδέξατο γαῖα
σῶμα· κάρη δ᾽ ἀπάτερθε κυλινδομένη πεφόρητο,
φωνῆς ἱεμένοιο, ταχὺς δ᾽ ἅμα πέπτατο θυμός.
Πουλυδάμας δὲ Κλέωνα καὶ Εὐρύμαχον βάλε δουρὶ,
οἳ Σύμηθεν ἵκανον ὑπαὶ Νιρῆϊ ἄνακτι,
ἄμφω ἐπιστάμενοι δόλον ἰχθύσι μητίσασθαι
αἰνὸν ὑπ᾽ ἀγκίστροιο, βαλεῖν δέ τε εἰς ἅλα δῖαν
δίκτυα, καὶ παλάμῃσι περιφραδέως, ἀπὸ νηὸς,
ἰθὺ καὶ αἶψα τρίαιναν ἐπ᾽ ἰχθύσι νωμήσασθαι·
ἀλλ᾽ οὔ σφιν ἐπὶ πῆμα θαλάσσια ἤρκεσεν ἔργα.
Εὐρύπυλος δὲ μενεπτόλεμος βάλε φαίδιμον Ἕλλον,
τόν ῥα παραὶ λίμνῃ Γυγαίῃ γείνατο μήτηρ
Κλειτὼ καλλιπάρῃος· ὁ δ᾽ ἐν κονίῃσι τανύσθη
πρηνής· τοῦ δ᾽ ἀπάτερθεν ὁμῶς δορὶ κάππεσε μακρῷ,
ὤμου ἀπὸ βριαροῖο κεκομμένη ἄορι λυγρῷ,
χεὶρ, ἔτι μαιμώωσα ποτὶ κλόνον ἔγχος ἀεῖραι
μαψιδίως· οὐ γάρ μιν ἀνὴρ εἰς ἔργον ἐνώμα,
ἀλλ᾽ αὔτως ἤσπαιρεν, ἅτε βλοσυροῖο δράκοντος
οὐρὴ ἀποτμηθεῖσ᾽ ἀναπάλλεται, οὐδέ οἱ ἀλκὴ
ἕσπεται ἐς πόνον αἰπὺν, ἵνα χραύσαντα δαΐξῃ·

ὣς ἄρα δεξιτερῇ κρατερόφρονος ἀνδρὸς ἐς αἰχμὴν
ὥρμαινεν πονέεσθαι· ἀτὰρ μένος οὐκέτ' ὀπήδει.
Αὐτὰρ Ὀδυσσεὺς Αἶνον ἐνήρατο, καὶ Πολύϊνδον,
ἄμφω Κητείους· τὸν δούρατι, τὸν δ' ἀλεγεινῷ
ἄορι δῃώσας. Σθένελος δ' ἕλε δῖον Ἄβαντα,
αἰγανέην προϊείς· ἡ δ' ἀσφαράγοιο διὰ πρὸ
ἐσσυμένη, ἀλεγεινὸν ἐς ἰνίου ἦλθε τένοντα·
λῦσε δ' ἄρ' ἀνέρος ἦτορ· ὑπέκλασε δ' ἅψεα πάντα.
Τυδείδης δ' ἕλε Λαοδόκον, Μελιόν τ' Ἀγαμέμνων·
Δηΐφοβος δὲ Δρύαντα, καὶ Ἄλκιμον· αὐτὰρ Ἀγήνωρ
Ἵππασον ἐξενάριξεν, ἀγακλειτόν περ ἐόντα,
ὅς ῥ' ἀπὸ Πηνειοῦ ποταμοῦ κίεν· οὐδ' ἐρατεινὰ
θρέπτα τοκεῦσιν ἔδωκεν, ἐπεί ῥά νιν ἔκλασε δαίμων.
Ἔνθα Θόας ἐδάμασσε Λάλον, καὶ ἀγήνορα Λύγκον·
Μηριόνης δὲ Λυκῶνα, καὶ Ἀρχέλοχον Μενέλαος,
ὅς ῥά τε Κωρυκίην ὑπὸ δειράδα ναιετάασκεν,
πέτρην θ' Ἡφαίστοιο περίφρονος, ἥ τε βροτοῖσι
θαῦμα πέλει· δὴ γάρ μιν ἐναίθεται ἀκάματον πῦρ,
ἄσβεστον νυκτός τε καὶ ἤματος· ἀμφὶ δ' ἄρ' αὐτῷ
φοίνικες θαλέουσι, φέρουσι δ' ἀπείρονα καρπὸν,
ῥίζης καιομένης ἅμα λάεσιν· ἀλλὰ τὸ μέν που
ἀθάνατοι τεύξαντο καὶ ἐσσομένοισιν ἰδέσθαι.
Τεῦκρος δ' Ἱππομέδοντος ἀμύμονος υἷα Μενοίτην
ἐσσυμένως ὥρμαινε βαλεῖν ἐπιόντα βελέμνῳ·
καί ῥα νόῳ, καὶ χερσὶ, καὶ ὄμμασιν ἰθύνεσκεν
ἰὸν ἀπὸ γναμπτοῖο κεράατος· ὃς δ' ἀλεγεινὸς
ἆλτο θοῆς ἀπὸ χειρὸς ἐς ἀνέρα· τῷ δ' ἀπὸ νευρὴ
εἰσέτι που κανάχιζεν· ὁ δ' ἀντίον ἀσπαίρεσκεν
βλήμενος, οὕνεκα Κῆρες ὁμῶς φορέοντο βελέμνῳ

καίριον εἰς κραδίην, ὅθι περ νόος ἕζεται ἀνδρῶν
καὶ μένος, ὀτραλέαι δὲ ποτὶ μόρον εἰσὶ κέλευθοι.
Εὐρύαλος δ' ἄρα πολλὸν ἀπὸ στιβαρῆς βάλε χειρὸς
λᾶα μέγαν, Τρώων δὲ θοὰς ἐλέλιξε φάλαγγας.
ὡς δ' ὅτε τις γεράνοισι τανυφθόγγοισι χολωθεὶς
οὖρος ἀνὴρ πεδίοιο, μέγ' ἀσχαλόων ἐπορούσῃ,
δινήσας περὶ κρατὶ θοῶς μάλα νεῦρα βόεια,
λᾶα βάλῃ κατέναντα, διασκεδάσῃ δ' ὑπὸ ῥοίζῳ
ἠέρι πεπταμένας δολιχὰς στίχας, αἱ δὲ φέβονται,
ἄλλη δ' εἰς ἑτέρην εἱλεύμεναι ἀΐσσουσι,
κλαγγηδὸν μάλα πάγχυ, πάρος κατὰ κόσμον ἰοῦσαι·
ὣς ἄρα δυσμενέες φοβερὸν βέλος ἀμφεφόβηθεν
ὀβρίμου Εὐρυάλοιο· τὸ δ' οὐχ ἅλιον φέρε δαίμων,
ἀλλ' ἄρα σὺν πήληκι κάρη κρατεροῖο Μέλητος
θλάσσε περὶ πληγῇσι· μόρος δ' ἐκίχανεν ἀρητός.
Ἄλλος δ' ἄλλον ἔπεφνε, περιστεναχίζετο δ' αἶα.
ὡς δ' ὅτ' ἐπιβρίσαντος ἀπειρεσίου ἀνέμοιο
λάβρον, ὑπαὶ ῥιπῆς βαρυηχέος ἄλλυδις ἄλλα
δένδρεα μακρὰ πέσῃσιν, ὑπ' ἐκ ῥιζῶν ἐριπόντα,
ἄλσεος εὐπεδίοιο, βρέμει δέ τε πᾶσα περὶ χθών·
ὣς οἵγ' ἐν κονίῃσι πέσον· κανάχησε δὲ τεύχη
ἄσπετον, ἀμφὶ δὲ γαῖα μέγ' ἔβραχεν· οἱ δὲ κυδοιμοῦ
ἀργαλέου μνώοντο, μετὰ σφίσι πῆμα τιθέντες.
Καὶ τότ' ἄρ' Αἰνείαο μόλε σχεδὸν ἠῢς Ἀπόλλων,
ἠδ' Ἀντηνορίδαο δαΐφρονος Εὐρυμάχοιο·
οἱ γὰρ δὴ μάρναντο πολυσθενέεσσιν Ἀχαιοῖς,
ἄγχι μάλ' ἑσταότες κατὰ φύλοπιν, εὖθ' ὑπ' ἀπήνῃ
δοιοὶ ὁμηλικίῃ κρατεροὶ βόες, οὐδ' ἀπέληγον
ὑσμίνης· τοῖς δ' αἶψα θεὸς ποτὶ μῦθον ἔειπεν,

μάντεϊ εἰδόμενος Πολυμήστορι, τόν ποτε μήτηρ
γείνατ᾽ ἐπὶ Ξάνθοιο ῥοῆς, θεράπονθ᾽ Ἑκάτοιο·
Εὐρύμαχ᾽, Αἰνεία τε, θεῶν γένος, οὔτι ἔοικεν
ὑμέας Ἀργείοισιν ὑπεικέμεν· οὐδὲ γὰρ αὐτὸς
ὔμμιν ὑπαντιάσας κεχαρήσεται ὄβριμος Ἄρης,
ἢν ἐθέλητε μάχεσθαι ἀνὰ κλόνον· οὕνεκα Μοῖραι
μακρὸν ἐπ᾽ ἀμφοτέροισι βίου τέλος ἐκλώσαντο.
Ὣς εἰπὼν, ἀνέμοισι μίγη, καὶ ἄϊστος ἐτύχθη·
οἱ δὲ νόῳ φράσσαντο θεοῦ μένος· αἶψα δ᾽ ἄρ᾽ αὐτοῖς
θάρσος ἀπειρέσιον κατεχεύετο· μαίνετο δέ σφι
θυμὸς ἐνὶ στήθεσσι, καὶ ἔνθορον Ἀργείοισιν,
ἀργαλέοις σφήκεσσιν ἐοικότες, οἵ τ᾽ ἀλεγεινὸν
ἐκ θυμοῦ κοτέοντες, ἐπιβρίσωσι μελίσσαις,
εὖτε περὶ σταφυλῆς αὐανομένης ἐν ὀπώρῃ
ἐρχομένας ἐσίδωσιν, ἢ ἐκ σίμβλοιο θορούσας·
ὣς ἄρα Τρώϊοι υἷες ἐϋπτολέμοισιν Ἀχαιοῖς
ἔνθορον ἐσσυμένως· κεχάροντο δὲ Κῆρες ἐρεμναὶ,
μαρναμένων ἐγέλασσε δ᾽ Ἄρης· ἰάχησε δ᾽ Ἐνυὼ,
σμερδαλέον· μέγα δέ σφιν ἐπέβραχεν αἰόλα τεύχη·
οἱ δ᾽ ἄρα δυσμενέων ἀπερείσια φῦλα δάϊζον
χερσὶν ἀμαιμακέτῃσι· κατηρείποντο δὲ λαοὶ
αὔτως, ἠΰτ᾽ ἄμαλλα θέρευς δυσθαλπέος ὥρῃ,
ἥν ῥά τ᾽ ἐπισπέρχωσι θοοὶ χέρας ἀμητῆρες,
δασσάμενοι κατ᾽ ἄρουραν ἀπείρονα μακρὰ πέλεθρα·
ὣς ἄρα τῶν ὑπὸ χερσὶ κατηρείποντο φάλαγγες
μυρίαι· ἀμφὶ δὲ γαῖα νεκρῶν περιπεπληθυῖα,
αἵματι πλημμύρεσκεν· Ἔρις δ᾽ ἄρ ἰαίνετο θυμῷ,
ὀλλυμένων. οἱ δ᾽ οὔτι κακοῦ παύοντο μόθοιο,
ἀλλ᾽ ἅτε μῆλα λέοντες ἐπήϊον· οἱ δ᾽ ἄρα φύζης

λευγαλέης μνώοντο· καὶ ἐξ ὀλοοῦ πολέμοιο
φεῦγον, ὅσοις ἀδάϊκτον ἔτι σθένος ἐν ποσὶ κεῖτο.
υἱὸς δ' Ἀγχίσαο δαΐφρονος αἰὲν ὀπήδει
δυσμενέων μετόπισθεν ὑπ' ἔγχεϊ νῶτα δαΐζων·
Εὐρύμαχος δ' ἑτέρωθεν· ἰαίνετο δ' ἄμβροτον ἦτορ
ὑψόθεν εἰσορόωντος ἰηΐου Ἀπόλλωνος.
Ὡς δ' ὅτε τις σιάλοισιν ἀνὴρ ἐς λήϊον αὖον
ἐρχομένοις, πρὶν ἀμάλλαν ὑπ' ἀμητῆρσι δαμῆναι,
ἀντί' ἐπισσεύῃ κρατεροὺς κύνας, οἱ δ' ὁρόωντες
ἐσσυμένως τρομέουσι, καὶ οὐκ ἔτι μέμβλεται αὐτοῖς
εἴδατος, ἀλλὰ τρέπονται ἀνιηρὴν ἐπὶ φύζαν
πανσυδίῃ, τοὺς δ' αἶψα κύνες κατὰ ποσσὶ κιχόντες,
ἐξόπιθεν δάπτουσιν ἀμείλιχα, τοὶ δὲ φέβονται
μακρὸν ἀνιΰζοντες, ἄναξ δ' ἐπιτέρπετ' ἀρούρης·
ὣς ἄρ ἰαίνετο Φοῖβος, ὅτ' ἔδρακεν ἐκ πολέμοιο
φεύγοντ' Ἀργείων πουλὺν στρατόν· οὐ γὰρ ἔτ' αὐτοῖς
ἔργα χερῶν μεμέλητο· πόδας δ' εὔχοντο θεοῖσιν
ὦκα φέρειν· μούνοις γὰρ ἔτ' ἐν ποσὶν ἔπλετο νόστου
ἐλπωρή· πάντας γὰρ ἐπήϊεν ἔγχεϊ θύων
Εὐρύμαχός τε, καὶ Αἰνείας· σὺν δέ σφιν ἑταῖροι.
Ἔνθα τις Ἀργείων, ἢ κάρτεϊ πάγχυ πεποιθώς,
ἢ Μοίρης ἰότητι, λιλαιομένης μιν ὀλέσσαι,
φεύγοντ' ἐκ πολέμοιο δυσηχέος ἵππον ἔρυκε,
γνάμψαι ἐπειγόμενος ποτὶ φύλοπιν, ὄφρα μάχηται
ἀντία δυσμενέων· τὸν δ' ὀβριμόθυμος Ἀγήνωρ
παρφθάμενος μυῶνα κατ' ἀλγινόεντα δάϊξεν
ἀμφιτόμῳ βουπλῆγι, βίῃ δ' ὑπόειξε σιδήρου
ὀστέον οὐταμένοιο βραχίονος· ἀμφὶ δὲ νεῦρα
ῥηϊδίως ἤμησε· φλέβες δ' ὑπερέβλυσαν αἷμα·

ἀμφεχύθη δ' ἵπποιο κατ' αὐχένος· αἶψα δ' ἄρ αὐτὸς
κάππεσεν ἀμφὶ νέκυς· λεῖπεν δ' ἄρα χεῖρα κραταιὴν
στεῤῥὸν ἔτ' ἐμπεφυυῖαν ἐϋγνάμπτοισι χαλινοῖς,
οἷά ποτε ζώοντος ἔην· μέγα δ' ἔπλετο θαῦμα,
οὕνεκα δὴ ῥυτῆρος ἀπεκρέμαθ' αἱματόεσσα,
Ἄρεος ἐννεσίῃσι, φόβον δηΐοισι φέρουσα·
φαίης κεν χατέουσαν ἔθ' ἱππασίῃ πονέεσθαι·
σῆμα δέ μιν φέρεν ἵππος ἀποκταμένοιο ἄνακτος.
Αἰνείας δ' ἐδάμασσε βαλὼν ὑπὲρ ἰξύα δουρὶ
Αἰθαλίδην· αἰχμὴ δὲ παρ' ὀμφαλὸν ἐξεπέρησεν
ἔγκατ' ἐφελκομένη· ὁ δ' ἄρ ἐν κονίῃσι τανύσθη,
συμμάρψας χείρεσσιν ὁμῶς χολάδεσσιν ἀκωκήν,
δεινὰ μάλα στενάχων· γαίῃ δ' ἐνέρεισεν ὀδόντας
βεβρυγώς· ψυχὴ δὲ καὶ ἄλγεα κάλλιπον ἄνδρα.
Ἀργεῖοι δὲ βόεσσιν ἐοικότες ἐπτοίηντο,
οὓς, ἄμοτον μεμαῶτας ὑπὸ ζεύγλῃ καὶ ἀρότρῳ,
τύψῃ ὑπαὶ λαπάρην ταναοῖς ὑπὸ χείλεσιν οἶστρος,
αἵματος ἱέμενος, τοὶ δ' ἄσπετον ἀσχαλόωσιν
ἔργου ἑκὰς φεύγοντες, ἐπί σφισι δ' ἄχνυται ἀνὴρ
ἀμφ' ἄροτρον πονέων τε πόνον, τρομέων τ' ἐπὶ βουσὶ,
μὴ δήπου κατόπισθεν ἐπαΐσσοντος ἀρότρου,
κέρσῃ νεῦρα σίδηρος ἀμείλιχος ἐν ποσὶ κύρσας·
ὣς Δαναοὶ φοβέοντο· περί σφισι δ' ἄχνυτο θυμὸν
υἱὸς Ἀχιλλῆος· μέγα δ' ἴαχε λαὸν ἐέργων·
Ἆ δειλοὶ, τί φέβεσθε, ἐοικότες οὐτιδανοῖσι
ψήρεσιν, οὕς τ' ἐφόβησεν ἰὼν κατεναντία κίρκος;
ἀλλ' ἄγε θέσθ' ἀνὰ θυμὸν, ἐπεὶ πολὺ λώϊόν ἐστι
τεθνάμεν ἐν πολέμῳ, ἢ ἀνάλκιδα φύζαν ἑλέσθαι.

Ὣς φάτο· τοὶ δ' ἐπίθοντο, θρασὺν νόον ἐν φρεσὶ θέντες
ἐσσυμένως· ὁ δὲ Τρωσὶ, μέγα φρονέων, ἐνόρουσε,
πάλλων ἐν χείρεσσι θοὸν δόρυ· τῷ δ' ἄρα λαοὶ
Μυρμιδόνων ἐφέποντο, βίην ἀτάλαντον ἀέλλῃ
ἐν στέρνοισιν ἔχοντες· ἀνέπνευσαν δὲ κυδοιμοῦ
Ἀργεῖοι. ὁ δ' ἄρ' αἶψα φίλῳ πατρὶ θυμὸν ἐοικὼς,
ἄλλον ἐπ' ἄλλῳ ἔπεφνε κατὰ μόθον· οἳ δ' ἀπιόντες
χάζοντ', ἠΰτε κύματ' ἅτ' ἐκ βορέαο θυέλλης
πόλλ' ἐπιπαφλάζοντα κυλίνδεται αἰγιαλοῖσιν,
ὀρνύμεν' ἐκ πόντοιο, τὰ δ' ἔκποθεν ἄλλος ἀήτης
ἀντίος ἀΐξας, μεγάλῃ περὶ λαίλαπι θύων
ὤσῃ ἀπ' ἠϊόνων, βορέου ἔτι βαιὸν ἀέντος.
ὣς Τρῶας Δαναοῖσιν ἐποιχομένους τοπάροιθεν
υἱὸς Ἀχιλλῆος θεοειδέος ὦσεν ὀπίσσω
τυτθὸν, ἐπεὶ μένος ἠῢ θρασύφρονος Αἰνείαο
φευγέμεν οὐκ εἴασε, μένειν δ' ἀνὰ φύλοπιν αἰνὴν
θαρσαλέως· ἑκάτερθε δ' ἴσην ἐτάνυσσεν Ἐνυὼ
ὑσμίνην. ἀλλ' οὔτι καταντίον Αἰνείαο
υἱὸς Ἀχιλλῆος πῆλεν δόρυ πατρὸς ἑοῖο,
ἀλλ' ἄλλῃ τρέπε θυμὸν, ἐπεὶ Θέτις ἀγλαόπεπλος,
ἁζομένη Κυθέρειαν, ἀπέτραπεν υἱωνοῖο
θυμὸν καὶ μέγα κάρτος· ἐπ' ἄλλων δ' ἔθνεσι λαῶν
δάμνατο μυρία φῦλα· δαϊκταμένων δ' ἐνὶ χάρμῃ
οἰωνοὶ κεχάροντο, μεμαότες ἔγκατα φωτῶν
δαρδάψαι, καὶ σάρκας· ἐπεστενάχοντο δὲ Νύμφαι
καλλιρόου Σιμόεντος, ἰδὲ Ξάνθοιο θύγατρες.

Καὶ ῥ' οἱ μὲν πονέοντο· κόνιν δ' ἀκάμαντες ἀῆται
ὦρσαν ἀπειρεσίην· ἤχλυσε δὲ πᾶσαν ὕπερθεν

ἠέρα θεσπεσίην, ὥς τ᾽ ἀπροτίοπτον ὀμίχλην·
οὐδ᾽ ἄρα φαίνετο γαῖα· βροτῶν δ᾽ ἀμάθυνεν ὀπωπάς.
ἀλλὰ καὶ ὧς μάρναντο· καὶ ἐς χέρας ὅντιν᾽ ἕλοιντο,
κτεῖνον ἀνηλεγέως, καὶ εἰ μάλα φίλτατος ἦεν·
οὐ γὰρ ἔην φράσσασθαι ἀνὰ κλόνον, οὔτ᾽ ἐπιόντα
δήϊον, οὔτ᾽ ἄρ᾽ ἑταῖρον· ἀμηχανίη δ᾽ ἔχε λαούς.
καί νύ κε μίγδ᾽ ἐγένοντο, καὶ ἀργαλέως ἀπόλοντο
πάντες ὁμῶς, ὀλοοῖσι περὶ ξιφέεσσι πεσόντες
ἀλλήλων, εἰ μή σφιν ἀπ᾽ Οὐλύμποιο Κρονίων
ἤρκεσε τειρομένοισι, κόνιν δ᾽ ἀπάτερθεν ἔλασσεν
ὑσμίνης, ὀλοὰς δὲ κατεπρήϋνεν ἀέλλας.
οἱ δέ τε δηριόωντο· πόνος δ᾽ ἄρα τοῖσιν ἐτύχθη
πολλὸν ἐλαφρότερος, δέρκοντο γὰρ εἴτε δαΐξαι
χρειὼ δήϊον ἄνδρα κατὰ κλόνον, εἴτ᾽ ἀλέασθαι.
γαί ῥ᾽ ὁτὲ μὲν Δαναοὶ Τρώων ἀνέεργον ὅμιλον,
ἄλλοτε δ᾽ αὖ Τρῶες Δαναῶν στίχας· ἔπλετο δ᾽ αἰνὴ
ὑσμίνη· νιφάδεσσι δ᾽ ἐοικότα πίπτε βέλεμνα
ἀμφοτέρωθεν ἰόντα· δέος δ᾽ ἔχε μηλοβοτῆρας
ἔκποθεν Ἰδαίων ὀρέων ὁρόωντας ἀϋτήν.

Καί τις ἐς αἰθέρα χεῖρας ἐπουρανίοισιν ἀείρων,
εὔχετο δυσμενέας μὲν ὑπ᾽ Ἄρεϊ πάντας ὀλέσθαι,
Τρῶας δὲ στονόεντος ἀναπνεῦσαι πολέμοιο,
ἦμαρ δ᾽ εἰσιδέειν ποτ᾽ ἐλεύθερον. ἀλλά οἱ οὔτι
ἔκλυον· Αἶσα γὰρ ἄλλα πολύστονος ὡρμαίνεσκεν·
ἅζετο δ᾽ οὔτε Ζῆνα πελώριον, οὔτε τιν᾽ ἄλλων
ἀθανάτων. οὐ γάρ τι μετατρέπεται νόος αἰνὸς
κείνης, ὅντινα πρῶτον ἐπ᾽ ἀνδράσι γεινομένοισιν,
ἀνδράσιν ἢ πολίεσσιν, ἐπικλώσηται ἀφύκτῳ
νήματι· τῇ δ᾽ ὕπο πάντα τὰ μὲν φθινύθει, τὰ δ᾽ ἀέξει.

τῆς δ' ἄῤ ὑπ' ἐννεσίῃσι πόνος καὶ δῆρις ὀρώρει
ἱππομάχοις Τρώεσσι, καὶ ἀγχεμάχοισιν Ἀχαιοῖς,
οἳ φέρον ἀλλήλοισι φόνον καὶ ἀνηλέα πότμον
νωλεμέως· οὐ γάρ τιν' ἔχεν δέος, ἀλλ' ἐμάχοντο
προφρονέως· θάρσος γὰρ ἐφέλκεται ἄνδρας ἐς αἰχμήν.
Ἀλλ' ὅτε δὴ πολλοὶ μὲν ἀπέφθιθεν ἐν κονίῃσι,
δὴ τότ' ἐπ' Ἀργείοισιν ὑπέρτερον ὤρνυτο θάρσος
Παλλάδος ἐννεσίῃσι δαΐφρονος, ἥ ῥα μολοῦσα
ὑσμίνης ἄγχιστα, μετ' Ἀργείοισιν ἄμυνεν,
ἐκπέρσαι μεμαυῖα κλυτὴν Πριάμοιο πόληα·
ἦ ῥα μέγα στενάχιζεν, Ἀλεξάνδροιο δαμέντος.
καὶ τότ' ἄρ' Αἰνείαν ἐρικυδέα δῖ' Ἀφροδίτη
αὐτὴ ἀπὸ πτολέμοιο καὶ οὐλομένης ὑσμίνης
ἥρπασεν ἐσσυμένως· περὶ δ' ἠέρα χεύατο πουλύν.
οὐ γάρ ἔτ' αἴσιμον ἦεν ἀνὰ μόθον ἀνέρι κείνῳ
μάρνασθ' Ἀργείοισι πρὸ τείχεος αἰπεινοῖο·
τῷ καὶ ἄδην ἀλέεινε περίφρονα Τριτογένειαν,
ἐκ θυμοῦ Δαναοῖσιν ἀρηγέμεναι μεμαυῖαν,
μὴ καὶ ὑπὲρ κῆράς μιν ἕλῃ θεός· οὐδὲ γὰρ αὐτοῦ
φείσατο πρόσθεν Ἄρηος, ὅπερ πολὺ φέρτερος ἦεν.
Τρῶες δ' οὐκ ἔτ' ἔμιμνον ἀνὰ στόμα δηϊότητος,
ἀλλ' ὀπίσω χάζοντο τεθηπότα θυμὸν ἔχοντες·
ἐν γάρ σφιν, θήρεσσιν ἐοικότες ὠμοβόροισιν,
ἔνθορον Ἀργεῖοι, μέγα μαιμώοντες Ἄρηϊ.
τῶν δ' ἄρα δαμναμένων ποταμοὶ πλήθοντο νέκυσσι
καππεδίον· πολλοὶ γὰρ ἄδην πέσον ἐν κονίῃσιν
ἀνέρες ἠδ' ἵπποι· μάλα δ' ἅρματα πολλὰ κέχυντο,
βαλλομένων· πάντη δ' ἀπερείσιον ἔῤῥεεν αἷμα,
ὑετὸς ὥς· ὀλοὴ γὰρ ἐπήϊεν Αἶσα κυδοιμόν.

καί ῥ' οἱ μὲν ξιφέεσσι πεπαρμένοι, ἢ μελίῃσι,
κεῖντο παρ' αἰγιαλοῖσιν, ἀλίγκιον ἐκχυμένοισι
δούρασιν, εὖτ' ἐπὶ θινὶ βαρυγδούποιο θαλάσσης
ἀνέρες ἄσπετα δεσμὰ πολυκμήτων ἀπὸ γόμφων
λυσάμενοι, σκεδάσωσι διὰ ξύλα μακρὰ καὶ ὕλην
ἠλιβάτου σχεδίης, πάντη δ' ἀναπλήθεται εὐρὺς
αἰγιαλὸς, τοῖσιν δὲ μέλαν ποτικλύζεται οἶδμα·
ὣς οἵγ' ἐν κονίῃσι καὶ αἵματι δῃωθέντες
κεῖντο, πολυκλαύτοιο λελασμένοι ἰωχμοῖο.

Παῦροι δὲ προφυγόντες ἀνηλέα δηϊότητα,
δῦσαν ἀνὰ πτολίεθρον, ἀλευάμενοι βαρὺ πῆμα·
τῶν δ' ἄλοχοι, καὶ παῖδες, ἀπὸ χροὸς αἱματόεντας
τεύχεα πάντα δέχοντο, κακῷ πεφορυγμένα λύθρῳ·
πᾶσι δὲ θερμὰ λοετρὰ τετεύχατο· πᾶν δ' ἀνὰ ἄστυ
ἔσσυντ' ἰητῆρες, ἐς οὐταμένων αἰζηῶν
οἰκία ποιπνύοντες, ἵν' οὐταμένους ἀκέσωνται·
τοὺς δ' ἄλοχοι καὶ τέκνα περιστενάχοντο μολόντας
ἐκ πολέμου· πολλοὺς δὲ καὶ οὐ παρεόντας ἄϋτεον.
καί ῥ' οἱ μὲν, στυγερῇ βεβολημένοι ἦτορ ἀνίῃ,
κεῖντο, βαρυστενάχοντες ἐπ ἄλγεσιν· οἱ δ' ἐπὶ δόρπον
ἐκ καμάτοιο τρέποντο· θοοὶ δ' ἐπαῦτεον ἵπποι
φορβῇ ἐπιχρεμέθοντες ἄδην. ἑτέρωθε δ' Ἀχαιοὶ
πὰρ κλισίῃς νήεσσί θ' ὁμοῖϊα Τρωσὶ πένοντο.

Ἦμος δ' ὠκεανοῖο ῥοὰς ὑπερήλασεν Ἠὼς
ἵππους μαρμαίροντας, ἀνέγρετο δ' ἔθνεα φωτῶν·
δὴ τότ' Ἀρήϊοι υἷες ἐϋσθενέων Ἀργείων,
οἱ μὲν ἔβαν Πριάμοιο ποτὶ πτόλιν αἰπήεσσαν,
οἱ δ' ἄρ ἐνὶ κλισίῃσιν ἅμ' ἀνδράσιν οὐταμένοισι
μίμνον, μήποτε λαὸς ἐπιβρίσας ἀλεγεινὸς

νῆας ἕλῃ, Τρώεσσι φέρων χάριν· οἳ δ' ἀπὸ πύργων
μάρναντ' Ἀργείοισι· μόθος δ' ἀλεγεινὸς ὀρώρει.
Σκαιῆς μὲν προπάροιθε πύλης Καπανήϊος υἱὸς
μάρναθ' ἅμ' ἀντιθέῳ Διομήδεϊ· τοὺς δ' ἄρ ὕπερθε,
Δηΐφοβός τε μενεπτόλεμος, κρατερός τε Πολίτης
σὺν τ' ἄλλοις ἑτάροισιν ἐρητύεσκον ὀϊστοῖς,
ἠδ' ἄρα χερμαδίοισι· περικτυπέοντο δὲ φωτῶν
βαλλόμεναι κόρυθές τε, καὶ ἀσπίδες, αἵ τ' ἀλεγεινὸν
αἰζηῶν ῥύοντο μόρον καὶ ἀμείλιχον αἶσαν.
Ἀμφὶ δ' ἄρ' Ἰδαίῃσιν ἐριδμαίνεσκε πύλῃσιν
υἱὸς Ἀχιλλῆος· πονέοντο δὲ οἱ πέρι πάντες
Μυρμιδόνες, κρατεροῖο δαήμονες ἰωχμοῖο.
τοὺς δ' ἀπὸ τείχεος εἶργον ἀπειρεσίοις βελέεσσι
θαρσαλέως, Ἕλενός τε, καὶ ὀβριμόθυμος Ἀγήνωρ,
Τρῶας ἐποτρύνοντες ἀνὰ μόθον· οἱ δὲ καὶ αὐτοὶ
προφρονέως μάρναντο φίλης περὶ τείχεσι πάτρης.
Ἐς πεδίον δὲ πύλῃσι καὶ ὠκυπόρους ἐπὶ νῆας
νισσομένῃς, Ὀδυσεύς τε, καὶ Εὐρύπυλος πονέοντο
νωλεμέως· τοὺς δ' ἠΰς ἀφ' ἕρκεος ὑψηλοῖο
Αἰνείας λάεσσι, μέγα φρονέων, ἀπέρυκε.
Πρὸς δὲ ῥόον Σιμόεντος ἔχεν πόνον ἀλγινόεντα
Τεῦκρος ἐϋμμελίης· ἄλλῃ δ' ἔχεν ἄλλος ὀϊζύν.
Καὶ τότ' ἄρ' ἀμφ' Ὀδυσῆα δαΐφρονα κύδιμοι ἄνδρες
κείνου τεχνήεντι νόῳ ποτὶ μῶλον Ἄρηος
ἀσπίδας ἐντύναντο, βάλον δ' ἐφύπερθε καρήνων,
θέντες ἐπ' ἀλλήλῃσι· μίῃ δ' ἅπαν ἥρμοσεν ἅρμῃ.
φαίης κεν μεγάροιο κατηρεφὲς ἔμμεναι ἕρκος
πυκνὸν, ὃ οὔτ' ἀνέμοιο διέρχεται ὑγρὸν ἀέντος

ῥιπὴ ἀπειρεσίη, οὔτ' ἐκ Διὸς ἄσπετος ὄμβρος·
τοῖαι Ἀργείων πεπυκασμέναι ἀμφὶ βοείαις
καρτύναντο φάλαγγες· ἔχον δ' ἕνα θυμὸν ἐς ἀλκὴν,
εἰς ἓν ἀρηράμεναι. καθύπερθε δὲ Τρώϊοι υἷες
βάλλον χερμαδίοισι· τὰ δ' ὡς στυφελῆς ἀπὸ πέτρης
γαῖαν ἐπὶ τραφερὴν ἐκυλίνδετο· πολλὰ δὲ δοῦρα,
καὶ βέλεα στονόεντα, καὶ ἀλγινόεντες ἄκοντες
πήγνυντ' ἐν σακέεσσι, τὰ δ' ἐν χθονὶ, πολλὰ δ' ἄπωθεν
μαψιδίως φορέοντο περιγναμφθέντα βελέμνοις,
πάντοθε βαλλομένων. οἱ δὲ κτύπον οὔτι φέβοντο
ἄσπετον, οὐδ' ὑπόεικον, ἅτε ψεκάδων ἀΐοντες
δοῦπον· ἔσω δ' ὑπὸ τεῖχος ὁμῶς ἴσαν· οὐδέ τις αὐτῶν
νόσφιν ἀφειστήκει· συναρηράμενοι δ' ἐφέποντο,
ὡς νέφος ἠερόεν, τό ῥά που περὶ χείματι μέσσῳ
αἰθέρος ἐξ ὑπάτοιο μακρὸν διέτεινε Κρονίων.
πουλὺς δ' ἀμφὶ φάλαγγι δρόμος· καναχὴ δ' ὑπὸ ποσσὶ
νισσομένων ἐτέτυκτο· κόνιν δ' ἀπάτερθεν ἀῆται
ὀρνυμένην μάλα τυτθὸν ὑπὲρ δαπέδοιο φέρεσκον
αἰζηῶν μετόπισθε· περίαχε δ' ἄκριτος αὐδὴ,
οἷον ὑπὸ σμήνεσσι περιβρομέουσι μέλισσαι·
ἆσθμα δ' ἀνήϊε πουλὺ χύδην, περίχευε δ' ἀϋτμὴν,
λαοῦ ἀποπνείοντος. ὑπειρέσιον δ' ἄρα θυμῷ
Ἀτρεΐδαι κεχάροντο περὶ σφισι κυδιόωντες,
δερκόμενοι πολέμοιο δυσηχέος ἄτρομον ἕρκος·
ὥρμηναν δὲ πύλησι θεηγενέος Πριάμοιο
ἀθρόοι ἐγχριμφθέντες, ὑπ' ἀμφιτόμοις πελέκεσσι
ῥῆξαι τείχεα μακρὰ, πύλας δ' εἰς οὖδας ἐρεῖσαι,
θαιρῶν ἐξερύσαντες· ἔχεν δ' ἄρα μῆτις ἀγαυὴ
ἐλπωρήν. ἀλλ' οὔ σφιν ἐπήρκεσαν οὔτε βόειαι,

οὔτε θοοὶ βουπλῆγες, ἐπεὶ μένος Αἰνείαο
ὄβριμον ἀμφοτέρῃς ἐπαρηρότα χείρεσι λᾶαν
ἐμμεμαὼς ἐφέηκε· δάμασσε δὲ τλήμονι πότμῳ
ἀνέρας, οὓς κατέμαρψεν ἐν ἀσπίσιν, εὖτ᾽ ἐν ὄρεσσι
φερβομένας ὑπὸ πρῶνα βίῃ κρημνοῖο ῥαγέντος
αἶγας· ὑποτρομέουσι δ᾽ ὅσοι σχεδὸν ἀμφινέμονται·
ὣς Δαναοὶ θάμβησαν· ὁ δ᾽ εἰσέτι λᾶας ὕπερθεν
βάλλεν ἐπασσυτέρους, κλονέοντο δὲ πάγχυ φάλαγγες.
Ὡς δ᾽ ὅτ᾽ ἐν οὔρεσι πρῶνας Ὀλύμπιος οὐρανόθι Ζεὺς
ἀμφὶ μιῇ κορυφῇ συναρηρότας ἄλλυδις ἄλλον
ῥήξῃ ὑπὸ βροντῇσι, καὶ αἰθαλόεντι κεραυνῷ,
ἀμφὶ δὲ μηλονόμοι τε, καὶ ἄλλ᾽ ὅσα πάντα φέβονται
ὣς ἄρ᾽ Ἀχαιῶν υἷες ὑπέτρεσαν, οὕνεκ᾽ ἄρ᾽ αὐτῶν
Αἰνείας συνέχευε θοῶς ἔρυμα πτολέμοιο,
ἀσπίσιν ἀκαμάτῃσι τετυγμένον, οὕνεκ᾽ ἄρ᾽ αὐτῷ
θάρσος ἀπειρέσιον θεὸς ὤπασεν· οὐδέ τις αὐτῶν
ἔσθενέν οἱ κατὰ δῆριν ἐναντίον ὄσσε βαλέσθαι,
οὕνεκά οἱ μάρμαιρε περὶ βριαροῖς μελέεσσι
τεύχεα θεσπεσίῃσιν ἐειδόμενα στεροπῇσιν.
εἱστήκει δέ οἱ ἄγχι, δέμας κεκαλυμμένος ὄρφνῃ,
δεινὸς Ἄρης· καὶ πάντα κατιθύνεσκε βέλεμνα,
ἢ μόρον, ἢ δέος αἰνὸν ἐπ᾽ Ἀργείοισι φέροντα.
μάρνατο δ᾽ ὡς ὁπότ᾽ αὐτὸς Ὀλύμπιος οὐρανόθι Ζεὺς
ἀσχαλόων ἐδάϊζεν ὑπέρβια φῦλα Γιγάντων
σμερδαλέον, καὶ γαῖαν ἀπειρεσίην ἐτίναξε,
Τηθύν τ᾽, Ὠκεανόν τε, καὶ οὐρανόν, ἀμφὶ δὲ πάντα
γυῖ᾽ ἐλελίζετ᾽ Ἄτλαντος, ὑπ᾽ ἀκαμάτου Διὸς ὁρμῆς·
ὣς ἄρ ὑπ᾽ Αἰνείαο κατηρείποντο φάλαγγες

Ἀργείων ἀνὰ δῆριν· ὁ γὰρ περὶ τεῖχος ἀπάντη
ἔσσυτο, δυσμενέεσσι χολούμενος, ἐκ δ' ἄρα χειρῶν
πᾶν ὅ, τί οἱ παρέκυρσεν, ἐπειγομένῳ ποτὶ μῶλον,
βάλλεν, ἐπεὶ μάλα πολλὰ κακῆς ἀλκτήρια χάρμης
κεῖτο μενεπτολέμων ἐπὶ τείχεσι Δαρδανιώνων·
τοῖσί περ Αἰνείας μεγάλῳ ἐπὶ κάρτεϊ θύων,
δυσμενέων ἀπέρυκε πολὺν στρατόν· ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καρτύναντο. κακὴ δ' ἔχε πάντας ὀϊζὺς
ἀμφὶ πόλιν· πολλοὶ δὲ κατέκταθεν, ἠμὲν Ἀχαιῶν,
ἠδέ τε καὶ Τρώων· μέγα δ' ἴαχον ἀμφοτέρωθεν,
Αἰνείας μὲν Τρωσὶ φιλοπτολέμοισι κελεύων,
μάρνασθ' ἀμφὶ πόληος, ἑῶν τεκέων τε, καὶ αὐτῶν,
προφρονέως· υἱὸς δὲ μενεπτολέμου Ἀχιλῆος
Ἀργείους ἐκέλευε παρὰ κλυτὰ τείχεα Τροίης
μίμνειν, ἄχρι πόληα πυρὶ πρήσαντες ἕλωσι.
τοὺς δ' ἄμφω στονόεσσα καὶ ἄσπετος ἄμπεχ' ἀϋτὴ,
μαρναμένους πρόπαν ἦμαρ ἀνὰ κλόνον· οὐδέ τις ἦεν
ἄμπνευσις πολέμοιο, λιλαιομένων ἀνὰ θυμὸν
τῶν μὲν, ἑλεῖν πτολίεθρον ὑπ' Ἄρεϊ, τῶν δὲ, σαῶσαι.
Αἴας δ' αὖτ' ἀπάτερθε θρασύφρονος Αἰνείαο
μαρνάμενος Τρώεσσι κακὰς περὶ Κῆρας ἴαλλεν
σφῆσιν ἐκηβολίῃσιν, ἐπεί ῥά οἱ ἄλλοτε μέν που
ἰθὺ βέλος πεπότητο δι' ἠέρος, ἄλλοτε δ' αὖτε
ἀλγινόεντες ἄκοντες· ἐπ' ἄλλῳ δ' ἄλλον ἔπεφνεν.
οἱ δὲ περιπτώσσοντες ἀμύμονος ἀνέρος ἀλκὴν,
ἐς μόθον οὐκ ἔτ' ἔμιμνον· ἔλειπε δὲ τείχεα λαός.
Καὶ τότε οἱ θεράπων πολὺ φέρτατος ἐν δαῒ Λοκρῶν
Ἀλκιμέδων ἐρίθυμος, ἑῷ πίσυνος βασιλῆϊ,
θάρσεΐ τε σφετέρῳ, καὶ θαρσαλέῃ νεότητι,

ἐμμεμαὼς πολέμοιο, θοοῖς ἐπιβήσατο ποσσὶ
κλίμακος, ὄφρα κέλευθον ἐπὶ πτόλιν ἀνδράσι θείη
λευγαλέην. σφετέρου δὲ καρήατος ἔμμεναι ἄλκαρ
ἀσπίδα θεὶς καθύπερθεν, ἀνήϊε λυγρὰ κέλευθα,
ἄτρομον ἐνθέμενος κραδίῃ νόον· ἐν δ' ἄρα χειρὶ
ἄλλοτε μὲν δόρυ πάλλεν ἀμείλιχον, ἄλλοτε δ' αὖτε
εἷρπεν ἄνω· τὸν δ' αἶψα διηερίη φέρεν οἶμος.
καί νύ κε δὴ Τρώεσσιν ἄχος γένετ', εἰ μὴ ἄρ' αὐτῷ
ἤδη ὑπερκύπτοντι, καὶ εἰσορόωντι πόληα
ὑστάτιον καὶ πρῶτον, ἀφ' ἕρκεος ὑψηλοῖο
Αἰνείας ἐπόρουσεν, ἐπεί ῥά νιν οὐ λάθε χάρμη,
οὐδ' ἀπάτερθεν ἐόντα· βάλεν δέ μιν εὐρέϊ πέτρῳ
κακκεφαλῆς· μεγάλη δὲ βίη κρατερόφρονος ἀνδρὸς
κλίμακά οἱ συνέαξεν· ὁ δ' ὑψόθεν ἠΰτ' ὀϊστὸς
ἔσσυτ' ἀπὸ νευρῆς· ὀλοὸς δέ οἱ ἕσπετο πότμος
ἀμφελελιξαμένῳ· στονόεις δέ οἱ ἠέρι θυμὸς
αἶψα μίγη, πρὶν γαῖαν ἐπὶ στυφελὴν ἀφικέσθαι.
ἤριπε δ' ἐν θώρηκι κατὰ χθονός, οὕνεκ' ἄρ' αὐτοῦ
νόσφιν ἀπεπλάγχθη βριαρὸν δόρυ καὶ σάκος εὐρὺ,
καὶ κρατερὴ τρυφάλεια. περιστονάχησε δὲ Λοκρῶν
λαὸς, ὅτ' ἔδρακον ἄνδρα κακῇ δεδμημένον ἄτῃ·
δὴ γάρ οἱ λασίοιο καρήατος ἄλλυδις ἄλλῃ
ἐγκέφαλος κεκέδαστο· συνηλλοίωτο δὲ πάντα
ὀστέα, καὶ θοὰ γυῖα, λυγρῷ πεπαλαγμένα λύθρῳ.
Καὶ τότε δὴ Ποίαντος ἐῢς πάϊς ἀντιθέοιο,
ὡς ἴδεν Αἰνείαν περὶ τείχεα μαιμώοντα
θηρὶ βίην ἀτάλαντον, ἄφαρ προέηκεν ὀϊστὸν,
ἰθύνων ἐς φῶτα περικλυτόν. οὐδ' ἀφάμαρτεν
ἀνέρος· ἀλλά οἱ οὔτι δι' ἀσπίδος ἀκαμάτοιο

ἐς χρόα καλὸν ἵκανεν, ἀπέτραπε γὰρ Κυθέρεια,
καὶ σάκος, ἀλλ' ἄρα τυτθὸν ἐπέχραε δέρμα βοείης.
οὐδ' ἄρα μαψιδίως χαμάδις πέσεν, ἀλλὰ Μένοντα
μεσσηγὺς σάκεός τε, καὶ ἱπποκόμου τρυφαλείης,
τύψεν· ὁ δ' ἐκ πύργοιο κατήριπεν. εὖτ' ἀπὸ πέτρης
ἄγριον αἶγα βάλῃσιν ἀνὴρ στονόεντι βελέμνῳ,
ὣς ὁ πεσὼν τετάνυστο· λίπεν δέ μιν ἱερὸς αἰών.
Αἰνείας δ' ἑτάροιο χολωσάμενος, βάλε πέτρην,
καί ῥα Φιλοκτήταο κατέκτανεν ἐσθλὸν ἑταῖρον
Τοξαίχμην· θλάσσεν δέ κάρη, συνέαξε δὲ πάντα
ὀστέα σὺν πήληκι· λύθη δὲ οἱ ἀγλαὸν ἦτορ.
τῷ δ' ἐπὶ μακρὸν ἄϋσε πάϊς Ποίαντος ἀγαυοῦ·
Αἰνεία, νῦν ἔολπας ἐνὶ φρεσὶ σῇσιν ἄριστος
ἔμμεναι, ἐκ πύργοιο πονεύμενος, ἔνθα γυναῖκες
δυσμενέσιν μάρνανται ἀνάλκιδες· εἰ δέ τις ἐσσὶ,
ἔρχεο τείχεος ἐκτὸς ἐν ἔντεσιν, ὄφρα δαείης
Ποίαντος θρασὺν υἷα, καὶ ἔγχεσι, καὶ βελέεσσιν.
Ὣς ἄρ' ἔφη· τὸν δ' οὔτι θρασὺς πάϊς Ἀγχίσαο,
καίπερ ἐελδόμενος, προσεφώνεεν, οὕνεκ' ὀρώρει
δῆρις ὀϊζυρὴ περὶ τείχεα μακρὰ καὶ ἄστυ
νωλεμέως· οὐ γάρ τι κακοῦ παύοντο μόθοιο·
οὐδέ σφιν, μάλα δηρὸν ὑπ' Ἄρεϊ τειρομένοισιν,
ἔσκε λύσις καμάτοιο, πόνος δ' ἄπρηκτος ὀρώρει.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ' ΟΜΗΡΟΝ
### ΒΙΒΛΙΟΝ ΙΒ.

Ἀλλ' ὅτε δὴ μάλα πολλὰ κάμον περὶ τείχεα Τροίης
αἰχμηταὶ Δαναοὶ, πολέμου δ' οὐ γίνετο τέκμωρ,
δὴ τότ' ἀριστήων ἄγυριν ποιήσατο Κάλχας,
εὖ εἰδὼς ἀνὰ θυμὸν, ὑπ' ἐννεσίῃς Ἑκάτοιο,
πτήσιας οἰωνῶν, ἠδ' ἀστέρας, ἄλλα τε πάντα
σήμαθ', ὅσ' ἀνθρώποισι θεῶν ἰότητι πέλονται,
καί σφιν ἀγειρομένοισιν ἔπος ποτὶ τοῖον ἔειπε·
Μηκέτι πὰρ τείχεσσιν ἐφεζόμενοι πονέεσθε,
ἀλλ' ἄλλην τινὰ μῆτιν ἐνὶ φρεσὶ μητιάασθε,
ἢ δόλον, ὅς νήεσσι καὶ ἡμῖν ἔσσετ' ὄνειαρ.
ἦ γὰρ ἔγωγε χθιζὸν ἐσέδρακον ἐνθάδε σῆμα·
ἴρηξ σεῦε πέλειαν· ἐπειγομένη δ' ἄρα κείνη
χηραμὸν ἐς πέτρης κατεδύσατο· τῇ δ' ὁ χολωθεὶς
ἀργαλέως, μάλα πολλὸν ἐπὶ χρόνον ἀγχόθι μίμνε
χηραμοῦ· ἡ δ' ἀλέεινεν. ὁ δ' ἐνθέμενος χόλον αἰνὸν,
θάμνῳ ὑπεκρύφθη· ἡ δ' ἔκθορεν ἀφραδίῃσιν,
ἔμμεναι ἐλπομένη μιν ἀπόπροθεν· ὃς δ' ἐπαερθεὶς,
δειλαίῃ τρήρωνι φόνον στονόεντ' ἐφέηκε.
τῷ νῦν μή τι βίῃ πειρώμεθα Τρώϊον ἄστυ

περσέμεν, ἀλλ' εἴ τίς γε δόλος καὶ μῆτις ἀνύσσῃ.
Ὣς ἄρ' ἔφη· τῶν δ' οὔτις ἔφη φρεσὶ τεκμήρασθαι
ἄλκαρ ὀϊζυροῖο μόθου· δίζοντο δὲ μῆχος
εὑρέμεναι· μοῦνος δὲ σαοφροσύνῃσι νόησεν
υἱὸς Λαέρταο, καὶ ἀντίον ἔκφατο μῦθον·
Ὦ φίλ', ἐπουρανίοισι τετιμένε πάγχυ θεοῖσιν,
εἰ ἐτεὸν πέπρωται ἐϋπτολέμοισιν Ἀχαιοῖς
ἐκπέρσαι Πριάμοιο δολοφροσύνῃσι πόληα,
ἵππον τεκτήναντες, ἀριστέες ἐς λόχον ἄνδρες
βησόμεθ' ἀσπασίως· λαοὶ δ' ἀπὸ νόσφι νέεσθαι
ἐς Τένεδον σὺν νηυσὶν, ἐνιπρῆσαι δ' ἄρα πάντα
ἐν κλισίῃς, ἵνα Τρῶες, ἀπ' ἄστεος ἀθρήσαντες,
ἐς πεδίον προχέωνται ἀταρβέες· ἀλλά τις ἀνὴρ
θαρσαλέος, τόν γ' οὔ τις ἐπίσταται ἐν Τρώεσσι,
μιμνέτω ἔκτοθεν ἵππου, ἀρήϊον ἐνθέμενος κῆρ,
ὅστις ὑποκρίναιτο, βίην ὑπέροπλον Ἀχαιῶν,
ῥέξαι ὑπὲρ νόστοιο λιλαιομένων μιν, ἀλύξαι,
ἵππῳ ὑποπτήξας εὐεργεῖ· τὸν δ' ἐκάμοντο
Παλλάδι, χωομένῃ Τρώων ὑπὲρ αἰχμητάων·
καὶ τὰ μὲν ὣς ἐπὶ δηρὸν ἀνειρομένοισι πιφαύσκειν,
εἰσόκε οἱ πεπίθωνται, ἀταρτηροί περ ἐόντες,
ἐς δὲ πόλιν μιν ἄγωσι θοῶς ἐλεεινὸν ἐόντα,
ὄφρ' ἡμῖν ἀλεγεινὸν ἐς Ἄρεα σῆμα πέλῃται,
τοῖς μὲν ἄρ' αἰθαλόεντα θοῶς ἅμα πυρσὸν ἀείρας,
τοὺς δ' ἄρ' ἐποτρύνας ἐκβήμεναι εὐρέος ἵππου,
ὁππότε Τρώϊοι υἷες ἀκηδέες ὑπνώωσιν.
Ὣς φάτο. τὸν δ' ἄρα πάντες ἐπῄνεον· ἔξοχα δ' ἄλλων
Κάλχας μιν θαύμαζεν, ὅπως ὑπεθήκατ' Ἀχαιοῖς

μῆτιν, καὶ δόλον ἐσθλὸν, ὅς Ἀργείοισιν ἔμελλεν
νίκης ἔμμεναι ἄλκαρ, ἀτὰρ μέγα Τρώεσσι πῆμα.
τοὔνεκ' ἀριστήεσσιν ἐϋπτολέμοισι μετηύδα·
Μηκέτι νῦν δόλον ἄλλον ἐνὶ φρεσὶ μητιάασθαι,
ὦ φίλοι, ἀλλὰ πίθεσθαι ἐϋπτολέμῳ Ὀδυσῆϊ·
οὐ γάρ οἱ ἔσσετ' ἄπρηκτον ἐΰφρονέοντι νόημα·
ἤδη γὰρ Δαναοῖσι θεοὶ τελέουσιν ἐέλδωρ,
σήματα δ' οὐκ ἀτέλεστ' ἀναφαίνεται ἄλλοθεν ἄλλα
Ζηνός· ἃ μὲν γὰρ ὕπερθε μέγα κτυπέουσι δι' αἴθρης
βρονταὶ ὁμῶς στεροπῆσι· παραΐσσουσι δὲ λαοὺς
δεξιοὶ ὄρνιθες, ταναῇ ὀπὶ κεκληγόντες.
ἀλλ' ἄγε μηκέτι πολλὸν ἐπὶ χρόνον ἀμφὶ πόληα
μίμνωμεν· Τρωσὶν γὰρ ἐνέπνευσεν μέγ' ἀνάγκη
θάρσος, ὅπερ πρὸς Ἄρηα καὶ οὐτιδανόν περ ἐγείρει.
κάρτιστοι δὲ τότ' ἄνδρες ἐπὶ μόθον, ὁππότε, θυμὸν
παρθέμενοι, στονόεντος ἀφειδήσωσιν ὀλέθρου·
ὡς νῦν Τρώϊοι υἷες ἀταρβέες ἀμφιμάχονται
ἄστυ πέρι σφέτερον· μέγα δέ σφιν μαίνεται ἦτορ.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Ὦ Κάλχαν, δηΐοισι καταντίον ἄλκιμοι ἄνδρες
μάρνανται· τοὶ δ' ἐντὸς, ἀλευάμενοι, ἀπὸ πύργων
οὐτιδανοὶ πονέονται, ὅσων φρένα δεῖμα χαλέπτει.
τῷ νῦν μή τι δόλον φραζώμεθα, μήτε τι μῆχος
ἄλλο· πόνῳ γὰρ ἔοικεν ἀριστέας ἔμμεναι ἄνδρας,
καὶ δορί· θαρσαλέοι δ' ἄρ, ἀμείνονες ἐν δαΐ φῶτες.
Ὣς φάμενον, προσέειπε μένος Λαερτιάδαο·
Ὦ τέκος ὀβριμόθυμον ἀταρβέος Αἰακίδαο,
ταῦτα μὲν, ὡς ἐπέοικεν ἀμύμονι φωτὶ καὶ ἐσθλῷ,
θαρσαλέως μάλα πολλὰ διΐκεο, χερσὶ πεποιθώς.

ἀλλ' οὔτ' ἀκαμάτοιο τεοῦ πατρὸς ἄτρομος ἀλκὴ
ἔσθενεν ὄλβιον ἄστυ διαπραθέειν Πριάμοιο,
οὔθ' ἡμεῖς, μάλα πολλὰ πονεύμενοι. ἀλλ' ἄγε θᾶσσον,
Κάλχαντος βουλῇσι, θοὰς ἐπὶ νῆας ἰόντες,
ἵππον τεκταίνωμεν ὑπαὶ παλάμῃσιν Ἐπειοῦ,
ὅς ῥά τε πολλὸν ἄριστος ἐν Ἀργείοισι τέτυκται
εἵνεκα τεκτοσύνης· δέδαεν δέ μιν ἔργον Ἀθήνη.
Ὣς φάτο· τῷ δ' ἄρα πάντες ἀριστῆες πεπίθοντο,
νόσφι Νεοπτολέμοιο δαΐφρονος· οὐδὲ μὲν ἐσθλὸν
πεῖθε Φιλοκτήταο νόον, κρατερὰ φρονέοντος.
ὑσμίνης γὰρ ἔτ' ἔσκον ὀϊζυρῆς ἀκόρητοι·
ὥρμαινον δὲ μάχεσθαι ἀνὰ κλόνον· ἀμφὶ δὲ λαοὺς
σφωϊτέρους ἐκέλευον ἀπειρέσιον περὶ τεῖχος
πάντα φέρειν, ὅσα δῆριν ἐνὶ πτολέμοισιν ὀφέλλει,
ἐλπόμενοι πτολίεθρον ἐΰκτιτον ἐξαλαπάξαι·
ἄμφω γὰρ βουλῇσι θεῶν ἐς δῆριν ἵκοντο.
καί νύ κεν αἶψα τέλεσσαν, ὅσα σφίσιν ἤθελε θυμὸς,
εἰ μὴ Ζεὺς νεμέσησεν ἀπ' αἰθέρος, ἀμφὶ δὲ γαῖαν
Ἀργείων ἐλέλιξεν ὑπαὶ ποσὶ, σὺν δ' ἐτίναξεν
ἠέρα πᾶσαν ὕπερθε, βάλεν δ' ἀκάμαντα κεραυνὸν
ἡρώων προπάροιθεν· ὑπεσμαράγησε δὲ πᾶσα
Δαρδανίη, τῶν δ' αἶψα μετετράπετ' ἠΰ νόημα
ἐς φόβον. ἐκ δ' ἐλάθοντο βίης, καὶ κάρτεος ἐσθλοῦ·
καί ῥα κλυτῷ Κάλχαντι, καὶ οὐκ ἐθέλοντε, πίθοντο·
ἐς δ' ἄρα νῆας ἵκοντο σὺν Ἀργείοισι καὶ ἄλλοις,
μάντιν ἀγασσάμενοι, τὸν ἄρ ἐκ Διὸς ἔμμεν' ἔφησαν,
ἢ Διὸς, ἢ Φοίβοιο· πίθοντο δέ οἱ μάλα πάντα.
Ἦμος δ' αἰγλήεντα περιστρέφετ' οὐρανὸν ἄστρα
πάντοθε μαρμαίροντα, πόνου δ' ἐπιλήθεται ἀνὴρ,

δὴ τότ᾽ Ἀθηναίη, μακάρων γένος ἀμφιλιποῦσα,
ἤλυθε παρθενικῇ ἀταλάφρονι πάντ᾽ εἰκυῖα
ἐς νῆας καὶ λαόν· ἀρηϊφίλου δ᾽ ἂρ Ἐπειοῦ
ἔστη ὑπὲρ κεφαλῆς ἐν ὀνείραϊ, καί μιν ἀνώγει
τεῦξαι δούριον ἵππον· ἔφη δέ οἱ ἐγκονέοντι
αὐτὴ συγκαμέειν, αὐτὴ δ᾽ ἄφαρ ἔνδοθι βῆναι,
ἔργον ἐποτρύνουσα. θεῆς δ᾽ ὅγε μῦθον ἀκούσας,
καγχαλόων ἀνὰ θυμὸν, ἀκηδέος ἔκθορεν ὕπνου·
ἔγνω δ᾽ ἀθάνατον θεὸν ἄμβροτον· οὐδέ οἱ ἦτορ
ἄλλο παρὲξ ὥρμαινε, νόον δ᾽ ἔχεν αἰὲν ἐπ᾽ ἔργῳ
θεσπεσίῳ· πινυτὴ δὲ περὶ φρένας ἤϊε τέχνη.
Ἠὼς δ᾽ ὁππόθ᾽ ἵκανεν, ἀπωσαμένη κνέφας ἠΰ
εἰς ἔρεβος, χαροπὴ δὲ δι᾽ ἠέρος ἤϊεν αἴγλη,
δὴ τότε θεῖον ὄνειρον ἐν Ἀργείοισιν Ἐπειὸς,
ὡς ἴδεν, ὡς ἤκουσεν, ἐελδομένοισιν ἔειπεν·
οἱ δέ οἱ εἰσαΐοντες ἀπειρέσιον κεχάροντο.
καὶ τότ᾽ ἄρ᾽ Ἀτρέος υἷες ἐς ἄγκεα τηλεθάοντα
Ἴδης ὑψικόμοιο θοοὺς προέηκαν ἱκέσθαι
ἀνέρας· οἱ δ᾽ ἐλάτῃσιν ἐπιβρίσαντες ἐς ὕλην,
τάμνον δένδρεα μακρά· περικτυπέοντο δὲ βῆσσαι
θεινομένων· δολιχαὶ δὲ κατ᾽ οὔρεα μακρὰ κολῶναι
δεύοντο ξυλόχοιο· νάπη δ᾽ ἀνεφαίνετο πᾶσα,
θήρεσιν οὐκ ἔτι τόσσον ἐπήρατος, ὡς τὸ πάροιθε·
πρέμνα δ᾽ ἀπαναίνοντο βίην ποθέοντ᾽ ἀνέμοιο.
καὶ τὰ μὲν ἂρ πελέκεσσι διατμήγοντες Ἀχαιοὶ,
ἐσσυμένως φορέεσκον ἐπ᾽ ἠόνας Ἑλλησπόντου
ἐξ ὄρεος λασίοιο· μόγησε δὲ θυμὸς ἐπ᾽ ἔργῳ
αἰζηῶν τε, καὶ ἡμιόνων· πονέοντο δὲ λαοὶ
μύριοι, ἄλλοθεν ἄλλος, ὑποδρήσσοντες Ἐπειῷ.

οἱ μὲν γὰρ τέμνεσκον ὑπ᾽ ὀκρυόεντι σιδήρῳ
δούρατα, καὶ σανίδας διεμέτρεον· οἱ δ᾽ ἄρ᾽ ἀπ᾽ ὄζους
λείαινον πελέκεσσιν ἔτ᾽ ἀπρίστων ἀπὸ φιτρῶν·
ἄλλος δ᾽ ἄλλο τὶ ῥέζε πονεύμενος. αὐτὰρ Ἐπειὸς
ἵππου δουρατέοιο πόδας κάμεν, αὐτὰρ ἔπειτα
νηδύα, τῇ δ᾽ ἐφύπερθε συνήρμοσε νῶτα; καὶ ἰξὺν
ἐξόπιθεν· δειρὴν δὲ πάρος, καθύπερθε δὲ χαίτην
αὐχένος ὑψηλοῖο καθήρμοσεν, ὡς ἐτεόν περ
κινυμένην· λάσιον δὲ κάρη, καὶ ἐΰτριχον οὐρήν·
οὔατα δ᾽, ὀφθαλμούς τε διειδέας, ἄλλα τε πάντα,
οἷς ἐπικίνυται ἵππος. ἀέξετο δ᾽ ἱερὸν ἔργον
ὡς ἐτεὸν ζώοντος, ἐπεὶ θεὸς ἀνέρι τέχνην
δῶκ᾽ ἐρατήν· τετέλεστο δ᾽ ἐπὶ τρισὶν ἤμασι πάντα
Παλλάδος ἐννεσίῃσι. πολὺς δ᾽ ἐπεγήθεε λαὸς
Ἀργείων· θαύμαζε δ᾽ ὅπως ἐπὶ δούρατι θυμὸς
καὶ τάχος ἐκπεπόνητο ποδῶν· χρεμέθοντι δ᾽ ἐῴκει.
καὶ τότε δῖος Ἐπειὸς ὑπὲρ μεγακήτεος ἵππου
εὔχεθ᾽, ἐπ᾽ ἀκαμάτῳ Τριτωνίδι χεῖρας ὀρέξας·
Κλῦθι, θεὰ μεγάθυμε· σάου δ᾽ ἐμὲ, καὶ τεὸν ἵππον.
Ὣς φάτο· τοῦ δ᾽ ἐσάκουσε θεὰ πολύμητις Ἀθήνη,
καί ῥά οἱ ἔργον ἔτευξεν ἐπιχθονίοισιν ἀγητὸν
πᾶσιν, ὅσοι μιν ἴδοντο, καὶ οἳ μετόπισθε πύθοντο.
Ἀλλ᾽ ὅτε δὴ Δαναοὶ μὲν ἐγήθεον ἔργον Ἐπειοῦ
δερκόμενοι, Τρῶες δὲ πεφυζότες ἔνδοθι πύργων
μίμνον, ἀλευάμενοι θάνατον, καὶ ἀνηλέα κῆρα·
δὴ τότ᾽ ἐπ᾽ Ὠκεανοῖο ῥοὰς, καὶ Τηθύος ἄντρα
Ζηνὸς ὑπερθύμοιο θεῶν ἀπάτερθε μολόντος,
ἔμπεσεν ἀθανάτοισιν ἔρις· δίχα δέ σφισι θυμὸς

ἔπλετ' ὀρινομένων· ἀνέμων δ' ἐπιβάντες ἀέλλαις,
οὐρανόθεν φορέοντο ἐπὶ χθόνα· τοῖσι δ' ὑπ' αἰθὴρ
ἔβραχεν. οἱ δὲ, μολόντες ἐπὶ Ξάνθοιο ῥέεθρα,
ἀλλήλων ἵσταντο καταντίον, οἱ μὲν Ἀχαιῶν,
οἱ δ' ἄρ ὑπὲρ Τρώων· πολέμου δ' ἔρος ἔμπεσε θυμῷ·
τοῖσι δ' ὁμῶς ἀγέροντο καὶ οἳ λάχον εὐρέα πόντον.
καί ῥ' οἱ μὲν, δολόεντα, κοτεσσάμενοι, μενέαινον
ἵππον ἀμαλδῦναι σὺν νήεσιν, οἱ δ' ἐρατεινὴν
Ἴλιον· Αἶσα δ' ἔρυκε πολύτροπος, ἐς δὲ κυδοιμὸν
τρέψε νόον μακάρεσσιν. Ἄρης δ' ἐξῆρχε μόθοιο·
ἆλτο δ' Ἀθηναίης κατεναντίον· ὣς δὲ καὶ ἄλλοι
σύμπεσον ἀλλήλοισι· περὶ σφισι δ' ἄμβροτα τεύχη
χρύσεα κινυμένοισι μέγ' ἴαχεν· ἀμφὶ δὲ πόντος
εὐρὺς ὑπεσμαράγησε, κελαινὴ δ' ἔτρεμε γαῖα
ἀθανάτων ὑπὸ ποσσί· μακρὸν δ' ἅμα πάντες ἄϋσαν·
σμερδαλέη δ' ἐνοπὴ μέχρις οὐρανὸν εὐρὺν ἵκανε,
μέχρις ἐπ' Αἰδωνῆος ὑπερθύμοιο βερέθρων·
Τιτῆνες δ' ὑπένερθε μέγ' ἔτρεσαν· ἀμφὶ δὲ μακρὴ
Ἴδη ὑπέστενε πᾶσα, καὶ ἠχήεντα ῥέεθρα
ἀενάων ποταμῶν· δολιχαὶ δ' ἅμα τοῖσι χαράδραι,
νῆες τ' Ἀργείων, Πριάμοιό τε κύδιμον ἄστυ.
ἀλλ' οὐκ ἀνθρώποισι πέλεν δέος· οὐδ' ἐνόησαν
αὐτῶν ἐννεσίῃσι θεῶν ἔριν. οἱ δὲ, κολώνας
χερσὶν ἀποῤῥήξαντες ἀπ' οὔδεος Ἰδαίοιο,
βάλλον ἐπ' ἀλλήλους. αἱ δὲ ψαμάθοισιν ὁμοῖαι,
ῥεῖα διεσκίδναντο, θεῶν περὶ ἄσχετα γυῖα
ῥηγνύμεναι διὰ τυτθά. Διὸς δ' ἐπὶ πείρασι γαίης
οὐ λάθον ἦϋ νόημα· λιπὼν δ' ἄφαρ ὠκεανοῖο
χεύματ' ἐς οὐρανὸν εὐρὺν ἀνήϊε· τὸν δὲ φέρεσκον

Εὖρος, καὶ Βορέης· Ζέφυρος δ' ἐπὶ τοῖσι, Νότος τε·
τοὺς δ' ὑπὸ θεσπέσιον ζυγὸν αἰόλος ἤγαγεν Ἶρις
ἅρματος αἰὲν ἐόντος, ὅ οἱ κάμεν ἄμβροτος Αἰὼν
χερσὶν ὑπ' ἀκαμάτοισιν ἀτειρέος ἐξ ἀδάμαντος.
ἵκετο δ' Οὐλύμποιο ῥίον μέγα· σὺν δ' ἐτίναξεν
αἰθέρα πᾶσαν ὕπερθε χολούμενος· ἄλλοτε δ' ἄλλαι
βρονταὶ ὁμῶς στεροπῇσι μέγ' ἔκτυπον· ἐν δὲ κεραυνοὶ
ταρφέες ἐξεχέοντο ποτὶ χθόνα· καίετο δ' ἀὴρ
ἄσπετος· ἀθανάτοισι δ' ὑπὸ φρένας ἔμπεσε δεῖμα·
πάντων δ' ἔτρεμε γυῖα, καὶ ἀθανάτων περ ἐόντων.
τῶν δὲ περιδδείσασα κλυτὴ Θέμις, εὖτε νόημα
ἆλτο διὰ νεφέων· τάχα δὲ σφέας εἰσαφίκανεν·
οἴη γὰρ στονόεντος ἀπόπροθι μίμνε μόθοιο·
τοῖον δ' ἔκφατο μῦθον, ἐρυκανόωσα μάχεσθαι·
Ἴσχεσθ' ἰωχμοῖο δυσηχέος· οὐ γὰρ ἔοικεν,
Ζηνὸς χωομένοιο, μινυνθαδίων ἕνεκ' ἀνδρῶν
μάρνασθ' αἰὲν ἐόντας, ἐπεὶ τάχα πάντες ἄϊστοι
ἔσσεσθ'· ἦ γὰρ ὕπερθεν ἐφ' ἡμέας οὔρεα πάντα
εἰς ἓν ἀναῤῥήξας, οὔθ' υἱῶν, οὔτε θυγατρῶν
φείσεται, ἀλλ' ἄρα πάντας ὁμῶς ἐφύπερθε καλύψει
γαίῃ ἀπειρεσίῃ· οὐδ' ἔσσεται ἄμμιν ἄλυξις
ἐς φάος· ἀργαλέος δὲ περὶ ζόφος αἰὲν ἐρύξει·
Ὣς φάτο· τοὶ δὲ πίθοντο, Διὸς τρομέοντες ὁμοκλήν·
ὑσμίνης δ' ἔσχοντο· χόλον δ' ἀπὸ νόσφι βάλοντο
ἀργαλέον· φιλότητα δ' ὁμηθέα ποιήσαντο·
καί ῥ' οἱ μὲν νίσσοντο πρὸς οὐρανὸν, οἱ δ' ἁλὸς εἴσω,
οἱ δ' ἀνὰ γαῖαν ἔμιμνον. ἐϋπτολέμοισι δ' Ἀχαιοῖς
υἱὸς Λαέρταο πύκα φρονέων, φάτο μῦθον·
Ὦ νῦν Ἀργείων σημάντορες ἀκριτόμυθοι,

νῦν μοι ἐελδομένῳ τεκμήρατε, οἵτινές ἐστε
ἐκπάγλως κρατεροὶ καὶ ἀμύμονες· ἦ γὰρ ἱκάνει
ἔργον ἀναγκαίης· ἀλλὰ μνησώμεθ᾽ Ἄρηος,
ἐς δ᾽ ἵππον βαίνωμεν ἐΰξοον, ὄφρα τι τέκμωρ
εὕρωμεν πολέμοιο δυσηχέος. ὧς γὰρ ἄμεινον
ἔσσεται, ἤν κε δόλῳ καὶ μήδεσιν ἀργαλέοισιν
ἄστυ μέγ᾽ ἐκπέρσωμεν, οὗ εἵνεκα δεῦρο μολόντες,
πάσχομεν ἄλγεα πολλά, φίλης ἀπὸ τηλόθι γαίης.
ἀλλ᾽, ἄγε δή, μένος ἠΰ καὶ ἄλκιμον ἐν φρεσὶ θέσθε.
καὶ γάρ τις κατὰ δῆριν, ἀνιηρῇ ὑπ᾽ ἀνάγκῃ
θαρσήσας ἀνὰ θυμὸν, ἀμείνονα φῶτα κατέκτα,
χειρότερος γεγαώς· μάλα γὰρ μέγα θυμὸν ἀέξει
θάρσος, ὅπερ τ᾽ ἀλκῆς πολὺ λώϊον ἀνθρώποισιν.
ἀλλ᾽ ἄγ᾽ ἀριστῆες μὲν ἐΰν λόχον ἐντύνεσθε·
οἱ δ᾽ ἄλλοι Τενέδοιο πρὸς ἱερὸν ἄστυ μολόντες,
μίμνετε, εἰσόκεν ἄμμε ποτὶ πτόλιν εἰρύσσωσι
δήϊοι, ἐλπόμενοι Τριτωνίδι δῶρον ἄγεσθαι.
αἰζηῶν δέ τις ἐσθλὸς, ὃν οὐ σάφα Τρῶες ἴσασι,
μιμνέτω ἄγχ᾽ ἵπποιο, σιδήρεον ἐνθέμενος κῆρ·
καί οἱ πάντα μέλοιτο μάλ᾽ ἔμπεδον, ὁππόσ᾽ ἔγωγε
πρόσθ᾽ ἐφάμην· καὶ μή τι περὶ φρεσὶν ἄλλο νοήσῃ,
ὄφρα μὴ ἀμφαδὰ Τρωσὶν Ἀχαιῶν ἔργα πέληται.
  Ὣς φάτο· τὸν δὲ Σίνων ἀπαμείβετο, κύδιμος ἀνὴρ,
ἄλλων δειδιότων· μάλα γὰρ μέγα ἔργον ἔμελλεν
ἐκτελέειν· τῷ καί μιν ἐΰφρονέοντ᾽ ἀνὰ θυμὸν
ἠΰς ἀγάσσατο λαός· ὁ δ᾽ ἐν μέσσοισιν ἔειπεν·
  Ὦ Ὀδυσεῦ, καὶ πάντες Ἀχαιῶν φέρτατοι υἷες,
ἔργον μὲν τόδ᾽ ἔγωγε λιλαιομένοισι τελέσσω,
εἴ κε μ᾽ ἀεικίζωσι, καὶ εἰ πυρὶ μητιόωνται

βάλλειν ζωὸν ἐόντα· τὸ γάρ νύ μοι εὔαδε θυμῷ,
ἢ θανέειν δηΐοισιν ὑπ' ἀνδράσιν, ἢ ὑπαλύξαι,
Ἀργείοις μέγα κῦδος ἐελδομένοισι φέροντα.
Ὣς φάτο θαρσαλέως· μέγα δ' Ἀργεῖοι κεχάροντο·
καί τις ἔφη· Ὡς τῷδε θεὸς μέγα κάρτος ἔδωκε
σήμερον· οὐ γὰρ πρόσθεν ἔην θρασύς· ἀλλά ἑ δαίμων
ὀτρύνει πάντεσσι κακὸν Τρώεσσι γενέσθαι,
ἢ νῶϊν· νῦν γάρ τοι ὀΐομαι ἐσσυμένως περ
ἀργαλέου πολέμου τέκμωρ εὔδηλον ἔσεσθαι.
Ὣς ἄρ ἔφη κατὰ λαὸν ἀρηϊφίλων τις Ἀχαιῶν·
Νέστωρ δ' αὖ ἑτέρωθεν ἐποτρύνων μετέειπεν·
Νῦν χρειώ, φίλα τέκνα, βίης, καὶ θάρσεος ἐσθλοῦ·
νῦν γὰρ τέρμα πόνοιο θεοί, καὶ ἀμύμονα νίκην
ἡμῖν ἐλδομένοισι φίλας ἐς χεῖρας ἄγουσιν.
ἀλλ' ἄγε θαρσαλέως πολυχανδέος ἔνδοθεν ἵππου
βαίνετ', ἐπεὶ μερόπεσσι κλέος μέγα θάρσος ὀπάζει.
ὡς ὄφελον μέγα κάρτος ἐμοῖς ἐπὶ γούνασι κεῖτο,
οἷον ὅτ' Αἴσονος υἱὸς ἔσω νεὸς ὠκυπόροιο
Ἀργώης καλέεσκεν ἀριστέας, ὁππότ' ἔγωγε
πρῶτος ἀριστήων καταβήμεναι ὁρμαίνεσκον,
εἰ μὴ ἄρ' ἀντίθεος Πελίης ἀέκοντά μ' ἔρυκε·
νῦν δέ με γῆρας ἔπεισι πολύστονον· ἀλλ' ἄρα καὶ ὧς,
ὡς νέος ἡβώων, καταβήσομαι ἔνδοθεν ἵππου
θαρσαλέως· θάρσος δὲ θεὸς καὶ κῦδος ὀπάσσει.
Ὣς φάμενον, προσέειπε πάϊς ξανθοῦ Ἀχιλῆος·
Ὦ Νέστωρ, σὺ μὲν ἐσσὶ νόῳ προφερέστερος ἀνδρῶν
πάντων· ἀλλά σε γῆρας ἀμείλιχον ἀμφιμέμαρπεν·
οὐδέ τις ἔμπεδός ἐστι βίη χατέοντι πόνοιο.
τῷ σε χρὴ Τενέδοιο πρὸς ἠόνας ἀπονέεσθαι·

ἐς δὲ λόχον νέοι ἄνδρες, ἔθ᾽ ὑσμίνης ἀκόρητοι,
βησόμεθ᾽, ὡς σὺ γεραιὲ λιλαιομένοις ἐπιτέλλεις.
Ὣς φάτο· τῷ δ᾽ ἄγχιστα κιὼν Νηλήϊος υἱὸς,
ἀμφοτέρας οἱ ἔκυσε χέρας, κεφαλήν τ᾽ ἐφύπερθεν,
οὕνεχ᾽ ὑπέσχετο πρῶτος ἐς εὐρέα δύμεναι ἵππον
αὐτὸς, μὶν δὲ κέλευε γεραίτερον ἔκτοθι μίμνειν
ἄλλοις σὺν Δαναοῖσιν· ἐέλδετο γὰρ πονέεσθαι·
καί ῥά μιν ἰωχμοῖο λιλαιόμενον, προσέειπεν·
Ἐσσὶ πατρὸς κείνοιο, βίῃ καὶ ἐΰφρονι μύθῳ,
ἀντιθέου Ἀχιλῆος· ἔολπα δὲ σῇσι χέρεσσιν
Ἀργείους Πριάμοιο διαπραθέειν κλυτὸν ἄστυ.
ὀψὲ δ᾽ ἄρ ἐκ καμάτοιο μέγα κλέος ἔσσεται ἡμῖν,
πολλὰ πονησαμένοισι κατὰ κλόνον ἄλγεα λυγρά.
ἄλγεα μέν παρὰ ποσσὶ θεοὶ θέσαν ἀνθρώποισιν,
ἐσθλὰ δὲ πολλὸν ἄπωθε· πόνον δέ γε μέσσον ἔλασσαν·
τοὔνεκα ῥηϊδίη μὲν ἐς ἀργαλέην κακότητα
αἰζηοῖσι κέλευθος, ἀνιηρὴ δ᾽ ἐπὶ κῦδος,
μέσφ᾽ ὅτε τις στονόεντα πόνον διὰ ποσσὶ περήσῃ.
Ὣς φάτο· τὸν δ᾽ Ἀχιλῆος ἀμείβετο κύδιμος υἱός·
Ὦ γέρον, ὡς σύ γ᾽ ἔολπας ἐνὶ φρεσὶ, τοῦτο πέλοιτο
ἡμῖν εὐχομένοισιν, ἐπεὶ πολὺ λώϊον οὕτως.
εἰ δ᾽ ἑτέρως ἐθέλουσι θεοὶ, καὶ τοῦτο τετύχθω·
βουλοίμην δ᾽ ὑπ᾽ Ἄρηϊ ἐϋκλειῶς ἀπολέσθαι,
ἠὲ φυγὼν Τροίηθεν, ὀνείδεα πολλὰ φέρεσθαι.
Ὣς εἰπὼν, ὤμοισι κατ᾽ ἄμβροτα θήκατο τεύχη
πατρὸς ἑοῦ· τοὶ δ᾽ αἶψα καὶ αὐτοὶ θωρήχθησαν
ἡρώων οἱ ἄριστοι, ὅσοις θρασὺς ἔπλετο θυμός.
τούς μοι νῦν καθ᾽ ἕκαστον ἀνειρομένῳ σάφα Μοῦσαι
ἔσπεθ᾽, ὅσοι κατέβησαν ἔσω πολυχανδέος ἵππου·

ὑμεῖς γάρ πᾶσάν μοι ἐνὶ φρεσὶ θῆκατ᾽ ἀοιδὴν,
πρίν μοι ἀμφὶ παρήια κατασκίδνασθαι ἴουλον,
Σμύρνης ἐν δαπέδοισι περικλυτὰ μῆλα νέμοντι,
τρὶς τόσον Ἕρμου ἄπωθεν, ὅσον βοόωντος ἀκοῦσαι,
Ἀρτέμιδος περὶ νηὸν, ἐλευθερίῳ ἐνὶ κήπῳ,
οὔρεϊ οὔτε λίην χθαμαλῷ, οὔθ᾽ ὑψόθι πολλῷ.
Πρῶτος μὲν κατέβαινεν ἐς ἵππον κητώεντα
υἱὸς Ἀχιλλῆος, σὺν δ᾽ ὁ κρατερὸς Μενέλαος,
ἠδ᾽ Ὀδυσεὺς, Σθένελός τε, καὶ ἀντίθεος Διομήδης·
βῆ δὲ φιλοκτήτης τε, καὶ Ἄντικλος, ἠδὲ Μενεσθεύς·
σὺν δὲ Θόας ἐρίθυμος, ἰδὲ ξανθὸς Πολυποίτης·
Αἴας τ᾽, Εὐρύπυλός τε, καὶ ἰσόθεος Θρασυμήδης·
Μηριόνης τε, καὶ Ἰδομενεὺς, ἀριδεικέτω ἄμφω.
σὺν δ᾽ ἄρ ἐϋμμελίης Ποδαλείριος, Εὐρύμαχός τε,
Τεῦκρός τ᾽ ἀντίθεος, καὶ Ἰαλμενὸς ὀβριμόθυμος,
Θάλπιος, Ἀντίμαχός τε, μενεπτόλεμός τε Λεοντεύς·
σὺν δ᾽ Εὔμηλος ἔβη θεοείκελος, Εὐρύαλός τε,
Δημοφόων τε, καὶ Ἀμφίμαχος, κρατερός τ᾽ Ἀγαπήνωρ·
σὺν δ᾽ Ἀκάμας τε, Μέγης τε κραταιοῦ Φυλέος υἱός.
ἄλλοι δ᾽ αὖ κατέβαινον, ὅσοι ἔσαν ἔξοχ᾽ ἄριστοι,
ὅσσους χάνδανεν ἵππος ἐΰξοος ἐντὸς ἐέργειν·
ἐν δέ σφιν πύματος κατεβήσατο δῖος Ἐπειὸς,
ὃς ῥα καὶ ἵππον ἔτευξεν· ἐπίστατο δ᾽ ᾧ ἐνὶ θυμῷ
ἢ μὲν ἀνωΐξαι κείνου πτύχας, ἠδ᾽ ἐπερεῖσαι·
τοὔνεκα δή πάντων βῆ δεύτατος· εἴρυσε δ᾽ εἴσω
κλίμακας, ᾗς ἀνέβησαν. ὁ δ᾽ αὖ μάλα πάντ᾽ ἐπερείσας,
αὐτοῦ πὰρ κληῗδι καθέζετο· τοὶ δὲ σιωπῇ
πάντες ἔσαν, μεσσηγὺς ὁμῶς νίκης καὶ ὀλέθρου.

Οἱ δ' ἄλλοι νήεσσιν ἐπέπλεον εὐρέα πόντον,
ἃς κλισίας πρήσαντες, ὅπη πάρος αὐτοὶ ἴαυον.
τοῖσι δὲ κοιρανέοντε, δύω κρατερόφρονε φῶτε
σήμαινον, Νέστωρ τε, καὶ αἰχμητὴς Ἀγαμέμνων·
τοὺς δὲ, καὶ ἐλδομένους καταβήμεναι ἔνδοθεν ἵππου,
Ἀργεῖοι κατέρυξαν, ἵν' ἐν νήεσσι μένοντες,
ἄλλοις σημαίνωσιν, ἐπεὶ πολὺ λώϊον ἄνδρες
ἔργῳ ἐποίχονται, ὁπότ' εἰσορόωσιν ἄνακτας·
τοὔνεκ' ἄρ ἔκτοθι μίμνον, ἀριστῆές περ ἐόντες.
οἱ δὲ θοῶς ἀφίκοντο πρὸς ἠϊόνας Τενέδοιο·
εὐνὰς δ' ἔνθ' ἔβαλον κατὰ βένθεος· ἐκ δ' ἔβαν αὐτοὶ
νηῶν ἐσσυμένως· ἀπὸ δ' ἔκτοθι πείσματ' ἔδησαν
ἠϊόνων· αὐτοὶ δὲ παρ' αὐτόθι μίμνον ἕκηλοι,
δέγμενοι ὁππότε πυρσὸς ἐελδομένοισι φανείη.
Οἱ δ' ἄρ ἐν ἵππῳ ἔσαν δηΐων σχεδὸν, ἄλλοτε μὲν που
φθεῖσθαι ὀϊόμενοι, ὁτὲ δ' ἱερὸν ἄστυ δαΐξαι·
καὶ τὰ μὲν ἐλποπένοισιν ἐπήλυθεν ἠριγένεια.
Τρῶες δ' εἰσενόησαν ἐπ' ᾐόσιν Ἑλλησπόντου
καπνὸν ἔτ' ἀΐσσοντα δι' ἠέρος· οὐδ' ἄρα νῆας
δέρκοντ', αἵ σφιν ἔνεικαν ἀφ' Ἑλλάδος αἰνὸν ὄλεθρον·
γηθόσυνοι δ' ἄρα πάντες ἐπέδραμον αἰγιαλοῖσι,
τεύχη ἐφεσσάμενοι· ἔτι γὰρ δέος ἄμφεχε θυμόν.
ἵππον δ' εἰσενόησαν ἐΰξοον· ἀμφὶ δ' ἄρ αὐτῷ
θάμβεον ἑσταότες· μάλα γὰρ μέγα ἔργον ἐτύχθη·
ἀγχόθι δ' αὖτε Σίνωνα δυσάμμορον εἰσενόησαν·
καί μιν ἀνειρόμενοι Δαναῶν ὕπερ, ἄλλοθεν ἄλλος
μέσσον ἐκυκλώσαντο περισταδόν· ἀμφὶ δὲ μύθοις
μειλιχίοις εἴροντο πάρος· μετέπειτα δ' ὁμοκλῇ
σμερδαλέῃ· καὶ πολλὰ δολόφρονα φῶτα δαΐζον

πολλὸν ἐπὶ χρόνον αἰέν. ὁ δ' ἔμπεδον ἠΰτε πέτρη
μίμνεν, ἀτειρέα γυῖ' ἐπιειμένος· ὀψὲ δ' ἄρ' αὐτοῦ
οὔαθ' ὁμῶς, καὶ ῥῖνας ἀπὸ μελέων ἐτάμοντο,
πάμπαν ἀεικίζοντες, ὅπως νημερτέα εἴπῃ,
ὅππῃ ἔβαν Δαναοὶ σὺν νήεσιν, ἢ τί καὶ ἵππος
ἔνδον ἐρητύεσκεν. ὁ δ' ἐνθέμενος φρεσὶ κάρτος,
λώβης οὐκ ἀλέγιζεν ἀεικέος, ἀλλ' ἐνὶ θυμῷ
ἔτλη, καὶ πληγῇσι, καὶ ἐν πυρὶ τειρόμενός περ
ἀργαλέως· Ἥρη γὰρ ἐνέπνευσε μέγα κάρτος·
τοῖα δ' ἄρ ἐν μέσσοισι δολοφρονέων ἀγόρευεν·
Ἀργεῖοι μὲν νηυσὶν ὑπὲρ πόντοιο φέβονται,
μακρῷ ἀκηδήσαντες ἐπὶ πτολέμῳ καὶ ἀνίῃ·
Κάλχαντος δ' ἰότητι, δαΐφρονι Τριτογενείῃ
ἵππον ἐτεκτήναντο, θεῆς χόλον ὄφρ' ἀλέωνται,
πάγχυ κοτεσσαμένης Τρώων ὕπερ· ἀμφὶ δὲ νόστου
ἐννεσίῃ Ὀδυσῆος ἐμοὶ μενέαινον ὄλεθρον,
ὄφρα με δῃώσωσι, δυσηχέος ἄγχι θαλάσσης,
δαίμοσιν εἰναλίοις· ἐμὲ δ' οὐ λάθον, ἀλλ' ἀλεγεινὰς
σπονδάς τ' οὐλοχύτας τε μάλ' ἐσσυμένως ὑπαλύξας,
ἀθανάτων βουλῇσι παραὶ ποσὶ κάππεσον ἵππου·
οἱ δὲ, καὶ οὐκ ἐθέλοντες, ἀναγκαίῃ με λίποντο,
ἁζόμενοι μεγάλοιο Διὸς κρατερόφρονα κούρην.
Ὣς φάτο κερδοσύνῃσι· καὶ οὐ κάμεν ἄλγεσι θυμόν·
ἀνδρὸς γὰρ κρατεροῖο, κακὴν ὑποτλῆναι ἀνάγκην.
τῶν οἱ μὲν πεπίθοντο κατὰ στρατόν· οἱ δ' ἄρ' ἔφαντο
ἔμμεναι ἠπεροπῆα πολύτροπον, οἷς ἄρα βουλὴ
ἥνδανε Λαοκόωντος· ὁ γὰρ πεπνυμένα βάζων,
φῆ δόλον ἔμμεναι αἰνὸν ὑπ' ἐννεσίῃσιν Ἀχαιῶν·
πάντας δ' ὀτρύνεσκε θοῶς ἐμπρησέμεν ἵππον,

ἵππον δουράτεον, καὶ γνῶναι εἴ τι κεκεύθε.
Καί νύ κεν οἱ πεπίθοντο, καὶ ἐξήλυξαν ὄλεθρον,
εἰ μὴ Τριτογένεια, κοτεσσαμένη περὶ θυμῷ
αὐτῷ, καὶ Τρώεσσι, καὶ ἄστεϊ, γαῖαν ἔνερθεν
θεσπεσίην ἐλέλιξεν ὕπαί ποσὶ Λαοκόωντος.
τῷ δ' ἄφαρ ἔμπεσε δεῖμα· τρόμος δ' ἀμφέκλασε γυῖα
ἀνδρὸς ὑπερθύμοιο· μέλαινα δέ οἱ περὶ κρατὶ
νὺξ ἐχύθη· στυγερὸν δὲ κατὰ βλεφάρων πέσεν ἄλγος,
σὺν δ' ἔχεεν λασίῃσιν ὑπ' ὀφρύσιν ὄμματα φωτός·
γλῆναι δ' ἀργαλέῃσι πεπαρμέναι ἀμφ' ὀδύνῃσι,
ῥιζόθεν ἐκλονέοντο· περιστρωφῶντο δ' ὀπωπαὶ,
τειρόμεναι ὑπένερθεν· ἄχος δ' ἀλεγεινὸν ἵκανεν
ἄχρι καὶ ἐς μήνιγγας, ἰδ' ἐγκεφάλοιο θέμεθλα·
τοῦ δ' ὅτε μὲν φαίνοντο μεμιγμένοι αἵματι πολλῷ
ὀφθαλμοὶ, ὅτε δ' αὖτε δυσαλθέα γλαυκιόωντες·
πολλάκι δ' ἔῤῥεον, οἷον ἀπὸ στυφελῆς ὅτε πέτρης
εἴβεεν ἐξ ὀρέων νιφετῷ πεπαλαγμένον ὕδωρ·
μαινομένῳ δ' ἤϊκτο· καὶ ἔδρακε διπλόα πάντα,
αἰνὰ μάλα στενάχων· καὶ ἔτι Τρώεσσι κέλευεν,
οὐδ' ἀλέγιζε μόγοιο. φάος δέ οἱ ἐσθλὸν ἄμερσε
δῖα θεή· λευκαὶ δὲ ὑπὸ βλέφαρ' ἔσταν ὀπωπαὶ
αἵματος ἐξ ὀλοοῖο· περιστενάχιζε δὲ λαὸς,
οἰκτείρων φίλον ἄνδρα, καὶ ἀθανάτην Ἀγελείην
ἐῤῥιγὼς, μή δή τι παρήλιτεν ἀφραδίῃσιν.
καί σφιν ἐς αἰνὸν ὄλεθρον ἀνεγνάμφθη νόος ἔνδον,
οὕνεκα λωβήσαντο δέμας μογεροῖο Σίνωνος,
ἐλπόμενοι κατὰ θυμὸν, ἐτήτυμα πάντ' ἀγορεύειν·
τοὔνεκα προφρονέως μιν ἄγον ποτὶ Τρώϊον ἄστυ,
ὀψέ περ οἰκτείραντες. ἀγειρόμενοι δ' ἄρα πάντες,

σειρὴν ἀμφεβάλοντο θοῶς περιμήκεϊ ἵππῳ,
δησάμενοι καθύπερθεν, ἐπεὶ ῥά οἱ ἐσθλὸς Ἐπειὸς
ποσσὶν ὑπὸ βριαροῖσιν ἐΰτροχα δούρατα θῆκεν,
ὄφρα κεν αἰζηοῖσιν ἐπὶ πτολίεθρον ἕπηται,
ἑλκόμενος Τρώων ὑπὸ χείρεσιν. οἱ δ' ἅμα πάντες
εἷλκον ἐπιβρίσαντες ἀολλέες, ἠΰτε νῆα
ἕλκουσιν μογέοντες ἔσω ἁλὸς ἠχηέσσης
αἰζηοὶ, στιβαραὶ δὲ περιστενάχουσι φάλαγγες
τριβόμεναι, δεινὸν δὲ τρόπις περιτετριγυῖα,
ἀμφὶς ὀλισθαίνουσα, κατέρχεται εἰς ἁλὸς οἶδμα.
ὣς οἵγε σφίσι πῆμα ποτὶ πτόλιν ἔργον Ἐπειοῦ,
πανσυδίῃ μογέοντες, ἀνείρυον· ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλὸν ἄδην στεφέων ἐριθηλέα κόσμον ἔθεντο·
αὐτοὶ δ' ἐστέψαντο κάρη· μέγα δ' ἤπυε λαὸς,
ἀλλήλοις ἐπικεκλομένων. ἐγέλασσε δ' Ἐνυὼ,
δερκομένη πολέμοιο κακὸν τέλος· ὑψόθι δ' Ἥρη
τέρπετ'· Ἀθηναίη δ' ἐπεγήθεεν. οἱ δὲ μολοντες
ἄστυ ποτὶ σφέτερον, μεγάλης κρήδεμνα πόληος
λυσάμενοι, λυγρὸν ἵππον ἐσήγαγον· αἱ δ' ὀλόλυξαν
Τρωϊάδες· πᾶσαι δὲ περισταδὸν εἰσορόωσαι,
θάμβεον ὄβριμον ἔργον· ὁ δέ σφισιν ἔκρυφε πῆμα.
Λαοκόων δ' ἔτ' ἔμιμνεν ἐποτρύνων ἑτάροισιν
ἵππον ἀμαλδῦναι μαλερῷ πυρί· τῷ δὲ οἱ οὔτι
πείθοντ', ἀθανάτων γὰρ ὑποτρομέεσκον ὁμοκλήν.
τῷ δ' ἔπι κύντερον ἄλλο θεὰ μεγάθυμος Ἀθήνη
δυστήνοις τεκέεσσιν ἐμήδετο Λαοκόωντος.
δὴ γάρ που πέλεν ἄντρον ὑπὸ στυφελώδεϊ πέτρῃ
ἠερόεν, θνητοῖσιν ἀνέμβατον, ᾧ ἔνι θῆρες
σμερδαλέοι ναίεσκον, ἔτ' οὐλομένοιο γενέθλης

Τυφῶνος, νήσοιο κατὰ πτύχας, ἥν τε Καλύδνην
λαοὶ κικλήσκουσιν, ἔσω ἁλὸς, ἀντία Τροίης.
ἔνθεν ἀναστήσασα βίην καλέεσκε δρακόντων
ἐς Τροίην· οἱ δ᾽ αἶψα θεῆς ὕπο κινηθέντες,
νῆσον ἑὴν ἐτίναξαν· ἐπεσμαράγησε δὲ πόντος
νισσομένων, καὶ κῦμα διΐστατο· τοὶ δ᾽ ἐφέροντο
αἰνὸν λιχμώοντες· ἔφριξε δὲ κήτεα πόντου·
ἀμφὶ δ᾽ ἄρα στενάχοντο μέγα Ξάνθοιο θύγατρες,
Νύμφαι, καὶ Σιμόεντος· ἀπ᾽ Οὐλύμποιο δὲ Κύπρις
ἄχνυτο. τοὶ δ᾽ ἄφαρ ἶξαν ὅπη θεὸς ὀτρύνεσκε,
θήγοντες βλοσυρῇσι γενειάσι λοιγὸν ὀδόντων,
δυστήνοις ἐπὶ παισί· κακὴ δ᾽ ἐπενίσσατο φύζα
Τρῶας, ὅτ᾽ εἰσενόησαν ἀνὰ πτόλιν αἰνὰ πέλωρα·
οὐδέ τις αἰζηῶν, οὐδ᾽ εἰ μένος ἄτρομος ἦεν,
μεῖναι ἔτλη· πάντας γὰρ ἀμείλιχον ἄμφεχε δεῖμα,
θῆρας ἀλευομένους, ὀδύνη δ᾽ ἔχεν. ἔνθα γυναῖκες
οἴμωζον· καί πού τις ἑῶν ἐπελήσατο τέκνων,
αὐτὴ ἀλευομένη στυγερὸν μόρον· ἀμφὶ δὲ Τροίη
ἔστεν᾽ ἐπεσσυμένων· πολλοὶ δ᾽ ἄφαρ εἰς ἓν ἰόντες,
γυῖα περιδρύφθησαν· ἐνεστείνοντο δ᾽ ἀγυιαῖς
ἀμφιπεριπτώσσοντες. ἔλειπτο δὲ μοῦνος ἄπωθεν
Λαοκόων ἅμα παισί· πέδησε γὰρ οὐλομένη Κὴρ,
καὶ θεός· οἱ δέ οἱ υἷας, ὑποτρομέοντας ὄλεθρον,
ἀμφοτέρους ὀλοῇσιν ἀνηρείψαντο γένυσσι,
πατρὶ φίλῳ ὀρέγοντας ἑὰς χέρας· οὐδ᾽ ὅς ἀμύνειν
ἔσθενεν· ἀμφὶ δὲ Τρῶες, ἀπόπροθεν εἰσορόωντες,
κλαῖον ὑπὸ κραδίῃσι τεθηπότες· οἱ δ᾽ ἄρ᾽ Ἀθήνης
προφρονέως τελέσαντες ἀπεχθέα Τρωσὶν ἐφετμὴν,
ἄμφω ἀϊστώθησαν ὑπὸ χθόνα· τῶν δ᾽ ἔτι σῆμα

φαίνεθ' ὅπου κατέδυσαν ἐς ἱερὸν Ἀπόλλωνος
Περγάμῳ ἐν ζαθέῃ· προπάροιθε δὲ Τρώϊοι υἷες
παίδων Λαοκόωντος ἀμείλιχα δῃωθέντων
τεῦξαν ἄμ' ἀγρόμενοι κενεὸν τάφον· καὶ ἐπὶ δάκρυ
χεῦε πατὴρ ἀλαοῖσιν ὑπ' ὄμμασιν· ἀμφὶ δὲ μήτηρ
πολλὰ κινυρομένη, κενεῷ ἐπαΰτεε τύμβῳ,
ἐλπομένη τι καὶ ἄλλο κακώτερον· ἔστενε δ' ἄτην
ἀνέρος ἀφραδίῃ, μακάρων δ' ὑποδείδιε μῆνιν.
ὡς δ' ὅτ' ἐρημαίην περιμύρεται ἀμφὶ καλιὴν
πολλὰ μάλ' ἀχνυμένη κατὰ δάσκιον ἄγκος ἀηδὼν,
ἧς ἔτι νήπια τέκνα, πάρος κελαδεινὸν ἀείδειν,
δάμναθ' ὑπὸ γναθμοῖσι μένος βλοσυροῖο δράκοντος,
μητέρι δ' ἄλγεα θῆκε, καὶ ἄσπετον ἀσχαλόωσα
μύρεται, ἀμφὶ δόμον κενεὸν μάλα κεκληγυῖα·
ὣς ἥγε στενάχιζε λυγρὸν τεκέων ἐπ' ὀλέθρῳ,
μυρομένη κενεῷ ἐπὶ σήματι· σὺν δέ οἱ ἄλλο
πῆμα μάλ' ἀργαλέον πόσιος πέλεν ἀμφ' ἀλαοῖο.
Καὶ ῥ' ἡ μὲν φίλα τέκνα καὶ ἀνέρα κωκύεσκεν,
τοὺς μὲν ἀποφθιμένους, τὸν δ' ἄμμορον ἠελίοιο·
Τρῶες δ' ἀθανάτοισιν ἐπεντύνοντο θυηλὰς,
λείβοντες μέθυ λαρὸν, ἐπεί σφισιν ἦτορ ἐώλπει
λευγαλέου πολέμοιο βαρὺ σθένος ἐξυπαλύξειν.
ἱερὰ δ' οὐ καίοντο, πυρὸς δ' ἐσβέννυτ' ἀϋτμὴ,
ὄμβρου ὅπως καθύπερθε δυσηχέος ἐσσυμένοιο·
καπνὸς δ' αἱματόεις ἀνεκήκιε· μηρὰ δὲ πάντα
πίπτε χαμαὶ τρομέοντα· κατηρείποντο δὲ βωμοί·
σπονδαὶ δ' αἷμα γένοντο· θεῶν δ' ἐξέῤῥεε δάκρυ,
καὶ νηοὶ δεύοντο λύθρῳ· στοναχαὶ δ' ἐφέροντο
ἔκποθεν ἀπροφάτοιο· περισσείοντο δὲ μακρὰ

τείχεα, καὶ πύργοι μεγάλ' ἔκτυπον, ὡς ἐτεόν περ·
αὐτόματοι δ' ἄρ' ὀχῆες ἀνωΐγνυντο πυλάων,
αἰνὸν κεκλήγοντες· ἐπεστενάχοντο δὲ λυγρὸν
ἐννύχιοι ὄρνιθες, ἐρημαῖον βοόωντες·
ἄστρα δὲ πάντ' ἐφύπερθε θεοκμήτοιο πόληος
ἀχλὺς ἄρ' ἀμφεκάλυψε, καὶ ἀννεφέλου περ ἐόντος
οὐρανοῦ αἰγλήεντος· ἀπαυαίνοντο δὲ δάφναι
πὰρ νηὸν Φοίβοιο, πάρος θαλεραί περ ἐοῦσαι·
ἐν δὲ λύκοι καὶ θῶες ἀναιδέες ὠρύσαντο
ἔντοσθεν πυλέων· μάλα μυρία δ' ἀμφεφαάνθη
σήματα, Δαρδανίδῃσι καὶ ἄστεϊ πῆμα φέροντα.
ἀλλ' οὐ δεῖμ' ἀλεγεινὸν ἐπὶ Τρώων φρένας ἷξε,
δερκομένων ἀλεγεινὰ τεράατα πάντα κατ' ἄστυ·
Κῆρες γὰρ πάντων νόον ἔκβαλον, ὄφρ' ἐπὶ δαιτὶ
πότμον ἀναπλήσωσιν ὑπ' Ἀργείοισι δαμέντες.

Οἴη δ' ἔμπεδον ἦτορ ἔχεν, πινυτόν τε νόημα
Κασσάνδρη, τῆς οὔποτ' ἔπος γένετ' ἀκράαντον,
ἀλλ' ἄρ' ἐτήτυμον ἔσκεν· ἀκούετο δ' ἔκ τινος αἴσης,
ὡς ἀνεμώλιον ἦεν, ἵν' ἄλγεα Τρωσὶ γένηται.
ἡ ῥ' ὅτε σήματα λυγρὰ κατὰ πτόλιν εἰσενόησεν,
εἰς ἓν ἄμ' ἀΐσσοντα, μέγ' ἴαχεν, εὖτε λέαινα,
ἥν ῥά τ' ἐνὶ ξυλόχοισιν ἀνὴρ, λελιημένος ἄγρης,
οὐτάσῃ ἠὲ βάλῃ, τῆς δ' ἐν φρεσὶ μαίνεται ἦτορ
πάντη ἂν' οὔρεα μακρὰ, πέλει δέ οἱ ἄσχετος ἀλκή.
ὣς ἄρα μαιμώωσα θεόπροπον ἔνδοθεν ἦτορ,
ἤλυθεν ἐκ μεγάροιο· κόμαι δέ οἱ ἀμφεκέχυντο
ὤμοις ἀργυφέοισι, μετάφρενον ἄχρις ἰοῦσαι·
ὄσσε δέ οἱ μάρμαιρεν ἀναιδέα· τῆς δ' ὑπὸ δειρὴ,
ἐξ ἀνέμων ἅτε πρέμνον, ἄδην ἐλελίζετο πάντη.

καί ῥα μέγα στενάχιζε, καὶ ἴαχε παρθένος ἐσθλή·
Ἆ δειλοί, νῦν ἔβημεν ὑπὸ ζόφον· ἀμφὶ γὰρ ἡμῖν
ἔμπλειον πυρὸς ἄστυ καὶ αἵματος, ἠδὲ καὶ οἴτου
λευγαλέου· πάντη δὲ τεράατα δακρυόεντα
ἀθάνατοι φαίνουσι, καὶ ἐν ποσὶ κείμεθ᾽ ὀλέθρου.
σχέτλιοι, οὐδέ τι ἴστε κακὸν μόρον, ἀλλ᾽ ἄρα πάντες
χαίρετε ἀφραδέοντες. ὃ γὰρ μέγα πῆμα κέκευθεν.
ἀλλά μοι οὐ πείθεσθ᾽, οὐδ᾽ εἰ μάλα πόλλ᾽ ἀγορεύσω,
οὕνεκ᾽ Ἐριννύες, ἄκρα γάμου κεχολωμέναι αἰνοῦ
ἀμφ᾽ Ἑλένης, καὶ Κῆρες ἀμείλιχοι, ἀΐσσουσι
πάντη ἀνὰ πτολίεθρον· ἐπ᾽ εἰλαπίνῃ δ᾽ ἀλεγεινῇ
δαίνυσθ᾽ ὕστατα δόρπα, κακῷ πεφορυγμένα λύθρῳ,
ἤδη ἐπιψαύοντες ὁμὴν ὁδὸν εἰδώλοισιν.
καί τις κερτομέων, ὀλοφώϊον ἔκφατο μῦθον·
Ὦ κούρη Πριάμοιο, τίη νύ σε μάργος ἀνώγει
γλῶσσα, κακοφραδίη τ᾽, ἀνεμώλια πάντ᾽ ἀγορεύειν;
οὐ δέ σε παρθενικὴ καὶ ἀκήρατος ἀμφέχει αἰδὼς,
ἀλλά σε λύσσ᾽ ὀλοὴ περιδέδρομε· τῷ νύ σε πάντες
αἰὲν ἀτιμάζουσι βροτοὶ πολύμυθον ἐοῦσαν·
ἔῤῥε, καὶ Ἀργείοισι κακὴν προτιόσσεο φήμην,
ἠδ᾽ αὐτῇ· τάχα πού σε καὶ ἀργαλεώτερον ἄλγος
μίμνει Λαοκόωντος ἀναιδέος· οὐ γὰρ ἔοικεν
ἀθανάτων φίλα δῶρα δαΐζέμεν ἀφραδέοντα.
Ὣς ἄρ ἔφη Τρώων τις ἀνὰ πτόλιν· ὣς δὲ καὶ ἄλλοι
κούρην μωμήσαντο, καὶ οὐ φάσαν ἄρτια βάζειν,
οὕνεκά σφιν μέγα πῆμα καὶ ἀργαλέον μένος Αἴσης
ἄγχι παρειστήκει· τοὶ δ᾽ οὐ νοέοντες ὄλεθρον,
κείνην κερτομέοντες ἀπέτρεπον εὐρέος ἵππου.
ἦ γάρ οἱ μενέαινε διὰ ξύλα πάντα κεδάσσαι,

ἠὲ καταπρῆσαι μαλερῷ πυρί· τοὔνεκα πεύκης
αἰθομένης ἔτι δαλὸν ἀπ' ἐσχαρεῶνος ἑλοῦσα,
ἔσσυτο μαιμώωσ'· ἑτέρῃ δ' ἐνὶ χειρὶ φέρεσκεν
ἀμφίτυπον βουπλῆγα· λυγρῷ δ' ἐπεμαίνετο ἵππῳ,
ὄφρα λόχον στονόεντα καὶ ἀμφαδὸν ἀθρήσωσι
Τρῶες· τοὶ δέ οἱ αἶψα χερῶν ἀπὸ νόσφι βαλόντες
πῦρ, ὀλοόν τε σίδηρον, ἀκηδέες ἐντύνοντο
δαῖτα λυγρήν· μάλα γάρ σφιν ἐπήϊεν ὑστατίη νύξ.
Ἀργεῖοι δ' ἔντοσθεν ἐγήθεον εἰσαΐοντες
δαινυμένων ὅμαδον κατὰ Ἴλιον, οὐδ' ἀλεγόντων
Κασσάνδρης, τήν ῥ' αὐτοὶ ἐθάμβεον, ὡς ἐτέτυκτο
ἀτρεκέως εἰδυῖα νόον καὶ μῆτιν Ἀχαιῶν.
Ἡ δ' ἅτε πόρδαλις ἔσσυτ' ἐν οὔρεσι καγχαλόωσα,
ἥν τ' ἀπὸ μεσσαύλοιο κύνες, μογεροί τε νομῆες,
σεύοντ' ἐσσυμένως, ἡ δ' ἄγριον ἦτορ ἔχουσα,
ἐντροπαλιζομένη ἀναχάζεται, ἀχνυμένη περ·
ὣς ἥγ' εὐρέος ἵππου ἀπέσσυτο, τειρομένη κῆρ
Τρώων ἀμφὶ φόνου· μάλα γάρ σφισι δέχνυτο πῆμα.

# ΚΟΙΝΤΟΥ
# ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
## ΒΙΒΛΙΟΝ ΙΓ.

Οἱ δ᾽ ἄρ᾽ ἀνὰ πτολίεθρον ἐδόρπεον· ἐν δ᾽ ἄρα τοῖσιν
αὐλοὶ ὁμῶς σύριγξι μέγ᾽ ἤπυον· ἀμφὶ δὲ πάντη
μολπὴ ἐπ᾽ ὀρχηθμοῖσι, καὶ ἄκριτος ἔσκεν ἀϋτὴ
δαινυμένων, οἵη τε πέλει περὶ δαιτὶ καὶ οἴνῳ·
ὧδε δέ τις χείρεσσι λαβὼν ἔνι πλεῖον ἄλεισον,
πῖνεν ἀκηδέστως· βαρύθοντο δέ οἱ φρένες ἔνδον·
ἀμφὶ δ᾽ ἄρ᾽ ὀφθαλμοὶ στρεφεδίνεον· ἄλλο δ᾽ ἐπ᾽ ἄλλῳ
ἐκ στόματος προΐεσκεν ἔπος, κεκολουμένα βάζων·
καί ῥά οἱ ἐν μεγάρῳ κειμήλια, καὶ δόμος αὐτός,
φαίνετο κινυμένοισιν ἐοικότα· πάντα δ᾽ ἐώλπει
ἀμφιπεριστρωφᾶσθαι ἀνὰ πτόλιν· ὄσσε δ᾽ ἄρ᾽ ἀχλὺς
ἄμφεχεν· ἀκρήτῳ γὰρ ἀμαλδύνονται ὀπωπαὶ
καὶ νόος αἰζηῶν, ὁπότ᾽ ἐς φρένα χανδὸν ἵκηται·
καί ῥα καρηβαρέων, τοῖον ποτὶ μῦθον ἔειπεν·
Ἦ ῥ᾽ ἅλιον Δαναοὶ πουλὺν στρατὸν ἐνθάδ᾽ ἄγειραν,
σχέτλιοι, οὐδ᾽ ἐτέλεσσαν ὅσα φρεσὶ μηχανόωντο,
ἀλλ᾽ αὔτως ἀπόρουσαν ἀπ᾽ ἄστεος ἡμετέροιο,
νηπιάχοις παίδεσσιν ἐοικότες, ἠδὲ γυναιξίν·
Ὣς ἄρ ἔφη Τρώων τις, ἐεργόμενος φρένα οἴνῳ,

νήπιος· οὐδ᾽ ἄρ᾽ ἐφράσσατ᾽ ἐπὶ προθύροισιν ὄλεθρον.
εὖτε γὰρ ὕπνος ἔρυκεν ἀνὰ πτόλιν ἄλλοθεν ἄλλον,
οἴνῳ ἀναπλήθοντας ἀπειρεσίῳ, καὶ ἐδωδῇ,
δὴ τότ᾽ ἄρ᾽ αἰθαλόεντα Σίνων ἀνὰ πυρσὸν ἄειρεν,
δεικνὺς Ἀργείοισι πυρὸς σέλας· ἀμφὶ δέ οἱ κῆρ
ἄσπετα πορφύρεσκε κατὰ φρένα, μή μιν ἴδωνται
Τρῶες ἐϋσθενέες, τάχα δ᾽ ἀμφαδὰ πάντα γένηται.
ἀλλ᾽ οἱ μὲν λεχέεσι πανύστατον ὕπνον ἴαυον,
πολλῷ ὑπ᾽ ἀκρήτῳ βεβαρηότες· οἱ δ᾽ ἐσιδόντες,
ἐκ Τενέδου, νήεσσιν ἐπὶ πλόον ἐντύνοντο.
αὐτὸς δ᾽ ἄγχ᾽ ἵπποιο Σίνων κίεν· ἦκα δ᾽ ἄϋσεν,
ἦκα μάλ᾽, ὥς μήπου τις ἐνὶ Τρώεσσι πύθηται,
ἀλλ᾽ οἶοι Δαναῶν ἡγήτορες, ὧν ἀπὸ νόσφιν
ὕπνος ἄδην πεπότητο, λιλαιομένων πονέεσθαι.
οἵ ῥά οἱ, ἔνδον ἐόντες, ἐπέκλυον· ἐς δ᾽ Ὀδυσῆα
πάντες ἐπ᾽ οὔατ᾽ ἔνευσαν· ὁ δὲ σφέας ὀτρύνεσκεν,
ἦκα καὶ ἀτρεκέως ἐκβήμεναι· οἱ δ᾽ ἐπίθοντο
ἐς μόθον ὀτρύνοντι, καὶ ἐξ ἵπποιο χαμάζε
ὥρμαινον πονέεσθαι· ὁ δ᾽ ἰδρείῃσιν ἔρυκε
πάντας ἐπεσσυμένους· αὐτὸς δ᾽ ἄρα χερσὶ θοῇσιν
ἵππου δουρατέοιο μάλ᾽ ἀτρέμας ἔνθα καὶ ἔνθα
πλευρὰ διεξώϊξεν ἐϋμμελίῃ ὑπ᾽ Ἐπειῷ·
βαιὸν δ᾽ ἐξανέδυσεν ἰδὼν ὕπερ, ἀμφὶ δὲ πάντη
Τρῶας παπταίνεσκεν, ἐγρηγορότ᾽ εἴπου ἴδοιτο.
ὡς δ᾽ ὅταν ἀργαλέῳ λιμῷ βεβολημένος ἦτορ
ἐξ ὀρέων ἔλθῃσι λύκος, χατέων μάλ᾽ ἐδωδῆς,
ποίμνης πρὸς σταθμὸν εὐρὺν, ἀλευόμενος δ᾽ ἄρα φῶτας

καὶ κύνας, οἵ ῥά τε μῆλα φυλασσέμεναι μεμάασι,
βαίνῃ ποσσὶν ἕκηλος ὑπὲρ ποιμνήϊον ἕρκος·
ὣς Ὀδυσεὺς ἵπποιο κατήϊεν· ἀμφὶ δ' ἄρ' αὐτῷ
ὄβριμοι ἄλλοι ἕποντο Πανελλήνων βασιλῆες
νισσόμενοι κλίμαξι κατὰ στίχας, ἅσπερ Ἐπειὸς
τεῦξεν ἀριστήεσσιν ἐϋσθενέεσσι κέλευθα
ἵππον ἐσερχομένοισι, καὶ ἐξ ἵπποιο κιοῦσιν·
οἵ ῥα τότ' ἀμφ' αὐτῇσι κατήϊον ἄλλοθεν ἄλλοι,
θαρσαλέοι, σφήκεσσιν ἐοικότες, οὕς τε κλονήσῃ
δρυτόμος, οἱ δ' ἄρα πάντες, ὀρινόμενοι πέρι θυμῷ,
ὄζου ὑπεκπροχέονται, ὅτε κτύπον εἰσαΐουσιν·
ὣς οἵγ' ἐξ ἵπποιο μεμαότες ἐξεχέοντο
ἐς Τρώων πτολίεθρον ἐΰκτιτον· ἐν δ' ἄρα τοῖσι
πάλλετ' ἐνὶ στέρνοισι κέαρ· τάχα δ' οἱ μὲν ἔναιρον
δυσμενέας· τοὶ δ' ἔσκον ἔσω ἁλὸς, αἱ δ' ἐφέροντο
νῆες ὑπὲρ μέγα χεῦμα· Θέτις δ' ἴθυνε κέλευθα,
οὖρον ἐπιπροϊεῖσα· νόος δ' ἰαίνετ' Ἀχαιῶν.
καρπαλίμως δ' ἐλθόντες ἐπ' ἠόνας Ἑλλησπόντου,
ἔνθ' αὖθις στήσαντο νέας, σὺν δ' ἄρμενα πάντα
εἶλον ἐπισταμένως, ὅσα νήεσιν αἰὲν ἕπονται·
αὐτοὶ δ' αἶψ' ἐκβάντες, ἐς Ἴλιον ἐσσεύοντο
ἄτρομοι, ἠΰτε μῆλα περὶ σταθμὸν ἀΐσσοντα
ἐκ νομοῦ ὑλήεντος, ὀπωρινὴν ὑπὸ νύκτα·
ὣς οἵγ' ἀνίαχοι Τρώων ποτὶ ἄστυ νέοντο,
πάντες ἀριστήεσσιν ἀρηγέμεναι μεμαῶτες.
οἱ δ' ὡς παρδάλιες λιμῷ περιπαιφάσσοντες,
σταθμῷ ἐπιβρίσουσι κατ' οὔρεα μακρὰ, καὶ ὕλην,
εὕδοντος μογεροῦ σημάντορος, ἄλλα δ' ἐπ' ἄλλοις
δάμνανθ' ἕρκεος ἐντὸς ὑπὸ κνέφας· ἀμφὶ δὲ πάντῃ,

— — — — —

αἵματι καὶ νεκύεσσιν, ὀρώρει δ' αἰνὸς ὄλεθρος,
καίπερ ἔτι πλεόνων Δαναῶν ἔκτοσθεν ἐόντων.
Ἀλλ' ὅτε δὴ μάλα πάντες ἔβαν ποτὶ τείχεα Τροίης,
δὴ τότε μαιμώωντες, ἀνηλεγέως ἐπέχυντο
ἐς Πριάμοιο πόληα, μένος πνείοντες Ἄρηος·
πᾶν δ' εὗρον πτολίεθρον ἐνίπλειον πολέμοιο,
καὶ νεκύων· πάντη δὲ πέρι στονόεντα μέλαθρα
καιόμεν' ἀργαλέως· μέγα δὲ φρεσὶν ἰαίνοντο.
ἐν δὲ καὶ αὐτοὶ Τρωσὶ κακὰ φρονέοντες, ὄρουσαν·
μαίνετο δ' ἐν μέσσοισιν Ἄρης, στονόεσσα τ' Ἐνυώ·
πάντη δ' αἷμα κελαινὸν ὑπέῤῥεε, δεύετο δὲ χθὼν
Τρώων ὀλλυμένων, ἠδ' ἀλλοδαπῶν ἐπικούρων·
τῶν οἱ μὲν, θανάτῳ δεδμημένοι ὀκρυόεντι,
κεῖντο κατὰ πτολίεθρον ἐν αἵματι· οἱ δ' ἐφύπερθε
πίπτον, ἀποπνείοντες ἑὸν μένος· οἱ δ' ἄρα, χειρὶ
δράγδην ἔγκατ' ἔχοντες, ὀϊζυρῶς ἀλάληντο
ἀμφὶ δόμους· ἄλλοι δὲ ποδῶν ἑκάτερθε κοπέντων,
ἀμφὶ νεκροὺς εἵρπυζον, ἀάσπετα κωκύοντες·
πολλῶν δ' ἐν κονίῃσι μαχήσασθαι μεμαώτων,
χεῖρες ἀπηράχθησαν ὁμῶς κεφαλῇσι καὶ αὐτῇς·
φευγόντων δ' ἑτέρων μελίαι διὰ νῶτα πέρησαν
ἀντικρὺς ἐς μαζοὺς, τῶν δ' ἰξύας, ἄχρις ἱκέσθαι
αἰδοίων ἐφύπερθε διαμπερὲς, ἧχι μάλιστα
Ἄρεος ἀκαμάτοιο πέλει πολυώδυνος αἰχμή.
πάντη δ' ἀμφὶ πόληα κυνῶν ἀλεγεινὸς ὀρώρει
ὠρυθμός· στοναχὴ δὲ δαϊκταμένων αἰζηῶν
ἔπλετο λευγαλέη· περὶ δ' ἴαχε πάντα μέλαθρα
ἄσπετον· οἰμωγὴ δὲ πέλεν στονόεσσα γυναικῶν,

εἰδομένων γεράνοισιν, ὅτ' αἰετὸν ἀθρήσωσιν,
ὑψόθεν ἀΐσσοντα δι' αἰθέρος, οὐδ' ἄρα τῇσι
θαρσαλέον στέρνοισι πέλει μένος, ἀλλά γε μοῦνον
μακρὸν ἀνατρίζουσι, φοβεύμεναι ἱερὸν ὄρνιν.
ὣς ἄρα Τρωϊάδες μέγα κώκυον ἄλλοθεν ἄλλαι,
αἱ μὲν, ἀνεγρόμεναι λεχέων ἄπο, ταὶ δ' ἐπὶ γαῖαν
θρώσκουσαι· τῆς δ' οὔτι μίτρης ἔτι μέμβλετο λυγρῆς,
ἀλλ' αὔτως ἀλάληντο, περὶ μελέεσσι χιτῶνας
μοῦνον ἐφεσσάμεναι· ταὶ δ' οὐ φθάσαν οὔτε καλύπτρην,
οὔτε βαθὺν μελέεσσιν ἔχειν πέπλον, ἀλλ' ἐπιόντας
δυσμενέας τρομέουσαι, ἀμηχανίῃ πεπέδηντο,
παλλόμεναι κραδίην· μοῦνον δ' ἄρα χερσὶ θοῇσιν
αἰδῶ ἀπεκρύψαντο δυσάμμοροι· αἱ δ' ἀλεγεινῶς
ἐκ κεφαλῆς τίλλοντο κόμην, καὶ στήθεα χερσὶ
θεινόμεναι, γοάασκον ἄδην· ἕτεραι δὲ κυδοιμὸν
δυσμενέων ἔτλησαν ἐναντίον, ἐκ δ' ἐλάθοντο
δείματος, ὀλλυμένοισιν ἀρηγέμεναι μεμαυῖαι
ἀνδράσιν, ἢ τεκέεσσιν, ἐπεὶ μέγα θάρσος ἀνάγκη
ὤπασεν· οἰμωγὴ δ' ἀταλάφρονας ἔκβαλεν ὕπνου
νηπιάχους, τῶν οὔπω ἐπίστατο κήδεα θυμός.
ἄλλοι δ' ἀμφ' ἄλλοισιν ἀπέπνεον· οἱ δ' ἐκέχυντο
πότμον ὁμῶς ὁρόωντες ὀνείρασιν· ἀμφὶ δὲ λυγραὶ
Κῆρες ὀϊζυρῶς ἐπεγήθεον ὀλλυμένοισιν·
οἱ δ' ὥστ' ἀφνειοῖο σύες κατὰ δώματ' ἄνακτος,
εἰλαπίνην λαοῖσιν ἀπείριτον ἐντύνοντος,
μυρίοι ἐκτείνοντο· λυγρῷ δ' ἀνεμίσγετο λύθρῳ
οἶνος ἔτ' ἐν κρητῆρσι λελειμμένος· οὐδέ τις ἦεν,
ὃς κεν ἄνευθε φόνοιο φέρε στονόεντα σίδηρον,

οὐδ' εἴ τις μάλ' ἄναλκις ἔην· ὀλέκοντο δὲ Τρῶες.
ὡς δ' ὑπὸ θώεσι μῆλα δαΐζεται, ἠὲ λύκοισι,
καύματος ἐσσυμένοιο δυσαέος ἤματι μέσσῳ,
ποιμένος οὐ παρεόντος, ὅτε σκιερῷ ἐνὶ χώρῳ
ἰλαδὸν ἀλλήλοισιν ὁμῶς συναρηρότα πάντα
μίμνωσιν, κείνοιο γλάγος ποτὶ δῶμα φέροντος,
νηδύα πλησάμενοι πολυχανδέα, πάντ' ἐπιόντες,
αἷμα μέλαν πίνουσιν, ἅπαν δ' ὀλέκουσι μένοντες
πῶϋ, κακὴν δ' ἄρα δαῖτα λυγρῷ τεύχουσι νομῆϊ·
ὣς Δαναοὶ Πριάμοιο κατὰ πτόλιν ἄλλον ἐπ' ἄλλῳ
κτεῖνον ἐπεσσύμενοι, πυμάτην ἀνὰ δηϊοτῆτα·
οὐδ' ἄῤ ἔην Τρώων τις ἀνούτατος, ἀλλ' ἄρα πάντων
γναμπτὰ μέλη πεπάλακτο, μελαινόμεν' αἵματι πολλῷ.

Οὐδὲ μὲν Ἀργείοισιν ἀνούτητος πέλε δῆρις,
ἀλλ' οἱ μὲν δεπάεσσι τετυμμένοι, οἱ δὲ τραπέζαις,
οἱ δ' ἔτι καιομένοισιν ἐπ' ἐσχαρεῶσι τυπέντες
δαλοῖς, ἠδ' ὀβελοῖσι πεπαρμένοι, ἐκπνείεσκον,
οἷς ἔτι που καὶ σπλάγχνα συῶν περὶ θερμὰ λέλειπτο
Ἡφαίστου μαλεροῖο περιζείοντος ἀϋτμῇ·
ἄλλοι δ' αὖ πελέκεσσι, καὶ ἀξίνῃσι θοῇσιν,
ἤσπαιρον τμηθέντες ἐν αἵματι· τῶν δ' ἀπὸ χειρῶν
δάκτυλοι ἐτμήθησαν, ἐπὶ ξίφος εὖτε βάλοντο
χεῖρας, ἐελδόμενοι στυγερὰς ἀπὸ Κῆρας ἀμύνειν.
καί πού τις βρεχμόν τε, καὶ ἐγκέφαλον συνέχευε,
λᾶα βαλὼν, ἑτάροιο, κατὰ μόθον· οἱ δ' ἅτε θῆρες,
οὐτάμενοι σταθμοῖς ἐνὶ ποιμένος ἀγραύλοιο,
ἀργαλέως μαίνοντο, διεγρομένοιο χόλοιο,
νύχθ' ὑπὸ λευγαλέην· μέγα δ' ἰσχανόωντες Ἄρηος
ἀμφὶ δόμους Πριάμοιο κυδοίμεον, ἄλλοθεν ἄλλον

σεύοντες· πολλοὶ δὲ καὶ ἐγχείῃσι δάμησαν
Ἀργείων· Τρῶες γὰρ ὅσοι φθάσαν ἐκ μεγάροιϊν
ἢ ξίφος, ἢ δόρυ μακρὸν ἑῆς ἀνὰ χερσὶν ἀεῖραι,
δυσμενέας δάμναντο, καὶ ὥς, βεβαρηότες οἴνῳ.
Αἴγλη δ' ἄσπετος ὦρτο δι' ἄστεος, οὕνεκ' Ἀχαιῶν
πολλοὶ ἔχον χείρεσσι πυρὸς σέλας, ὄφρ' ἀνὰ δῆριν
δυσμενέας τε, φίλους τε, μάλ' ἀτρεκέως δρόωσι,
καὶ τότε Τυδέος υἱὸς ἀνὰ μόθον ἀντιόωντα
αἰχμητῆρα Κόροιβον, ἀγαυοῦ Μύγδονος υἷα,
ἐγχείῃ κοίλοιο διὰ στομάχοιο πέρησεν,
ᾗχι θοαὶ πόσιός τε καὶ εἴδατός εἰσι κέλευθοι
καὶ τὸν μὲν περὶ δουρὶ μέλας ἐκιχήσατο πότμος·
κάππεσε δ' ἐς μέλαν αἷμα, καὶ ἄλλων ἔθνεα νεκρῶν,
νήπιος· οὐ δ' ἀπόνητο γάμων, ὧν οὕνεχ' ἵκανεν
χθιζὸς ὑπὸ Πριάμοιο πόλιν, καὶ ὑπέσχετ' Ἀχαιοὺς
Ἰλίου ἂψ ὦσαι· τῷ δ' οὐ θεὸς ἐξετέλεσσεν
ἐλπωρήν· Κῆρες γάρ οἱ προέηκαν ὄλεθρον.
σὺν δέ οἱ Εὐρυδάμαντα κατέκτανεν ἀντιόωντα,
γαμβρὸν ἐϋμμελίην Ἀντήνορος, ὅς ῥα μάλιστα
θυμὸν ἐνὶ Τρώεσσι σαοφροσύνῃσ' ἐκέκαστο.
ἔνθα καὶ Ἰλιονῆϊ συνήντετο δημογέροντι,
καί οἱ ἔπι ξίφος αἰνὸν ἐρύσσατο· τοῦ δ' ἄρα πάγχυ
γηραλέου κλάσθησαν ἅδην ἐνὶ σώματι γυῖα·
καί ῥα περιτρομέων μάλα χείρεσιν ἀμφοτέρῃσι,
τῇ μὲν ἄορ συνέδραξε θοόν, τῇ δ' ἥψατο γούνων
ἀνδροφόνου ἥρωος· ὁ δ' ἐς μόθον ἐσσύμενός περ
ἢ χόλου ἀμβολίῃ, ἢ καὶ θεοῦ ὀτρύναντος,
βαιὸν ἀπέσχε γέροντος ἑὸν ξίφος, ὄφρα τι εἴπῃ,
λισσόμενος θοὸν ἄνδρα καὶ ὄβριμον· ὃς δ' ἀλεγεινὸν

ἴαχεν ἐσσυμένως· στυγερὸν δέ μιν ἄμφεχε δεῖμα·
Γουνοῦμαί σ', ὅτις ἐσσὶ πολυσθενέων Ἀργείων,
αἴδεσαι ἀμφὶ γέροντι τεὰς χέρας, ἀργαλέου τε
λῆγε χόλου· καὶ γάρ ῥα πέλει μακρὸν ἀνέρι κῦδος
ἄνδρα νέον κτείναντι καὶ ὄβριμον· ἢν δὲ γέροντα
κτείνῃς, οὔ νύ τις αἶνος ἐφέψεται εἵνεκεν ἀλκῆς.
τοὔνεκ' ἐμεῦ ἀπὸ νόσφιν ἐς αἰζηοὺς τρέπε χεῖρας
ἐλπόμενός ποτε γῆρας ὁμοῖϊον εἰσαφικέσθαι.
Ὣς φάμενον, προσέειπε κραταιοῦ Τυδέος υἱός·
Ὦ γέρον, ἔλπομ' ἔγωγ' ἐσθλὸν ποτὶ γῆρας ἱκέσθαι·
ἀλλά μοι ὡς ἔτι κάρτος ἀέξεται, οὔτιν' ἐάσω
ἐχθρὸν ἐμῆς κεφαλῆς, ἀλλ' Ἄϊδι πάντας ἰάψω,
οὕνεκ' ἄρ' ἐσθλὸς ἀνὴρ καὶ δήϊον ἄνδρ' ἐπαμύνει.
Ὣς εἰπὼν, λαιμοῖο διήλασε λοίγιον ἆορ
δεινὸς ἀνήρ· ἴθυνε δ' ὅπῃ θνητοῖς ἐπὶ πότμος
ψυχῆς εἶσι τάχιστα, καὶ αἵματος αἰνὰ κέλευθα.
καὶ τὸν μὲν μόρος αἰνὸς ὑπέκλασε δῃωθέντα
Τυδείδαο χέρεσσιν· ὁ δ' εἰς ἥρωας ἐναίρων
ἔσσυτ' ἀνὰ πτολίεθρον, ἑῷ μέγα κάρτεϊ θύων·
δάμνατο δ' ἠὺν Ἄβαντα· βάλεν δ' ὑπὸ δούρατι μακρῷ
υἷα Περιμνήστοιο περικλυτὸν Εὐρυκόωντα.
Αἴας δ' Ἀμφιμέδοντα, Δαμαστορίδην τ' Ἀγαμέμνων·
Ἰδομενεὺς δὲ Μίμαντα· Μέγης δ' ἕλε Δηϊοπίτην.
Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀμαιμακέτῳ ὑπὸ δουρὶ
Πάμμονα δῖον ὄλεσσε, βάλεν δ' ἐπιόντα Πολίτην,
Τισίφονόν τ' ἐπὶ τοῖσι κατέκτανε· τοὺς ἅμα πάντας,
υἷας Πριάμοιο· καὶ ἀντιόωντ' ἀνὰ δῆριν
δάμνατ' Ἀγήνορα δῖον· ἐπ' ἄλλῳ δ' ἄλλον ἔπεφνεν
ἡρώων, πάντῃ δὲ μέλας ἀνεφαίνετ' ὄλεθρος

ὀλλυμένων· ὁ δὲ, πατρὸς ἑοῦ καταειμένος ἀλκὴν,
μαιμώων, ἐδάϊζεν ὅσους κίχεν· ἔνθα καὶ αὐτῷ
δυσμενέων βασιλῆϊ κακὰ φρονέων ἐνέκυρσεν,
Ἑρκείου ποτὶ βωμόν. ὁ δ' ὡς ἴδεν υἷ' Ἀχιλῆος,
ἔγνω ἄφαρ τὸν ἐόντα, καὶ οὐ τρέσεν, οὕνεκ' ἄρ' αὐτὸς
θυμὸν ἐέλδετο παισὶν ἐπὶ σφετέροισιν ὀλέσσαι·
τοὔνεκά μιν προσέειπε λιλαιόμενος θανέεσθαι·
Ὦ τέκος ὀβριμόθυμον ἐϋπτολέμου Ἀχιλῆος,
κτεῖνον, μηδ' ἐλέαιρε δυσάμμορον· οὐ γὰρ ἔγωγε
τοῖα παθὼν, καὶ τόσσα, λιλαίομαι εἰσοράασθαι
ἠελίοιο φάος πανδερκέος, ἀλλά που ἤδη
φθεῖσθαι ὁμῶς τεκέεσσι, καὶ ἐκλελαθέσθαι ἀνίης
λευγαλέης, ὁμάδου τε δυσηχέος. ὡς ὄφελόν με
σεῖο πατὴρ κατέπεφνε, πρὶν αἰθομένην ἐσιδέσθαι
Ἴλιον, ὁππότ' ἄποινα περὶ κταμένοιο φέρεσκον
Ἕκτορος, ὅν μοι ἔπεφνε πατὴρ τεός· ἀλλὰ τὸ μέν που
Κῆρες ἐπεκλώσαντο· σὺ δ' ἡμετέροιο φόνοιο
ἄασον ὄβριμον ἦτορ, ὅπως λελάθωμ' ὀδυνάων.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Ὦ γέρον, ἐμμεμαῶτα καὶ ἐσσύμενόν περ ἀνώγεις·
οὐ γάρ σ' ἐχθρὸν ἐόντα μετὰ ζωοῖσιν ἐάσω.
οὐ γάρ τι ψυχῆς πέλει ἀνδράσι φίλτερον ἄλλο.
Ὣς εἰπὼν, ἀπέκοψε κάρη πολιοῖο γέροντος
ῥηϊδίως, ὡς εἴ τις ἀπὸ στάχυν ἀμήσηται
λήϊου ἀζαλέοιο, θέρευς εὐθαλπέος ὥρῃ.
ἡ δὲ μέγα μύζουσα, κυλίνδετο πολλὸν ἐπ' αἶαν,
νόσφ' ἄλλων μελέων, ὁπόσοις ἐγκίνυται ἀνήρ·
κεῖτο δ' ἄρ ἐς μέλαν αἷμα, καὶ εἰς ἑτέρων φόνον ἀνδρῶν, —

ὄλβῳ, καὶ γενεῇ, καὶ ἀπειρεσίοις τεκέεσσιν·
οὐ γὰρ δὴν ἐπὶ κῦδος ἀέξεται ἀνθρώποισιν,
ἀλλ' ἄρα που καὶ ὄνειδος ἐπέσσυται ἀπροτίοπτον.
καὶ τὸν μὲν πότμος εἷλε· κακῶν δ' ὅγε λήσατο πολλῶν.
Οἱ δὲ καὶ Ἀστυάνακτα βάλον Δαναοὶ ταχύπωλοι
πύργου ἀφ' ὑψηλοῖο, φίλον δέ οἱ ἦτορ ὄλεσσαν,
μητρὸς ἀφαρπάξαντες ἐν ἀγκοίνῃσιν ἐόντα,
Ἕκτορι χωόμενοι, ἐπεὶ σφισι πῆμα κόρυσσε
ζωὸς ἐών. τῷ καί οἱ ἀπεχθήραντο γενέθλην,
καί οἱ παῖδ' ἐβάλοντο καθ' ἕρκεος αἰπεινοῖο,
νήπιον, οὔτοι δῆριν ἐπιστάμενον πολέμοιο.
Ἠΰτε πόρτιν ὄρεσφι λύκοι, χατέοντες ἐδωδῆς,
κρημνὸν ἐς ἠχήεντα κακοφραδίῃσι βάλωνται,
μητρὸς ἀποτμήξαντες ἐϋγλαγέων ἀπὸ μαζῶν,
ἡ δὲ θέῃ γοόωσα φίλον τέκος ἔνθα καὶ ἔνθα,
μακρὰ κινυρομένη, τῇ δ' ἐξόπιθεν κακὸν ἄλλο
ἔλθῃ, ἐπεί κε λέοντες ἀναρπάξωσι καὶ αὐτήν·
ὣς τὴν ἀσχαλόωσαν ἄδην περὶ παιδὸς ἑοῖο,
ἦγον δήϊοι ἄνδρες ἅμ' ἄλλῃς ληϊάδεσσι
κούρην Ἠετίωνος ἀμύμονος αἰνὰ βοῶσαν·
ἡ δ' ἄρα παιδὸς ἑοῖο, καὶ ἀνέρος, ἠδὲ τοκῆος
μνησαμένη φίλου, αἰνὸν ἐΰσφυρος Ἠετιώνη,
ὥρμηνεν θανέεσθαι, ἐπεὶ βασιλεῦσιν ἄμεινον
τεθνάμεν ἐν πολέμῳ, ἢ χείροσιν ἀμφιπολεύειν
καί ῥ' ὀλοφυδνὸν ἄϋσε, μέγ' ἀχνυμένη κέαρ ἔνδον·
Εἶδ' ἄγε νῦν καὶ ἐμεῖο δέμας κατὰ τείχεος αἰνοῦ
ἢ κατὰ πετράων, ἢ καὶ πυρὸς αἶψα βάλεσθε
Ἀργεῖοι· μάλα γάρ μοι ἀάσπετα πήματ' ἔασι·
καὶ γάρ μευ πατέρ' ἐσθλὸν ἐνήρατο Πηλέος υἱὸς

Θήβῃ ἐνὶ ζαθέῃ, Τροίῃ δ' ἐνὶ φαίδιμον ἄνδρα,
ὅς μοι ἔην μάλα πολλὰ, τά τ' ἔλδετο θυμὸς ἐμεῖο·
καί μοι κάλλιπε τυτθὸν ἐν ἡμετέροις ἔτι παῖδα,
ᾧ ἔπι κυδιάασκον ἀπείριτον, ᾧ ἔπι πολλὰ
ἐλπομένην ἀπάφησε κακὴ καὶ ἀτάσθαλος Αἶσα·
τῷ νύ μ' ἀκηχεμένην πολυτειρέος ἐκ βιότοιο
νοσφίσατ' ἐσσυμένως, μὴ δ' εἰς ἐὰ δώματ' ἄγεσθε
μίγδα δορυκτήτοισιν, ἐπεὶ νύ μοι οὐκ ἔτι θυμῷ
εὔαδεν ἀνθρώποισι μετέμμεναι, οὕνεκα δαίμων
κηδεμονῆας ὄλεσσεν· ἄχος δέ με δέχνυται αἰνὸν
ἐκ Τρώων στυγεροῖσιν ἐπ' ἄλγεσιν οἰωθεῖσαν.
Ἦ ῥα, λιλαιομένη χθόνα δύμεναι· οὐ γὰρ ἔοικεν
ζωέμεναι κείνοισιν, ὅσων μέγα κῦδος ὄνειδος
ἀμφιχάνῃ· δεινὸν γὰρ ὑπόψιον ἔμμεναι ἄλλων.
οἱ δὲ βίῃ ἀέκουσαν ἄγον ποτὶ δούλιον ἦμαρ.
Ἄλλοι δ' αὖτ' ἄλλοις ἐν δώμασιν θυμὸν ἔλειπον
ἀνέρες· ἐν δ' ἄρα τοῖσι βοὴ πολύδακρυς ὀρώρει·
ἀλλ' οὐκ ἐν μεγάροις Ἀντήνορος, οὕνεκ' ἄρ' αὐτοῦ
Ἀργεῖοι μνήσαντο φιλοξενίης ἐρατεινῆς,
ὅς ξείνισσε πάροιθε κατὰ πτόλιν, ἠδ' ἐσάωσεν
ἰσόθεον Μενέλαον ὁμῶς Ὀδυσῆϊ μολόντα·
τῷ δ' ἐπίηρα φέροντες Ἀχαιῶν φέρτατοι υἷες,
αὐτὸν μὲν ζώοντα λίπον, καὶ κτῆσιν ἅπασαν,
καὶ Θέμιν ἁζόμενοι πανδερκέα, καὶ φίλον ἄνδρα.
Καὶ τότε δὴ πάϊς ἐσθλὸς ἀμύμονος Ἀγχίσαο,
πολλὰ καμὼν περὶ ἄστυ θεηγενέος Πριάμοιο
δουρὶ καὶ ἠνορέῃ, πολλῶν δ' ἀπὸ θυμὸν ὀλέσσας,
ὡς ἴδε δυσμενέων ὑπὸ χείρεσι λευγαλέῃσιν
αἰθόμενον πτολίεθρον, ἀπολλυμένους θ' ἅμα λαοὺς

πανσυδίῃ, καὶ κτῆσιν ἀπείριτον, ἔκ τε μελάθρων
ἑλκομένας ἀλόχους ἅμα παίδεσιν· οὐκ ἔτ' ἄρ' αὐτῷ
ἐλπωρὴν ἔχε θυμὸς ἰδεῖν εὐτειχέα πάτρην,
ἀλλά οἱ ὡρμαίνεσκε νόος μέγα πῆμ' ὑπαλύξαι.
ὡς δ' ὅθ' ἁλὸς κατὰ βένθος ἀνὴρ οἰήϊα νωμῶν
νηὸς ἐπισταμένως, ἄνεμον καὶ κῦμ' ἀλεείνῃ
πάντοθεν ἐσσύμενον, στυγερῇ δ' ὑπὸ χείματος ὥρῃ
χεῖρα κάμῃ καὶ θυμὸν, ὑποβρυχίης δ' ἄρα νηὸς
ὀλλυμένης, ἀπάνευθε λιπὼν οἰήϊα μοῦνα,
τυτθὸν ἐπὶ σκάφος εἶσι, μέλει δέ οἱ οὐκ ἔτι νηὸς
φορτίδος· ὣς πάϊς ἐσθλὸς ἀμύμονος Ἀγχίσαο,
ἄστυ λιπὼν δηΐοισι καταιθόμενον πυρὶ πολλῷ,
υἷεα καὶ πατέρα σφὸν ἀναρπάξας, φορέεσκε
τὸν μὲν ἐπὶ πλατὺν ὦμον ἐφεσσάμενος κρατερῇσι
χερσὶ, πολυτλήτῳ ὑπὸ γήραϊ μοχθίζοντα,
τὸν δ' ἁπαλῆς μάλα χειρὸς, ἐπιψαύοντα πόδεσσι
γαίης, οὐλομένου δὲ φοβούμενον ἔργα μόθοιο,
ἐξῆγεν πολέμοιο δυσηχέος· ὃς δ' ὑπ' ἀνάγκης
ἐκρέματ' ἐμπεφυὼς ἁπαλὸς πάϊς, ἀμφὶ δὲ δάκρυ
χεύατό οἱ ἁπαλῇσι παρηΐσιν· αὐτὰρ ὁ νεκρῶν
σώμαθ' ὑπέρθορε πολλὰ θοοῖς ποσὶ, πολλὰ δ' ἐν ὄρφνῃ
οὐκ ἐθέλων στείβεσκε· Κύπρις δ' ὁδὸν ἡγεμόνευεν,
υἱωνὸν, καὶ παῖδα, καὶ ἀνέρα πήματος αἰνοῦ
πρόφρων ῥυομένη· τοῦ δ' ἐσσυμένου ὑπὸ ποσσὶ
πάντῃ πῦρ ὑπόεικε· περισχίζοντο δ' ἀϋτμαὶ
Ἡφαίστου μαλεροῖο. καὶ ἔγχεα, καὶ βέλη ἀνδρῶν
πίπτον ἐτώσια πάντα κατὰ χθονὸς, ὁππόσ' Ἀχαιοὶ
κείνῳ ἐπέῤῥιψαν, πολέμῳ ἐνὶ δακρυόεντι.

καὶ τότε δὴ Κάλχας μεγάλ' ἴαχε λαὸν ἐέργων·
Ἴσχεσθ' Αἰνείαο κατ' ἰφθίμοιο καρήνου
βάλλοντες στονόεντα βέλη, καὶ λοίγια δοῦρα·
τὸν γὰρ θέσφατόν ἐστι, θεῶν ἐρικύδεϊ βουλῇ
Θύμβριν ἐπ' εὐρυρέεθρον ἀπὸ Ξάνθοιο μολόντα,
τευξέμεν ἱερὸν ἄστυ, καὶ ἐσσομένοισιν ἀγητὸν
ἀνθρώποις, αὐτὸν δὲ πολυσπερέεσσι βροτοῖσι
κοιρανέειν· ἐκ τοῦ δὲ γένος μετόπισθεν ἀνάξειν,
ἄχρις ἐπ' ἀντολίην τε, καὶ ἀκάματον δύσιν ἔλθῃ·
καὶ γάρ οἱ θέμις ἐστὶ μετέμμεναι ἀθανάτοισιν,
οὕνεκα δὴ πάϊς ἐστὶν ἐϋπλοκάμου Ἀφροδίτης.
καὶ δ' ἄλλως τοῦδ' ἀνδρὸς ἑὰς ἀπεχώμεθα χεῖρας,
οὕνεκά οἱ, χρυσοῖο καὶ ἄλλων ἐν κτεάτεσσιν
ὅσσα σάοι φεύγοντα καὶ ἀλλοδαπὴν ἐπὶ γαῖαν,
τῶν πάντων προβέβουλεν ἑὸν πατέρ', ἠδὲ καὶ υἷα·
νὺξ δὲ μίη μιν ἔφηνε καὶ υἱέα πατρὶ γέροντι
ἤπιον ἐκπάγλως, καὶ ἀμεμφέα παιδὶ τοκῆα.
Ὣς φάτο· τοὶ δ' ἐπίθοντο, καὶ ὥς θεὸν εἰσορόασκον
πάντες· ὁ δ' ἐσσυμένως ἐξ ἄστεος οἶο βεβήκει,
ᾗχί ἑ ποιπνύοντα πόδες φέρον· οἱ δ' ἔτι Τροίης
Ἀργεῖοι πτολίεθρον ἐΰκτίμενον διέπερθον.
Καὶ τότε δὴ Μενέλαος ὑπὸ ξίφεϊ στονόεντι
Δηΐφοβον κατέπεφνε, καρηβαρέοντα κιχήσας
ἀμφ' Ἑλένης λεχέεσσι, δυσάμμορον· ἡ δ' ὑπὸ φύζῃ
κεύθετ' ἐνὶ μεγάροισιν· ὁ δ' αἵματος ἐκχυμένοιο
γήθεεν ἀμφὶ φόνῳ. τοῖον δ' ἐπὶ μῦθον ἔειπεν.
Ὦ κύον, ὥς τοι ἔγωγε φόνον στονόεντ' ἐφέηκα
σήμερον· οὐδέ σε δῖα κιχήσεται Ἠριγένεια

ζωὸν ἔτ' ἐν Τρώεσσι, καὶ εἰ Διὸς εὔχεαι εἶναι
γαμβρὸς ἐρισμαράγοιο· μέγας δέ σ' ἐδέξατ' ὄλεθρος,
ἡμετέρης ἀλόχοιο παρὰ λέκτροισι δαμέντα
ἀργαλέως· ὣς εἴθε καὶ οὐλομένοιο πάροιθε
θυμὸν Ἀλεξάνδροιο, κατὰ μόθον ἀντιόωντος,
νοσφισάμην· καί κέν μοι ἐλαφρότερον πέλεν ἄλγος·
ἀλλ' ὁ μὲν ἤδη ἵκανεν ὑπὸ ζόφον ὀκρυόεντα,
τίσας αἴσιμα πάντα· σὲ δ' οὐκ ἄρ' ἔμελλεν ὀνήσειν
ἡμετέρη παράκοιτις, ἐπεὶ Θέμιν οὔποτ' ἀλιτροὶ
ἀνέρες ἐξαλέονται ἀκήρατον, οὕνεκ' ἄρ αὐτοὺς
εἰσοράᾳ νυκτός τε, καὶ ἤματος· ἀμφὶ δὲ πάντη
ἀνθρώπων ἐπὶ φῦλα διηερίη πεπότηται,
τινυμένη σὺν Ζηνὶ κακῶν ἐπιΐστορας ἔργων.
Ὣς εἰπὼν, δηΐοισιν ἀνηλέα τεῦχεν ὄλεθρον·
μαίνετο γάρ οἱ θυμὸς, ὑπὸ κραδίῃ μέγ' ἀέξων,
ζηλήμων· καὶ πολλὰ περὶ φρεσὶ θαρσαλέῃσι
Τρωσὶ κακὰ φρονέεσκε, τὰ δὴ θεὸς ἐξετέλεσσεν,
πρέσβα Δίκη· κεῖνοι γὰρ ἀτάσθαλα πρῶτοι ἔρεξαν
ἀμφ' Ἑλένης, πρῶτοι δὲ καὶ ὅρκια πημήναντο,
σχέτλιοι, ὁππότε κεῖνο διὲκ μέλαν αἷμα καὶ ἱρὰ
ἀθανάτων ἐλάθοντο, παραιβασίῃσι νόοιο.
τῷ καί σφιν μετόπισθεν Ἐριννύες ἄλγεα τεῦχον
τοὔνεκ' ἄρ οἱ μὲν ὄλοντο πρὸ τείχεος, οἱ δ' ἀνὰ ἄστυ
τερπόμενοι παρὰ δαιτὶ, παρ' ἠϋκόμοις ἀλόχοισιν.
Ὀψὲ δὲ δὴ Μενέλαος, ἐνὶ μυχάτοισι δόμοιο
εὗρεν ἑὴν παράκοιτιν, ὑποτρομέουσαν ὁμοκλὴν
ἀνδρὸς κουριδίοιο θρασύφρονος· ὅς μιν ἀθρήσας,
ὥρμηνε κτανέειν ζηλημοσύνῃσι νόοιο,
εἰ μή οἱ κατέρυξε βίην ἐρόεσσ' Ἀφροδίτη,

ἣ ῥά οἱ ἐκ χειρῶν ἔβαλε ξίφος, ἔσχε δ᾽ ἐρωήν.
τοῦ γὰρ ζῆλον ἐρεμνὸν ἀπώσατο· καί οἱ ἔνερθεν
ἡδὺν ἐφ᾽ ἵμερον ὦρσε κατὰ φρενὸς ἠδὲ καὶ ὄσσων.
τῷ δ᾽ ἄρα θάμβος ἄελπτον ἐπήλυθεν· οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἔτλη,
κάλλος ἰδὼν ἀρίζηλον, ἐπὶ ξίφος αὐχένι κῦρσαι,
ἀλλ᾽ ὥσπερ ξύλον αὖον ἐν οὔρεϊ ὑλήεντι
εἱστήκει, τὸ μὲν οὔτι θοαὶ βορέαο θύελλαι
ἐσσύμεναι κλονέουσι δι᾽ ἠέρος, οὔτε νότοιο·
ὣς ὁ ταφὼν μένε δηρόν· ὑπεκλάσθη δέ οἱ ἀλκή,
δερκομένου παράκοιτιν· ἄφαρ δ᾽ ὅγε λήσατο πάντων,
ὅσσα οἱ ἐν λεχέεσσι παρήλιτε κουριδίοισι·
πάντα γὰρ ἠμάλδυνε θεὴ Κύπρις, ἥπερ ἁπάντων
ἀθανάτων δάμνησι νόον, θνητῶν τ᾽ ἀνθρώπων·
ἀλλὰ καὶ ὣς, θοὸν ἆορ ἀπὸ χθονὸς αὖθις ἀείρας,
κουριδίῃ ἐπόρουσε· νόος δέ οἱ ἄλλ᾽ ἐνὶ θυμῷ
ὡρμᾶτ᾽ ἐσσυμένοιο· δόλῳ δ᾽ ἄρ᾽ ἔθελγεν Ἀχαιούς.
καὶ τότε μιν κατέρυξεν ἀδελφεὸς ἱέμενόν περ,
μειλιχίοις μάλα πολλὰ παραυδήσας ἐπέεσσι·
δείδιε γὰρ μὴ δή σφιν ἐτώσια πάντα γένηται·
Ἴσχεο νῦν Μενέλαε χολούμενος· οὐ γὰρ ἔοικε
κουριδίην παράκοιτιν ἀναιρέμεν, ἧς πέρι πολλὰ
ἄλγε᾽ ἀνέτλημεν, Πριάμῳ κακὰ μητιόωντες·
οὐ γάρ τοι Ἑλένη πέλει αἰτίη, ὡς σύγ᾽ ἔολπας,
ἀλλὰ Πάρις, ξενίοιο Διὸς καὶ σεῖο τραπέζης
λησάμενος· τῷ καί μιν ἐν ἄλγεσι τίσατο δαίμων.
Ὣς φάθ᾽· ὁ δ᾽ αἶψ᾽ ἐπίθησε· θεοὶ δ᾽ ἐρικυδέα Τροίην,
κυανέοις νεφέεσσι καλυψάμενοι, γοάασκον,

νόσφιν ἐϋπλοκάμου Τριτωνίδος, ἠδὲ καὶ Ἥρης,
αἳ μέγα κυδιάασκον ἀνὰ φρένας, εὖτ' ἐσίδοντο
περθόμενον κλυτὸν ἄστυ θεηγενέος Πριάμοιο·
ἀλλ' οὐ μὴν οὐδ' αὐτὴ ἐΰφρων Τριτογένεια
πάμπαν ἄδακρυς ἔην, ἐπειή ῥά οἱ ἔνδοθι νηοῦ
Κασσάνδρην ἤσχυνεν Ὀϊλέος ὄβριμος υἱός,
θυμοῦ τ' ἠδὲ νόοιο βεβλαμμένος· ἣ δέ οἱ αἰνὸν
εἰσοπίσω βάλε πῆμα, καὶ ἀνέρα τίσατο λώβης·
οὐδὲ ἣ ἔργον ἀεικὲς ἐσέδρακεν, ἀλλά οἱ αἰδὼς
καὶ χόλος ἀμφεχύθη, βλοσυρὰς δὲ τρέψεν ὀπωπὰς
νηὸν ἐς ὑφόροφον· περὶ δ' ἔβραχε θεῖον ἄγαλμα,
καὶ δάπεδον νηοῖο μέγ' ἔτρεσεν· οὐδ' ὅγε λυγρῆς
λῆγεν ἀτασθαλίης, ἐπεί οἱ φρένας ἄασε Κύπρις.
Πάντη δ' ἄλλοθεν ἄλλα κατηρείποντο μέλαθρα
ὑψόθεν· ἀζαλέη δὲ κόνις συνεμίσγετο καπνῷ·
ὦρτο δ' ἄρα κτύπος αἰνός· ὁμοῦ καίοντο δὲ πάντα
Ἀντιμάχοιο μέλαθρα· καταίθετο δ' ἄσπετος ἄκρη
Πέργαμον ἀμφ' ἐρατὴν, περὶ θ' ἱερὸν Ἀπόλλωνος,
νηόν τε ζάθεον Τριτωνίδος, ἀμφί τε βωμὸν
Ἑρκείου· θάλαμοι δὲ κατεπρήθοντ' ἐρατεινοὶ
υἱωνῶν Πριάμοιο· πόλις δ' ἀμαθύνετο πᾶσα.
Τρῶες δ' οἱ μὲν παισὶν ὑπ' Ἀργείων ὀλέκοντο,
οἱ δ' ὑπὸ λευγαλέου τε πυρὸς, σφετέρων τε μελάθρων.
ἔνθα σφιν καὶ μοῖρα κακὴ, καὶ τύμβος ἐτύχθη·
ἄλλοι δὲ ξιφέεσσιν ἑὸν διὰ λαιμὸν ἔλασσαν,
πῦρ ἅμα δυσμενέεσσιν ἐπὶ προθύροισι ἰδόντες·
οἱ δ' ἄρ ὁμῶς τεκέεσσι κατακτείναντες ἄκοιτιν,
κάππεσον, ἄσχετον ἔργον ἀναπλήσαντες ἀνάγκῃ.
καί ῥά τις οἰόμενος δηΐων ἑκὰς ἔμμεναι αὐτὸν,

ἔκποθεν Ἡφαίστοιο θοῶς ἀνὰ κάλπιν ἀείρας,
ὥρμηνεν πονέεσθαι ἐφ' ὕδατι· τὸν δὲ παραφθὰς
Ἀργείων τις ἔτυψεν ὑπ' ἔγχεϊ, καί οἱ ὄλεσσε
θυμὸν ὑπ' ἀκρήτῳ βεβαρημένον· ἤριπε δ' εἴσω
δώματος. ἀμφὶ δέ οἱ κενεὴ περικάππεσε κάλπις.
ἄλλῳ δ' αὖ φεύγοντι διὰ μεγάροιο, μεσόδμη
ἔμπεσε καιομένη, ἐπὶ δ' ἤριπεν αἰπὺν ὄλεθρον.
πολλαὶ δ' αὖτε γυναῖκες ἀνιηρὴν ἐπὶ φύζαν
ἐσσύμεναι, μνήσαντο φίλων ὑπὸ δώματι παίδων,
οὓς λίπον ἐν λεχέεσσιν· ἄφαρ δ' ἀνὰ ποσσὶν ἰοῦσαι,
παισὶν ὁμῶς ἀπόλοντο, δόμων ἐφύπερθε πεσόντων.
ἵπποι δ' αὖτε, κύνες τε δι' ἄστεος ἐπτοίηντο,
φεύγοντες στυγεροῖο πυρὸς μένος· ἀμφὶ δὲ ποσσὶ
στεῖβον ἀποκταμένους, ζωοῖσι δὲ πῆμα φέροντες
αἰὲν ἐπεῤῥήγνυντο· βοὴ δ' ἀμφίαχεν ἄστυ.
καί τινος αἰζηοῖο διὰ φλογὸς ἐσσυμένοιο

— — — — —

φθεγγομένου· τοὺς δ' ἔνδον ἀμείλιχος αἶσα
δάμασσεν·
ἄλλον δ' ἄλλα κέλευθα φέρεν στονόεντος ὀλέθρου.
φλὸξ δ' ἄρ ἐς ἠέρα δῖαν ἀνέγρετο· πέπτατο δ' αἴγλη
ἄσπετος· ἀμφὶ δὲ φῦλα περικτιόνων ὁρόωντο
μέχρις ἐπ' Ἰδαίων ὀρέων ὑψηλὰ κάρηνα,
Θρηΐκίης τε Σάμοιο, καὶ ἀμφιάλου Τενέδοιο·
καί τις ἁλὸς κατὰ βένθος ἔσω νεὸς ἔκφατο μῦθον·
Ἤνυσαν Ἀργεῖοι κρατερόφρονες ἄσπετον ἔργον,
πολλὰ μάλ' ἀμφ' Ἑλένης ἑλικοβλεφάροιο καμόντες,
πᾶσα δ' ἄρ ἡ τοπάροιθε πανόλβιος, ἐν πυρὶ Τροίη
καίεται· οὐδὲ θεῶν τις ἐελδομένοισιν ἄμυνεν·

πάντα γὰρ ἄσχετος αἶσα βροτῶν ἐπιδέρκεται ἔργα·
καὶ τὰ μὲν ἀκλέα πάντα, καὶ οὐκ ἀρίδηλα γεγῶτα,
κυδήεντα τίθησι, τὰ δ' ὑψόθι μείονα θῆκε·
πολλάκι δ' ἐξ ἀγαθοῖο, πέλει κακόν· ἐκ δὲ κακοῖο
ἐσθλὸν, ἀμειβομένοιο πολυτλήτου βιότοιο.
Ὣς ἄρ ἔφη μερόπων τις, ἀπόπροθεν ἄσπετον αἴγλην
εἰσορόων· στονόεσσα δ' ἔτ' ἄμφεχε Τρῶας ὀϊζύς.
Ἀργεῖοι δ' ἀνὰ ἄστυ κυδοίμεον, ἠΰτ' ἀῆται
λάβροι ἀπείρονα πόντον ὀρινόμενοι κλονέουσιν,
ὁππότ' ἄρ ἀντιπέρηθε δυσαέος Ἀρκτούροιο
βηλὸν ἐς ἀστερόεντα θυιήριον ἀντέλλησιν,
ἐς νότον ἠερόεντα τετραμμένον, ἀμφὶ δ' ἄρ αὐτῷ
πολλαὶ ὑπόβρυχα νῆες ἀμαλδύνοντ' ἐνὶ πόντῳ,
ὀρνυμένων ἀνέμων· τοῖς εἴκελοι υἷες Ἀχαιῶν
πόρθεον Ἴλιον αἰπύ· τὸ δ' ἐν πυρὶ καίετο πολλῷ,
ἠΰτ' ὄρος, λασίῃσιν ἄδην καταειμένον ὕλῃς,
ἐσσυμένως καίηται ὑπὲκ πυρὸς ὀρνυμένοιο
ἐξ ἀνέμων, δολιχαὶ δὲ περιβρομέουσι κολῶναι.
τῷ δ' ἄρα λευγαλέως ἔνι τείρεται ἄγρια πάντα,
Ἡφαίστοιο βίηφι περιστρεφθέντα καθ' ὕλην·
ὣς Τρῶες κτείνοντο κατὰ πτόλιν, οὐδέ τις αὐτοὺς
ῥύετ' ἐπουρανίων· περὶ γὰρ λίνα πάντοθε Μοῖραι
μακρὰ περιστήσαντο, τά περ βροτὸς οὔποτ' ἄλυξε.
Καὶ τότε Δημοφόωντι, μενεπτολέμῳ τ' Ἀκάμαντι
Θησῆος μεγάλοιο δι' ἄστεος ἤντετο μήτηρ,
καίπερ ἐελδομένῃ· μακάρων δέ τις ἡγεμόνευεν,
ὅς μιν ἄγεν κείνοισι καταντίον· ἡ δ' ἀλάλητο
φεύγουσ' ἐκ πολέμοιο καὶ ἐκ πυρός· οἱ δ' ἐσιδόντες

αἴγλῃ ἐν Ἡφαίστοιο δέμας μέγεθός τε γυναικὸς,
αὐτὴν ἔμμεν᾽ ἔφαντο θεηγενέος Πριάμοιο
ἀντιθέην παράκοιτιν· ἄφαρ δέ οἱ ἐμμεμαῶτες,
χεῖρας ἐπεῤῥίψαντο, λιλαιόμενοί μιν ἄγεσθαι
ἐς Δαναούς· ἡ δ᾽, αἰνὸν ἀναστενάχουσα, μετηύδα·
Μή νύ με, κύδιμα τέκνα φιλοπτολέμων Ἀργείων,
δήϊον ὡς ἐρύοντες, ἑὰς ἐπὶ νῆας ἄγεσθε·
οὐ γὰρ Τρωϊάδων γένος εὔχομαι, ἀλλά μοι ἐσθλὸν
αἷμα πέλει Δαναῶν μάλ᾽ ἐϋκλεὲς, οὕνεκα Πιτθεὺς
γείνατό μ᾽ ἐν Τροιζῆνι· γάμῳ δ᾽ ἐδνώσατο δῖος
Αἰγεύς· ἐκ δ᾽ ἄρ᾽ ἐμεῖο κλυτὸς παῖς ἔπλετο Θησεύς·
ἀλλά με, πρὸς μεγάλοιο Διὸς, τερπνῶν τε τοκήων,
εἰ ἐτεὸν Θησῆος ἀμύμονος ἐνθάδ᾽ ἵκοντο
υἷες ἅμ᾽ Ἀτρείδῃσι, φίλοισί γε παίδεσι κείνου
δείξατ᾽ ἐελδομένοισι κατὰ στρατὸν, οὕσπερ ὀΐω
ὕμμιν ὁμήλικας ἔμμεν· ἀναπνεύσει δέ μευ ἦτορ,
ἢν κείνους ζώοντας ἴδω, καὶ ἀριστέας ἄμφω.
Ὣς φάτο· οἱ δ᾽ ἀΐοντες ἑοῦ μνήσαντο τοκῆος,
ἀμφ᾽ Ἑλένης ὅσ᾽ ἔρεξε, καὶ ὡς διέπερσαν Ἀφίδνας
κοῦροι ἐριγδούποιο Διὸς πάρος, ὁππότ᾽ ἄρ αὐτοὺς
ὑσμίνης ἀπάνευθεν ἀπεκρύψαντο τιθῆναι,
νηπιάχους ἔτ᾽ ἐόντας· ἀναμνήσαντο δ᾽ ἀγαυῆς
Αἴθρης, ὅσσ᾽ ἐμόγησε δορυκτήτῳ ὑπ᾽ ἀνάγκῃ,
ἄμφω ὁμῶς ἑκυρή τε, καὶ ἀμφίπολος γεγαυῖα
ἀντιθέης Ἑλένης· σὺν δ᾽ ἀμφασίῃ κεχάροντο.
Δημοφόων δέ μιν ἦΰς ἐελδομένην προσέειπεν·
Σοὶ μὲν δὴ τελέουσι θεοὶ θυμηδὲς ἔελδωρ
αὐτίκ᾽, ἐπεί ῥα δέδορκας ἀμύμονος υἱέος υἷας
ἡμέας, οἵ σε φίλῃς συναειράμενοι παλάμῃσιν,

οἴσομεν ἐς νῆας, καὶ ἐς Ἑλλάδος ἱερὸν οὖδας
ἄξομεν ἀσπασίως, ὅθιπερ πάρος ἐμβασίλευες.
Ὣς φάμενον, μεγάλοιο πατρὸς προσπτύξατο μήτηρ,
χείρεσιν ἀμφιβαλοῦσα, κύσεν δέ οἱ εὐρέας ὤμους,
καὶ κεφαλὴν, καὶ στέρνα, γένειά τε λαχνήεντα·
ὣς δ' αὔτως Ἀκάμαντα κύσεν· περὶ δέ σφισι δάκρυ
ἡδὺ κατὰ βλεφάροιϊν ἐχεύατο μυρομένοισιν.
ὡς δ' ὁπότ' αἰζηοῖο μετ' ἀλλοδάποισιν ἐόντος
λαοὶ φημίξωσι μόρον, τὸν δ' ἔκποθεν υἷες
ὕστερον ἀθρήσαντες ἐς οἰκία νοστήσαντα,
κλαίουσιν μάλα τερπνόν· ὁ δ' ἔμπαλι παισὶ καὶ αὐτὸς
μύρεται ἐν μεγάροισιν ἐπωμαδὸν, ἀμφὶ δὲ δῶμα
ἡδύ τι μυρομένων γοερὴ περιπίπτατ' ἰωή·
ὣς τῶν μυρομένων λαρὸς γόος ἀμφιδεδήει.
Καὶ τότε που Πριάμοιο πολυκτήτοιο θύγατρα,
Λαοδίκην ἐνέπουσιν ἐς αἰθέρα χεῖρας ὀρέξαι,
εὐχομένην μακάρεσσιν ἀτειρέσιν, ὄφρα ἑ γαῖα
ἀμφιχάνῃ, πρὶν χεῖρα βαλεῖν ἐπὶ δούλια ἔργα·
τῆς δὲ θεῶν τις ἄκουσε, καὶ αὐτίκα γαῖαν ἔνερθεν
ῥῆξεν ἀπειρεσίην· ἣ δ' ἐννεσίῃσι θεοῖο
κούρην δέξατο δῖαν ἔσω κοίλοιο βερέθρου,
Ἰλίου ὀλλυμένης, ἧς εἵνεκά φασι καὶ αὐτὴν
Ἠλέκτρην βαθύπεπλον ἑὸν δέμας ἀμφικαλύψαι
ἀχλύϊ καὶ νεφέεσσιν, ἀπεχθομένην χορὸν ἄλλων
Πληϊάδων, αἳ δή οἱ ἀδελφειαὶ γεγάασιν·
ἀλλ' αἱ μὲν μογεροῖσιν ἐπ' ὄψεϊ ἀνθρώποισιν
ἰλαδὸν ἀντέλλουσιν ἐς οὐρανόν· ἡ δ' ἄρα μούνη

κεύθεται αἰὲν ἄϊστος, ἐπεὶ ῥά οἱ υἱέος ἐσθλοῦ
Δαρδάνου ἱερὸν ἄστυ κατήριπεν· οὐδέ οἱ αὐτὸς
Ζεὺς ὕπατος χραίσμησεν ἀπ᾽ αἰθέρος, οὕνεκα Μοίραις
εἴκει καὶ μεγάλοιο Διὸς μένος· ἀλλὰ τὸ μέν που
ἀθανάτων τάχ᾽ ἔρεξεν ἐῢς νόος, ἠὲ καὶ οὐκι·
Ἀργεῖοι δ᾽ ἔτι θυμὸν ἐπὶ Τρώεσσιν ὄρινον.

# ΚΟΙΝΤΟΥ
## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
## ΒΙΒΛΙΟΝ ΙΔ.

Καὶ τότ᾽ ἀπ᾽ ὠκεανοῖο θεὰ χρυσόθρονος Ἠὼς
οὐρανὸν εἰσανόρουσε· χάος δ᾽ ὑπεδέξατο νύκτα.
οἱ δὲ βίῃ Τροίην εὐερκέα δῃώσαντο
Ἀργεῖοι, καὶ κτῆσιν ἀπείρονα ληΐσσαντο,
χειμάῤῥοις ποταμοῖσιν ἐοικότες, οἵ τε φέρονται
ἐξ ὀρέων καναχηδὸν ὀρινομένου ὑετοῖο,
πολλὰ δὲ δένδρεα μακρὰ, καὶ ὁππόσα φύετ᾽ ὄρεσφιν,
αὐτοῖς σὺν πρώνεσσιν ἔσω φορέουσιν θαλάσσης·
ὣς Δαναοὶ πέρσαντες ὑπαὶ πυρὶ Τρώϊον ἄστυ,
κτήματα πάντα φέρεσκον ἐϋσκάρθμους ἐπὶ νῆας·
σὺν δ᾽ ἄρα Τρωϊάδας καταγίνεον ἄλλοθεν ἄλλας,
τὰς μὲν ἔτ᾽ ἀδμῆτας, καὶ νήϊδας οἷο γάμοιο,
τὰς δ᾽ ἄρ ὑπ᾽ αἰζηοῖσι νέον φιλότητι δαμείσας·
ἄλλας δ᾽ αὖ πολιοπλοκάμους· ἑτέρας δ᾽ ἄῤ ἐκείνων
ὁπλοτέρας, ὧν παῖδας ἀπειρύσαντ᾽ ἀπὸ μαζῶν,
ὑστάτιον χείλεσσι γλάγος περιμαιμώωντας.
Τοῖσιν δὴ Μενέλαος ἐνὶ μέσσοισι καὶ αὐτὸς
ἦγεν ἑὴν παράκοιτιν, ἀπ᾽ ἄστεος αἰθομένοιο,
ἐξανύσας μέγα ἔργον· ἔχεν δέ ἑ χάρμα καὶ αἰδώς·

Κασσάνδραν δ' ἄγε δῖαν ἐϋμμελίης Ἀγαμέμνων·
Ἀνδρομάχην δ' Ἀχιλῆος ἐῢς πάϊς· αὐτὰρ Ὀδυσσεὺς
εἷλκε βίῃ Ἑκάβην· τῆς δ' ἀθρόα δάκρυ ἀπ' ὄσσων,
πίδακος ὥς, ἐχέοντο· περιτρομέεσκε δὲ γυῖα,
καὶ κραδίη ἀλάλυκτο φόβῳ, δεδάϊκτο δὲ χαίτας
κράατος ἐκ πολιοῖο· τέφρη δ' ἐπιπέπτατο πολλή,
τήν που ἀπ' ἐσχαρεῶνος ἄδην κατεχεύατο χερσὶν,
ὀλλυμένου Πριάμοιο, καὶ ἄστεος αἰθομένοιο·
καί ῥα μέγα στονάχιζεν, ὅτ' ἄμφεχε δούλιον ἦμαρ
μάψ ἀεκαζομένην· ἕτερος δ' ἑτέρην γοόωσαν
ἦγεν Τρωϊάδων σφετέρας ἐπὶ νῆας ἀνάγκῃ·
αἳ δ' ἀδινὸν γοόωσαι, ἀνίαχον ἄλλοθεν ἄλλαι,
νηπιάχοις ἅμα παισὶ κινυρομένοις μάλα λυγρῶς.
ὡς δ' ὁπότ' ἀργιόδουσιν ὁμῶς συσὶ νήπια τέκνα
σταθμοῦ ἀπὸ προτέροιο ποτὶ σταθμὸν ἄλλον ἄγωσιν
ἀνέρες ἐγρομένῳ ὑπὸ χείματι, ταὶ δ' ἀλεγεινὸν
μίγδα περιτρύζουσι διηνεκὲς ἀλλήλοισιν·
ὣς Τρωαὶ Δαναοῖσιν ὑπ' ἐστενάχοντο δαμεῖσαι·
ἴσην δ' αὖ καὶ ἄνασσα φέρεν καὶ δμωὶς ἀνάγκην.
Ἀλλ' οὐ μὰν Ἑλένην γόος ἄμφεχεν, ἀλλά οἱ αἰδὼς
ὄμμασι κυανέοισιν ἐφίζανε· καί οἱ ὕπερθεν
καλὰς ἀμφερύθηνε παρηΐδας· ἐν δέ οἱ ἦτορ
ἄσπετα πορφύρεσκε κατὰ φρένα, μή ἑ κιοῦσαν
κυανέας ἐπὶ νῆας, ἀεικίσσωνται Ἀχαιοί·
τοὔνεχ' ὑποτρομέουσα φίλῳ περιπάλλετο θυμῷ·
καί ῥα καλυψαμένη κεφαλὴν ἐφύπερθε καλύπτρῃ,
ἕσπετο νισσομένοιο κατ' ἴχνιον ἀνδρὸς ἑοῖο,
αἰδοῖ πορφύρουσα παρήϊον, ἠΰτε Κύπρις

εὖτέ μιν Οὐρανίωνες ἐν ἀγκοίνῃσιν Ἄρηος
ἀμφαδὸν εἰσενόησαν, ἑὸν λέχος αἰσχύνουσαν,
δεσμοῖς ἐν θαμινοῖσι δαήμονος Ἡφαίστοιο,
τοῖς ἔνι κεῖτ' ἀχέουσα περὶ φρεσὶν, αἰδομένη τε
ἰλαδὸν ἀγρομένων μακάρων γένος, ἠδὲ καὶ αὐτὸν
Ἥφαιστον. δεινὸν γὰρ ἐν ὀφθαλμοῖσιν ἀκοίτου
ἀμφαδὸν εἰσοράασθαι ἐπ' αἴσχεϊ θηλυτέρῃσι·
τῇ Ἑλένῃ εἰκυῖα δέμας καὶ ἀκήρατον αἰδῶ,
ἤϊε σὺν Τρῳῇσι δορυκτήτοισι καὶ αὐτὴ
νῆας ἐπ' Ἀργείων εὐηρέας· ἀμφὶ δὲ λαοὶ
θάμβεον, ἀθρήσαντες ἀμωμήτοιο γυναικὸς
ἀγλαΐην, καὶ κάλλος ἐπήρατον· οὐδέ τις ἔτλη
κείνην οὔτε κρυφηδὸν ἐπεσβολίῃσι χαλέψαι,
οὔτ' οὖν ἀμφαδίην, ἀλλ' ὡς θεὸν εἰσορόωντο
ἀσπασίως· πᾶσιν γὰρ ἐελδομένοισι φαάνθη.
ὡς δ' ὅτ' ἀλωομένοισι δι' ἀκαμάτοιο θαλάσσης
πατρὶς ἑὴ μετὰ δηρὸν ἐπευχομένοισι φανείη,
οἱ δὲ καὶ ἐκ πόντοιο, καὶ ἐκ θανάτοιο φυγόντες,
πάτρῃ χεῖρ' ὀρέγουσι γεγηθότες ἄσπετα θυμῷ·
ὣς Δαναοὶ περὶ πάντες ἐγήθεον· οὐ γὰρ ἔτ' αὐτοῖς
μνῆστις ἔην καμάτοιο δυσαλγέος, οὐδὲ κυδοιμοῦ·
τοῖον γὰρ Κυθέρεια νόον ποιήσατο πάντων,
ἦρα φέρουσ' Ἑλένῃ ἑλικώπιδι, καὶ Διῒ πατρί.
Καὶ τότ' ἄρ', ὡς ἐνόησε φίλον δεδαϊγμένον ἄστυ
Ξάνθος, ἔθ' αἱματόεντος ἀποπνείων ὀρυμαγδοῦ,
μύρετο σὺν Νύμφῃσιν, ἐπεὶ κακὸν ἔμπεσε Τροίῃ
ἔκποθε, καὶ Πριάμοιο κατημάλδυνε πόληα.
ὡς δ' ὅτε λήϊον αὖον ἐπιβρίσασα χάλαζα
τυτθὰ διατμήξῃ, στάχυας δ' ἀπὸ πάντας ἀμέρσῃ

ῥιπῇ ὑπ' ἀργαλέῃ, καλάμη δ' ἄρα χεύατ' ἔραζε
μαψιδίη, καρποῖο κατ' οὔδεος ὀλλυμένοιο
λευγαλέως, ὀλοὸν δὲ πέλει μέγα πένθος ἄνακτι·
ὣς ἄρα καὶ Ξάνθοιο περὶ φρένας ἤλυθεν ἄλγος,
Ἰλίου οἰωθέντος· ἔχεν δέ μιν αἰὲν ὀϊζὺς,
ἀθάνατόν περ ἐόντα· μακρὴ δ' ἀμφέστενεν Ἴδη,
καὶ Σιμόεις· μύροντο δ' ἀπόπροθι πάντες ἔναυλοι
Ἰδαῖοι, Πριάμοιο πόλιν περικωκύοντες.

Ἀργεῖοι δ' ἐπὶ νῆας ἔβαν μέγα καγχαλόωντες,
μέλποντες νίκης ἐρικυδέος ὄβριμον ἀλκὴν,
ἄλλοτε δὲ ζάθεον μακάρων γένος, ἠδὲ καὶ αὐτῶν
θυμὸν τολμήεντα, καὶ ἄφθιτον ἔργον Ἐπειοῦ·
μολπὴ δ' οὐρανὸν ἷκε δι' αἰθέρος, εὖτε κολοιῶν
κλαγγὴ ἀπειρεσίη, ὁπότ' εὔδιον ἦμαρ ἵκηται
χείματος ἐξ ὀλοοῖο, πέλει δ' ἄρα νήνεμος αἰθήρ·
ὣς, τῶν πὰρ νήεσσι μέγ' ἔνδοθι γηθυμένων κῆρ,
ἀθάνατοι τέρποντο κατ' οὐρανὸν, ὅσσοι ἀρωγοὶ
ἐκ θυμοῖο πέλοντο φιλοπτολέμων Ἀργείων·
ἄλλοι δ' αὖ χαλέπαινον, ὅσοι Τρώεσσιν ἄμυνον,
δερκόμενοι Πριάμοιο καταιθόμενον πτολίεθρον·
ἀλλ' οὐ μὰν ὑπὲρ αἶσαν, ἐελδόμενοί περ, ἀμύνειν
ἔσθενον· οὐδὲ γὰρ αὐτὸς ὑπὲρ μόρον οὐδὲ Κρονίων
ῥηϊδίως δύνατ' αἶσαν ἀπωσέμεν, ὃς περὶ πάντων
ἀθανάτων γένος ἐστὶ, Διὸς δ' ἐκ πάντα πέλονται.

Ἀργεῖοι δ' ἄρα πολλὰ βοῶν ἐπὶ μηρία θέντες,
καῖον ὁμῶς σχίζῃσι, καὶ, ἐσσύμενοι περὶ βωμοὺς,
λεῖβεσκον μέθυ λαρὸν ἐπ' αἰθομένῃσι θυηλαῖς,
ἱρὰ θεοῖσι φέροντες, ἐπεὶ μέγα ἤνυσαν ἔργον·
πολλὰ δ' ἐν εἰλαπίνῃ θυμηδέϊ κυδαίνεσκον

πάντας, ὅσους ὑπέδεκτο σὺν ἔντεσι δούριος ἵππο
θαύμαζον δὲ Σίνωνα περικλυτὸν, οὕνεχ᾽ ὑπέστη
λώβην δυσμενέων πολυκηδέα· καί ῥά ἑ πάντες
μολπῇ καὶ γεράεσσιν ἀπειρεσίοισι τίεσκον
αἰέν· ὁ δ᾽ ἐν φρεσὶν ᾗσιν ἐγήθεε τλήμονι θυμῷ
νίκῃ ἐπ᾽ Ἀργείων· σφετέρῃ δ᾽ οὐκ ἄχνυτο λώβῃ·
ἀνέρι γὰρ πινυτῷ καὶ ἐπίφρονι πολλὸν ἄμεινον
κῦδος καὶ χρυσοῖο, καὶ οὔδεος, ἠδὲ καὶ ἄλλων
ἐσθλῶν, ὁππόσ᾽ ἄρ᾽ ἐστὶ καὶ ἔσσεται ἀνθρώποισιν.
οἱ δ᾽ ἄρα πὰρ νήεσσιν ἀταρβέα θυμὸν ἔχοντες,
δόρπεον, ἀλλήλοισι διηνεκέως ἐνέποντες·
Ἠνύσαμεν πολέμοιο μακρὸν τέλος· ἠράμεθ᾽ εὐρὺ
κῦδος, ὁμῶς δηΐοισι μέγα πτολίεθρον ἑλόντες·
ἀλλὰ Ζεῦ, καὶ νόστον ἐελδομένοις κατάνευσον.
Ὣς ἔφαν· ἀλλ᾽ οὐ πᾶσι πατὴρ ἐπὶ νόστον ἔνευσεν.
τοῖς δέ τις ἐν μέσσοισιν ἐπιστάμενος [κιθαρίζειν
μέλπε πολυχρονίοιο μόθου τέλος·] — οὐ γὰρ ἔτ᾽ αὐτοῖς
δεῖμα πέλεν πολέμοιο δυσηχέος, ἀλλ᾽ ἐπὶ ἔργα
εὐνομίης ἐτρέποντο καὶ εὐφροσύνης ἐρατεινῆς·
ὃς δή τοι πρῶτον μὲν ἐελδομένοισιν ἄειδεν·
λαοὶ ὅπως συνάγερθεν ἐς Αὐλίδος ἱερὸν οὖδας,
ἠδ᾽ ὡς Πηλείδαο μέγα σθένος ἀκαμάτοιο
δώδεκα μὲν κατὰ πόντον ἰὼν διέπερσε πόληας,
ἕνδεκα δ᾽ αὖ κατὰ γαῖαν ἀπείριτον· ὅσσα τ᾽ ἔρεξεν
Τήλεφον ἀμφὶς ἄνακτα, καὶ ὄβριμον Ἠετίωνα·
ὡς Κύκνον κατέπεφνεν ὑπέρβιον, ἠδ᾽ ὅσ᾽ Ἀχαιοὶ,
μαρνάμενοι κατὰ μῆνιν Ἀχιλλέος, ἔργα κάμοντο·
Ἕκτορα δ᾽ ὡς εἴρυσεν ἑῆς περὶ τείχεα πάτρης·

ὥς θ' ἕλε Πενθεσίλειαν ἀνὰ μόθον, ὥς τ' ἐδάμασσεν
υἷεα Τιθωνοῖο· καὶ ὡς κτάνε καρτερὸς Αἴας
Γλαῦκον ἐΰμμελίην, ἠδ' ὡς ἐρικυδέα φῶτα
Εὐρύπυλον κατέπεφνε θοοῦ πάϊς Αἰακίδαο·
ὥς τε Πάριν δαμάσαντο Φιλοκτήταο βέλεμνα·
ἠδ' ὁπόσοι δολόεντος ἐσήλυθον ἔνδοθεν ἵππου
ἀνέρες, ὥς τε πόληα θεηγενέος Πριάμοιο
πέρσαντες, δαίνυντο κακῶν ἀπὸ νόσφι κυδοιμῶν.
ἄλλη δ' ἄλλος ἄειδεν, ὅ τι φρεσὶν ᾗσι μενοίνα.
Ἀλλ' ὅτε δαινυμένοισι μέσον περιτέλλετο νυκτὸς,
δὴ τότε που δόρποιο καὶ ἀκρήτοιο πότοιο
παυσάμενοι, πάντες λαθικηδέα κοῖτον ἕλοντο·
χθιζὸν γὰρ καμάτοιο μένος κατεδάμνατο πάντας·
τῷ καὶ, παννύχιοι λελιημένοι εἰλαπινάζειν,
παῦσανθ', οὕνεκεν ὕπνος ἄδην ἀέκοντας ἔρυκεν.
ἄλλη δ' ἄλλος ἴαυεν· ὁ δ' ἐν κλισίῃσιν ἑῇσιν
Ἀτρείδης ὀάριζε μετ' ἠϋκόμοιο γυναικός·
οὐ γάρ πω κείνοισιν ἐπ' ὄμμασιν ὕπνος ἔπιπτεν,
ἀλλὰ Κύπρις πεπότητο περὶ φρένας, ὄφρα παλαιοῦ
λέκτρου ἐπιμνήσωνται, ἄχος δ' ἀπὸ νόσφι βάλωνται.
πρώτη δ' αὖθ' Ἑλένη τοῖον ποτὶ μῦθον ἔειπεν·
Μή νύ μοι, ὦ Μενέλαε, χόλον ποτιβάλλεο θυμῷ·
οὐ γὰρ ἐγὼν ἐθέλουσα λίπον σέο δῶμα καὶ εὐνήν,
ἀλλά μ' Ἀλεξάνδροιο βίη καὶ Τρώϊοι υἷες,
σεῦ ἀπὸ νόσφιν ἐόντος, ἀνηρείψαντο κιόντες·
καί με πάρος μεμαυῖαν ὀϊζυρῶς ἀπολέσθαι
ἢ βρόχῳ ἀργαλέῳ, ἢ καὶ ξίφεϊ στονόεντι,
εἶργον ἐνὶ μεγάροισι, παρηγορέοντες ἔπεσσι,
σεῦ ἕνεκ' ἀχνυμένην, καὶ τηλυγέτοιο θυγατρός·

τῆς νύ σε, πρός τε γάμου πολυγηθέος, ἠδὲ σεῦ αὐτοῦ,
λίσσομαι, ἀμφ' ἐμέθεν στυγερῆς λελαθέσθαι ἀνίης.
Ὣς φαμένην προσέειπε πύκα φρονέων Μενέλαος·
Μηκέτι νῦν μέμνησ', ἀλλ' ἴσχομεν ἄλγεα θυμῷ·
ἀλλὰ τὰ μέν που πάντα μέλας δόμος ἐντὸς ἐέργει
λήθης· οὐ γὰρ ἔοικε κακῶν μεμνῆσθαι ἔτ' ἔργων.
Ὣς φάτο· τὴν δ' ἕλε χάρμα, δέος δ' ἐξέσσυτο θυμοῦ·
ἔλπετο γὰρ παύσασθαι ἀνιηροῖο χόλοιο
ὃν πόσιν· ἀμφὶ δέ μιν βάλε πήχεε· καί σφιν ἄρ' ἀμφοῖν
δάκρυ κατὰ βλεφάρων ἠλείβετο ἡδὺ γοώντων·
ἀσπασίως δ' ἄρα τώγε παρ' ἀλλήλοισι κλιθέντε,
σφωϊτέρου κατὰ θυμὸν ἀνεμνήσαντο γάμοιο.
ὡς δ' ὅτε που κισσός τε καὶ ἥμερὶς ἀμφιβάλωνται
ἀλλήλοις περὶ πρέμνα, τὰ δ' οὔποτε ἴς ἀνέμοιο
σφῶν ἀπὸ νόσφι βαλέσθαι ἐπισθένει· ὣς ἄρα τώγε
ἀλλήλοις συνέχοντο, λιλαιόμενοι φιλότητος.
Ἀλλ' ὅτε δὴ καὶ τοῖσιν ἐπήλυθεν ὕπνος ἀπήμων,
δὴ τότ' Ἀχιλλῆος κρατερὸν κῆρ ἰσοθέοιο
ἔστη ὑπὲρ κεφαλῆς οὗ υἷεος, οἷος ἔην περ
ζωὸς ἐὼν, ὅτε Τρωσὶν ἄχος πέλε, χάρμα δ' Ἀχαιοῖς
κῦσε δέ οἱ δειρὴν καὶ φάεα μαρμαίροντα
ἀσπασίως· καὶ τοῖα παρηγορέων, προσέειπεν·
Χαῖρε, τέκος, καὶ μή τι δαΐζεο πένθεϊ θυμὸν,
εἵνεκ' ἐμεῖο θανόντος, ἐπεὶ μακάρεσσι θεοῖσιν
ἤδη ὁμέστιός εἰμι· σὺ δ' ἴσχεο τειρόμενος κῆρ
ἀμφ' ἐμέθεν, καὶ κάρτος ἄδην ἐμὸν ἔνθεο θυμῷ·
αἰεὶ δ' Ἀργείων πρόμος ἵστασο, μηδενὶ εἴκων

ἠνορέῃ· ἀγορῇ δὲ παλαιοτέροισι βροτοῖσι
πείθεο· καὶ νύ σε πάντες ἐΰφρονα μυθήσονται·
τῖε δ᾽ ἀμύμονας ἄνδρας, ὅσοις νόος ἔμπεδός ἐστιν·
ἐσθλῷ γὰρ φίλος ἐσθλὸς ἀνήρ· χαλεπῷ δ᾽ ἀλεγεινός·
ἢν δ᾽ ἀγαθὸν φρονέῃς, ἀγαθῶν καὶ τεύξεαι ἔργων·
κεῖνος δ᾽ οὔποτ᾽ ἀνὴρ ἀρετῆς ἐπὶ τέρμαθ᾽ ἵκανεν,
ᾧτινι μὴ νόος ἐστὶν ἐναίσιμος· οὕνεκ᾽ ἄρ᾽ αὐτῆς
πρέμνον δύσβατόν ἐστι, μακροὶ δέ οἱ ἄχρις ἐπ᾽ αἴθρην
ὄζοι ἀπηέξηνθ᾽· ὁπόσοισι δὲ κάρτος ὀπηδεῖ
καὶ πόνος, ἐκ καμάτου πολυγηθέα καρπὸν ἀμῶνται,
εἰς ἀρετῆς ἀναβάντες ἐϋστεφάνου κλυτὸν ἔρνος.
ἀλλ᾽ ἄγε κύδιμος ἔσσο· καὶ ἐν φρεσὶ πευκαλίμῃσι
μήτ᾽ ἐπὶ πήματι πάγχυ δαΐζεο θυμὸν ἀνίῃ,
μήτ᾽ ἐσθλῷ μέγα χαῖρε· νόος δέ τοι ἤπιος ἔστω
ἔς τε φίλους ἑτάρους, ἔς θ᾽ υἱέας, ἔς τε γυναῖκας,
μνωομένῳ κατὰ θυμὸν, ὅτι σχεδὸν ἀνθρώποισιν
οὐλομένοιο μόροιο πύλαι, καὶ δώματα νεκρῶν·
ἀνδρῶν γὰρ γένος ἐστὶν ὁμοίϊον ἄνθεσι ποίης,
ἄνθεσιν εἰαρινοῖσι, τὰ μὲν φθινύθει, τὰ δ᾽ ἀέξει·
τοὔνεκα μείλιχος ἔσσο· καὶ Ἀργείοισιν ἔνισπε,
Ἀτρείδῃ δὲ μάλιστ᾽ Ἀγαμέμνονι, εἴ γέ τι θυμῷ
μέμνηνθ᾽, ὅσσ᾽ ἐμόγησα περὶ Πριάμοιο πόληα,
ἠδ᾽ ὅσα ληϊσάμην πρὶν Τρώϊον οὖδας ἱκέσθαι,
τῷ μοι νῦν, κατὰ θυμὸν ἐελδομένῳ περὶ πάντων,
ληΐδος ἐκ, Πριάμοιο Πολυξείνην ἐΰπεπλον
ὄφρα θοῶς ῥέξωσιν, ἐπεὶ σφίσι χώομαι ἔμπης
μᾶλλον ἔτ᾽ ἢ τοπάρος Βρισηΐδος· ἀμφὶ δ᾽ ἄρ᾽ οἶδμα
κινήσω πόντοιο, βαλῶ δ᾽ ἐπὶ χείματι χεῖμα,

ὄφρα, καταφθινύθοντες ἀτασθαλίῃσιν ἑῇσι,
μίμνωσ᾽ ἐνθάδε πολλὸν ἐπὶ χρόνον, εἰσόκ᾽ ἐμοί γε
λοιβὰς ἀμφιχέωνται, ἐελδόμενοι μέγα νόστου·
αὐτὴν δ᾽, εἴ κε θέλωσιν, ἐπὴν ἀπὸ θυμὸν ἕλωνται,
κούρην ταρχύσασθαι ἀπόπροθεν, οὔτι μεγαίρω.
Ὣς εἰπὼν, ἀπόρουσε θοῇ ἐναλίγκιος αὔρῃ,
αἶψα δ᾽ ἐς Ἠλύσιον πεδίον κίεν, ἧχι τέτυκται
οὐρανοῦ ἐξ ὑπάτοιο καταιβασίη τ᾽ ἄνοδός τε
ἀθανάτοις μακάρεσσιν· ὁ δ᾽, ὁππότε μιν λίπεν ὕπνος,
μνήσατο πατρὸς ἑοῖο· νόος δέ οἱ ἦϋς ἰάνθη.
Ἀλλ᾽ ὅτ᾽ ἐς οὐρανὸν εὐρὺν ἀνήϊεν Ἠριγένεια,
νύκτα διασκεδάσασ᾽, ἐφάνη δ᾽ ἄρα γαῖα καὶ αἰθὴρ,
δὴ τότ᾽ Ἀχαιῶν υἷες ἀπ᾽ ἐκ λεχέων ἀνόρουσαν
ἱέμενοι νόστοιο· νέας δ᾽ ἐς βένθεα πόντου
εἷλκον καγχαλόωντες ἀνὰ φρένας, εἰ μὴ ἄρ᾽ αὐτοὺς
ἐσσυμένους κατέρυκεν Ἀχιλλέος ὄβριμος υἱὸς,
εἰς ἀγορήν τε κάλεσσε, καὶ ἔκφατο πατρὸς ἐφετμήν·
Κέκλυτέ μευ, φίλα τέκνα μενεπτολέμων Ἀργείων,
πατρὸς ἐφημοσύνην ἐρικυδέος, ἥν μοι ἔνισπε
χθιζὸς, ἐνὶ λεχέεσσι διὰ κνέφας ὑπνώοντι·
φῆ γὰρ ἀειγενέεσσι μετέμμεναι ἀθανάτοισιν·
ἠνώγει δ᾽ ὑμέας τε, καὶ Ἀτρείδην βασιλῆα,
ὄφρα οἱ ἐκ πολέμοιο γέρας περικαλλὲς ἄροιτε,
τύμβον ἐπ᾽ εὐρώεντα, Πολυξείνην ἐΰπεπλον·
καί μιν ἔφη ῥέξαντες, ἀπόπροθι ταρχύσασθαι·
εἰ δέ οἱ οὐκ ἀλέγοντες ἐπιπλώοιτε θάλασσαν,
ἠπείλει, κατὰ πόντον ἐναντία κύματ᾽ ἀείρας,
λαὸν ὁμῶς νήεσσι πολὺν χρόνον ἐνθάδ᾽ ἐρύξειν.

Ὣς φαμένου, πείθοντο, καὶ ὡς θεῷ εὐχετόωντο·
καὶ γὰρ δὴ κατὰ βένθος ἀέξετο κῦμα θυέλλῃ
εὐρύτερον, καὶ μᾶλλον ἐπήτριμον, ἢ πάρος ἦεν,
μαινομένου ἀνέμοιο· μέγας δ' ὀρθύνετο πόντος
χερσὶ Ποσειδάωνος· ὁ γὰρ κρατερῷ Ἀχιλῆϊ
ἦρα φέρεν· πᾶσαι δὲ θοῶς ἐνόρουσαν ἄελλαι
ἐς πέλαγος. Δαναοὶ δὲ μέγ' εὐχόμενοι Ἀχιλῆϊ,
πάντες ὁμῶς μάλα τοῖα πρὸς ἀλλήλους ὀάριζον·
Ἀτρεκέως γενεὴ μεγάλου Διὸς ἦεν Ἀχιλλεύς·
τῷ καὶ νῦν θεός ἐστι, καὶ εἰ πάρος ἔσκε μεθ' ἡμῖν·
οὐ γὰρ ἀμαλδύνει μακάρων γένος ἄμβροτος αἰών.
Ὣς φάμενοι, ποτὶ τύμβον Ἀχιλλέος ἀπονέοντο·
τὴν δ' ἄγον, ἠΰτε πόρτιν ἐς ἀθανάτοιο θυηλὰς,
μητρὸς ἀπειρύσαντες, ἐνὶ ξυλόχοισι, βοτῆρες,
ἡ δ' ἄρα μακρὰ βοῶσα, κινύρεται ἀχνυμένη κῆρ·
ὣς τῆμος Πριάμοιο πάϊς περικωκύεσκε
δυσμενέων ἐν χερσίν· ἄδην δέ οἱ ἔκχυτο δάκρυ.
ὡς δ' ὁπότε βριαρῷ ὑπὸ χείματι καρπὸς ἐλαίης,
οὔπω χειμερίῃσι μελαινόμενος ψεκάδεσσι,
χεύῃ πολλὸν ἄλειφα, περιτρύζωσι δὲ μακρὰ
ἄρμεν' ὑπὸ σπάρτοισι, βιαζομένων αἰζηῶν·
ὣς ἄρα καὶ Πριάμοιο πολυτλήτοιο θυγατρὸς
ἑλκομένης ποτὶ τύμβον ἀμειλίκτου Ἀχιλῆος,
αἰνὸν ὁμῶς στεναχῇσι κατὰ βλεφάρων ῥέε δάκρυ,
καί οἱ κόλπος ἔνερθεν ἐπλήθετο· δεύετο δὲ χρὼς,
ἀτρεκέως ἀτάλαντος ἐϋκτεάνῳ ἐλέφαντι.
Καὶ τότε λευγαλέοις ἐπὶ πένθεσι κύντερον ἄλγος
τλήμονος ἐς κραδίην Ἑκάβης πέσεν· ἐν δέ οἱ ἦτορ
μνήσατ' ὀϊζυροῖο καὶ ἀλγινόεντος ὀνείρου,

τὴν ῥ' ἴδεν ὑπνώουσα παρασχομένην ἐνὶ πολλῷ·
ἦ γὰρ ὀΐετο τήνδ' ἐπ' ἐκείνου σήματος Ἀχιλῆος
ἑσταμένην γοόωσαν· κόμαι δέ οἱ ἔμπεσε πάλλευς
ἐκ κεφαλῆς ἐκέχυντο, καὶ ἀμφοτέρων ἐπὶ μαζῶν
ἔρρεε φοίνιον αἷμα ποτὶ χθόνα· δεῖσε δὲ σῆμα
τοῖο περιδείσασα, καὶ ὀσσομένη μέγα πῆμα,
οἰκτρὸν ἀνωλόλυξε· γόῳ δ' ἐπὶ μακρὸν ἄϋσεν.
εἶτε κύων προπάροιθε κινυρομένη μεγάροιο,
μακρὸν ὑλαγμὸν ἵησι, νέον σπαργῶσα γάλακτι,
τῆς ἀπὸ νήπια τέκνα, πάρος φάος εἰσοράασθαι,
νόσφι βάλωσιν ἄνακτες, ἕλωρ ἔμεν οἰωνοῖσιν·
ἡ δ' ὁτὲ μέν θ' ὑλακῇσι κινύρεται, ἄλλοτε δ' αὖτε
ὠρυθμῷ, στυγερὴ δὲ δι' ἠέρος ἔσσυτ' ἀϋτή·
ὣς Ἑκάβη γοόωσα, μέγ' ἴαχεν ἀμφὶ θυγατρί·
Ὤ μοι ἐγὼν, τί νυ πρῶτον, ἰδ' ὕστατον, ἀχνυμένη κῆρ,
κωκύσω, πολέεσσι περιπλήθουσα κακοῖσιν;
υἱέας, ἢ πόσιν, αἰνὰ καὶ οὐκ ἐπίελπτα παθόντας,
ἢ πόλιν, ἠδὲ θύγατρας ἀδευκέας, ἠδ' ἐμὸν αὐτῆς
ἦμαρ ἀναγκαῖον καὶ δούλιον; οὕνεκα Κῆρες
σμερδαλέαι πολέεσσί μ' ἐνειλήσαντο κακοῖσι.
τέκνον ἐμόν, σοὶ τ' αἰνά, καὶ οὐκ ἐπίελπτα, καὶ αὐτῇ
ἄλγε' ἐπεκλώσαντο· γάμου δ' ἀπὸ νόσφι βάλοντο,
ἐγγὺς ἐόνθ' Ὑμεναῖον, ἐπεκρήναντο δ' ὄλεθρον
ἄσχετον ἀργαλέον τε, καὶ οὐ φατόν· ἦ γὰρ Ἀχιλλεύς,
καὶ νέκυς, ὑμετέρῳ ἐνὶ μαίνεται αἵματι θυμόν.
ὥς μ' ὄφελον μετὰ σεῖο φίλον τέκος ἤματι τῷδε
γαῖα χανοῦσα κάλυψε, πάρος σέο πότμον ἰδέσθαι.
Ὣς φαμένης, ἄλληκτα κατὰ βλεφάρων χεύοντο

δάκρυα· λευγαλέον γὰρ ἔχεν μετὰ πένθεϊ πένθος.
οἱ δ' ὅτ' ἔβαν ποτὶ τύμβον Ἀχιλλῆος ζαθέοιο,
δὴ τότε οἱ φίλος υἱὸς ἐρυσσάμενος θοὸν ἆορ,
σκαιῇ μὲν κούρην κατερήτυε, δεξιτερῇ δὲ
τύμβου ἐπιψαύων, τοῖον ποτὶ μῦθον ἔειπε·
Κλῦθι πάτερ σέο παιδὸς ἐπευχομένοιο, καὶ ἄλλων
Ἀργείων, μηδ' ἧμιν ἔτ' ἀργαλέως χαλέπαινε·
ἤδη γάρ τοι πάντα τελέσσομεν, ὅσσα μενοινᾷς
σῇσιν ἐπὶ πραπίδεσσι· σὺ δ' ἵλαος ἄμμι γένοιο,
τεύξας εὐχομένοισι θοῶς θυμηδέα νόστον.
Ὣς εἰπὼν, κούρης διὰ λοίγιον ἤλασεν ἆορ
λευκανίης· τὴν δ' αἶψα λίπεν πολυήρατος αἰὼν,
οἰκτρὸν ἀνοιμώξασαν ἐφ' ὑστατίῃ βιότοιο·
καί ῥ' ἡ μὲν πρηνὴς χαμάδις πέσε· τῆς δ' ὑπὸ δειρὴ
φοινίχθη περὶ πάντα, χιὼν ὥς, ἥ τ' ἐν ὄρεσσιν
ἢ συὸς, ἢ ἄρκτοιο κατουταμένης ὑπ' ἄκοντι,
αἵματι πορφύροντι θοῶς ἐρυθαίνεθ' ὕπερθεν.
Ἀργεῖοι δέ μιν αἶψα δόσαν ποτὶ ἄστυ φέρεσθαι
ἐς δόμον ἀντιθέου Ἀντήνορος, οὕνεκ' ἄρ' αὐτὴν
κεῖνος ἐνὶ Τρώεσσιν ἑῷ πάρος υἱέϊ δίῳ
Εὐρυμάχῳ ἀτίταλλεν ἐνὶ μεγάροισιν ἄκοιτιν·
ὃς δ' ἐπεὶ οὖν τάρχυσε κλυτὴν Πριάμοιο θύγατρα
ἐγγὺς ἑοῖο δόμοιο, παραὶ Γανυμήδεος ἱρὰ
δώματα, καὶ νηοῖο καταντίον Ἀτρυτώνης·
δὴ τότε παύσατο κῦμα, κατευνήθη δὲ θύελλα
σμερδαλέη, καὶ οἶδμα κατεπρήϋνε γαλήνη.
Οἱ δὲ θοῶς ἐπὶ νῆας ἔβαν, μέγα καγχαλόωντες,
μέλποντες μακάρων ἱερὸν γένος, ἠδ' Ἀχιλῆα·
αἶψα δὲ δαῖτ' ἐπάσαντο, βοῶν ἀπὸ μηρὰ ταμόντες

ἀθανάτοις· ἐρατὴ δὲ θυηπολίη πέλε πάντη·
οἱ δέ που ἀργυρέοισι καὶ ἐν χρυσέοισι κυπέλλοις
πίνον, ἀφυσσάμενοι λαρὸν μέθυ· γήθεε δέ σφι
θυμὸς ἐελδομένων σφετέρην ἐπὶ γαῖαν ἱκέσθαι.
ἀλλ' ὅτε δὴ δόρποιο, καὶ εἰλαπίνης κορέσαντο,
δὴ τότε Νηλέος υἱὸς ἐελδομένοισιν ἔειπεν·
Κλῦτε φίλοι, πολέμοιο μακρὴν φεύγοντες ὁμοκλὴν,
ὄφρα λιλαιομένοισιν ἔπος θυμῆρες ἐνίσπω·
ἤδη γὰρ νόστοιο πέλει θυμηδέος ὥρη·
ἀλλ' ἴομεν· δὴ γάρ που Ἀχιλλέος ὄβριμον ἦτορ
παύσατ' ὀϊζυροῖο χόλου, κατέρυξε δὲ κῦμα
ὄβριμον Ἐννοσίγαιος· ἐπιπνείουσι δ' ἀῆται
μείλιχοι, οὐδέ τι κῦμα κορύσσεται· ἀλλ' ἄγε νῆας
εἰς ἁλὸς οἶδμ' ἐρύσαντες, ἀναμνησώμεθα νόστου.
Ὣς φάτ' ἐελδομένοις· οἱ δ' ἐς πλόον ἐντύνοντο.
ἔνθα τέρας θνητὸν ἐπιχθονίοισι φαάνθη,
οὕνεκα δὴ Πριάμοιο δάμαρ πολυδακρύτοιο
ἐκ βροτοῦ ἀλγινόεσσα κύων γένετ'· ἀμφὶ δὲ λαοὶ
θάμβεον ἀγρόμενοι· τῆς δ' ἄψεα λάϊνα πάντα
θῆκε θεὸς, μέγα θαῦμα καὶ ἐσσομένοισι βροτοῖσι.
καὶ τὴν μὲν Κάλχαντος ὑπ' ἐννεσίῃσιν Ἀχαιοὶ
νηὸς ἐπ' ὠκυπόροιο πέραν θέσαν Ἑλλησπόντου:
καρπαλίμως δ' ἄρα νῆας ἔσω ἁλὸς εἰρύσσαντες,
κτήματα πάντ' ἐβάλονθ', ὁπόσ', Ἴλιον εἰσανιόντες,
ληΐσσαντο πάροιθε περικτίονας δαμάσαντες,
ἠδ' ὁπόσ' ἐξ αὐτῆς ἄγον Ἰλίου, οἷσι μάλιστα
γήθεον, οὕνεκ' ἔσαν μάλα μυρία. τοῖς δ' ἅμα πολλαὶ
ληϊάδες συνέποντο μάλ' ἀχνύμεναι κατὰ θυμόν.
αὐτοὶ δ' ἐντὸς ἵκοντο νεῶν· ἀλλ' οὔ σφισι Κάλχας

ἕσπετ' ἐπειγομένοισιν ἔσω ἁλός, ἀλλὰ καὶ ἄλλους
Ἀργείους κατέρυκε· Καφηρίσι γὰρ περὶ πέτραις
δείδιεν αἰνὸν ὄλεθρον, ἐπεσσύμενον Δαναοῖσιν·
οἱ δέ οἱ οὔτι πίθοντο· παρήπαφε γὰρ νόον ἀνδρῶν
Αἶσα κακή· μοῦνος δὲ θεοπροπίας εὖ εἰδὼς
Ἀμφίλοχος, θοὸς υἱὸς ἀμύμονος Ἀμφιαράου,
μίμνεν ὁμῶς Κάλχαντι περίφρονι· τοῖσι γὰρ ἦεν
αἴσιμον ἀμφοτέροισιν, ἑῆς ἀπὸ τηλόθι γαίης,
Παμφύλων Κιλίκων τε ποτὶ πτολίεθρα νέεσθαι.
Ἀλλὰ τὰ μὲν μετόπισθε θεοὶ θέσαν· αὐτὰρ Ἀχαιοὶ
νηῶν πείσματ' ἔλυσαν ἀπὸ χθονός, ἠδὲ καὶ εὐνὰς
ἐσσυμένως ἀνάειραν· ἐπίαχε δ' Ἑλλήσποντος
σπερχομένων· νῆες δὲ περικλύζοντο θαλάσσῃ·
ἀμφὶ δ' ἄρα σφίσι πολλὰ περὶ πρώρησιν ἔκειντο
ἔντε' ἀποκταμένων· καθύπερθε δὲ σήματα νίκης
μυρί' ἀπῃώρηντο· κατεστέψαντο δὲ νῆας,
καὶ κεφαλάς, καὶ δοῦρα, καὶ ἀσπίδας, ᾗσι μάχοντο
ἀντία δυσμενέων· ἀπὸ δὲ πρώρηθεν ἄνακτες
εἰς ἅλα κυανέην λεῖβον μέθυ, πολλὰ θεοῖσιν
εὐχόμενοι μακάρεσσιν, ἀκηδέα νόστον ὀπάσσαι·
εὐχωλαὶ δ' ἀνέμοισι μίγεν, καὶ ἀπόπροθι νηῶν
μαψιδίως νεφέεσσι καὶ ἠέρι συμφορέοντο.
Αἱ δ' ἄρα παπταίνεσκον ἐς Ἴλιον, ἀχνύμεναι κῆρ,
ληϊάδες· καὶ πολλὰ κινυρόμεναι, γοάασκον
κρύβδην Ἀργείων, μέγ' ἐνὶ φρεσὶ πένθος ἔχουσαι·
καί ῥ' αἱ μὲν περὶ γούνατ' ἔχον χέρας· αἱ δὲ τὰ τέκνα
ἄμπεχον ἀγκοίνῃσι· τὰ δ' οὔπω δούλιον ἦμαρ
ἔστενεν, οὔτε πάτρης ἐπὶ πήμασιν, ἀλλ' ἐπὶ μαζῷ

θυμὸν ἔχον· κηδέων γὰρ ἀπόπροθε νήπιον ἦτορ·
πάσῃσιν δ' ἐλέλυντο κόμαι, καὶ στήθεα λυγρὰ
ἀμφ' ὀνύχεσσι δέδρυπτο· παρειῇσιν δ' ἐπὶ δάκρυ
αὐαλέον περίκειτο, κατείβετο δ' ἄλλ' ἐφύπερθε
πυκνὸν ἀπὸ βλεφάρων· δέρκοντο δὲ τλήμονα πάτρην
αἰθομένην ἔτι πάγχυ, πολὺν δ' ἀνὰ καπνὸν ἰόντα·
ἀμφὶ δὲ Κασσάνδρην περικυδέα παπταίνουσαι
πᾶσαί μιν θηεῦντο, θεοπροπίης ἀλεγεινῆς
μνωόμεναι· ἡ δέ σφιν ἐπεγγελάασκε γοώσαις,
καίπερ ἀκηχεμένη στυγερῆς ἐπὶ πήμασι πάτρης.
Τρώων δ' ὅσσοι ἄλυξαν ἀνηλέος ἐκ πολέμοιο,
ἀγρόμενοι κατὰ ἄστυ, περὶ νέκυας πονέοντο,
θαπτέμεναι μεμαῶτες· ἄγεν δ' ἀλεγεινὸν ἐς ἔργον
Ἀντήνωρ· αὐτοὶ δὲ πυρὴν πολέεσσι τίθεντο.
Ἀργεῖοι δ' ἄλληκτον ἐνὶ φρεσὶ καγχαλόωντες,
ἄλλοτε μὲν κώπῃσι διέπρησσον μέλαν ὕδωρ,
ἄλλοτε δ' ἱστία νηυσὶ μεμαότες ἐντύνοντο
ἐσσυμένως· ὀπίσω δὲ θοῶς ἀπελείπετο πᾶσα
Δαρδανίη, καὶ τύμβος Ἀχιλλέος· οἱ δ' ἀνὰ θυμὸν
καίπερ ἰαινόμενοι, κταμένων μνησθέντες ἑταίρων,
ἀργαλέως ἀκάχοντο, καὶ ἀλλοδαπῶν ἐπὶ γαῖαν
ὄσσε βάλον· ἡ δέ σφιν ἐφαίνετο τηλόθι νηῶν
χαζομένη· τοὶ δ' αἶψα παρ' ἀγχιάλοιο φέροντο
ῥηγμῖνας Τενέδοιο· παρημείβοντο δὲ Χρύσαν,
καὶ Φοίβου Σμινθῆος ἕδος, ζαθέοιό τε Κίλλης·
Λέσβος τ' ἠνεμόεσσ' ἀνεφαίνετο· κάμπτετο δ' ἄκρη
ἐσσυμένως Λεκτοῖο, τόθι ῥίον ὕστατον Ἴδης·
λαίφεα δὲ πρησθέντα περίαχεν· ἀμφὶ δὲ πρώραις
ἔβραχεν οἶδμα κελαινόν· ἐπεσκιόωντο δὲ μακρὰ

κύματα· λευκαίνοντο δ' ὑπὲρ πόντοιο κέλευθοι.
Καί νύ κεν Ἀργεῖοι κίον Ἑλλάδος ἱερὸν οὖδας
πάντες ἁλὸς κατὰ βένθος ἀκηδέες, εἰ μὴ ἄρα σφι
κούρη ἐριγδούποιο Διὸς νεμέσησεν Ἀθήνη·
καί ῥ' ὁπότ' Εὐβοίης σχεδὸν ἤλυθον ἠνεμοέσσης,
δὴ τότε μητιόωσα βαρὺν καὶ ἀνηλέα πότμον
ἀμφὶ Λοκρῶν βασιλῆϊ, καὶ ἄσχετον ἀσχαλόωσα,
Ζηνὶ θεῶν μεδέοντι παρισταμένη, φάτο μῦθον,
ἀθανάτων ἀπάνευθε· χόλον δέ οἱ οὐ χάδε θυμός·
Ζεῦ πάτερ, οὐκ ἔτ' ἀνεκτὰ θεοῖς ἐπιμηχανόωνται
ἀνέρες, οὐκ ἀλέγοντες ἀνὰ φρένας οὔτε σεῦ αὐτοῦ,
οὔτ' ἄλλων μακάρων, ἐπειὴ τίσις οὐκ ἔτ' ὀπηδεῖ
ἀνδράσι λευγαλέοισι, κακοῦ δ' ἄρα πολλάκις ἐσθλὸς
συμφέρετ' ἄλγεσι μᾶλλον, ἔχει δ' ἄλληκτον ὀϊζύν·
τοὔνεκ' ἄρ οὔτε δίκην τις ἔθ' ἅζεται, οὐδέ τις αἰδὼς
ἐστὶ παρ' ἀνθρώποισιν· ἔγωγε μὲν οὔτ' ἐν Ὀλύμπῳ
ἔσσομαι, οὔτ' ἔτι σεῖο κεκλήσομαι, εἰ μὴ Ἀχαιῶν
τίσομ' ἀτασθαλίην, ἐπειή νύ μοι ἔνδοθι νηοῦ
υἱὸς Ὀϊλῆος μέγ' ἐνήλιτεν, οὐδ' ἐλέαιρεν
Κασσάνδρην, ὀρέγουσαν ἀκηδέας εἰς ἐμὲ χεῖρας
πολλάκις, οὐδ' ἔδδεισεν ἐμὸν μένος, οὐδέ τι θυμῷ
ᾐδέσατ' ἀθανάτην, ἀλλ' ἄσχετον ἔργον ἔρεξεν·
τῷ νύ μοι ἀμβροσίῃσι περὶ φρεσὶ μή τι μεγήρῃς
ῥέξαι, ὅπως μοι θυμὸς ἐέλδεται· ὄφρα καὶ ἄλλοι
αἰζηοὶ τρομέωσι θεῶν ἀρίδηλον ὁμοκλήν.
Ὣς φαμένην ἀγανοῖς προσέειπεν Ζεὺς ἐπέεσσιν·
Ὦ τέκος, οὔτι ἔγωγ' ἀνθίσταμαι εἵνεκ' Ἀχαιῶν,
ἀλλὰ καὶ ἔντεα πάντα, τά μοι πάρος ἦρα φέροντες
χερσὶν ὑπ' ἀκαμάτῃσιν ἐτεκτήναντο Κύκλωπες,

δώσω ἐελδομένῃ· σὺ δὲ σῷ κρατερόφρονι θυμῷ
αὐτὴ χεῖμ' ἀλεγεινὸν ἐπ' Ἀργείοισιν ὄρινον.
Ὣς εἰπὼν στεροπήν τε θοὴν, ὀλοόν τε κεραυνὸν,
καὶ βροντὴν στονόεσσαν ἀταρβέος ἀγχόθι κούρης
θήκατο· τῆς δ' ἄρα θυμὸς ὑπὸ κραδίῃ μέγ' ἰάνθη·
αὐτίκα δ' αἰγίδα θοῦριν ἐδύσατο, παμφανόωσαν,
ἄῤῥηκτον, βριαρήν τε, καὶ ἀθανάτοισιν ἀγητήν·
ἐν γάρ οἱ πεπόνητο κάρη βλοσυροῖο Μεδούσης
σμερδαλέον· κρατεροὶ δὲ, καὶ ἀκαμάτου πυρὸς ὁρμὴν
λάβρον ἀποπνείοντες, ἔσαν καθύπερθε δράκοντες·
ἔβραχε δ' αἰγὶς ἅπασα περὶ στήθεσσιν ἀνάσσης,
οἷον ὅτε στεροπῇσιν ἐπιβρέμει ἄσπετος αἰθήρ.
λάζετο δ' ἔντεα πατρὸς, ἅπερ θεὸς οὔτις ἄειρε
νόσφι Διὸς μεγάλοιο· τίναξε δὲ μακρὸν Ὄλυμπον·
σὺν δ' ἔχεεν νεφέλας τε καὶ οὔρεα· πᾶσα δ' ὕπερθε
νὺξ ἐχύθη περὶ γαῖαν· ἐπήχλυσεν δὲ θάλασσα·
Ζεὺς δὲ μέγ' εἰσορόων, ἐπετέρπετο· κίνυτο δ' εὐρὺς
οὐρανὸς ἀμφὶ πόδεσσι θεῆς· περὶ δ' ἔβραχεν αἰθήρ,
ὡς Διὸς ἀκαμάτοιο ποτὶ κλόνον ἐμμεμαῶτος·
ἡ δ' ἄφαρ ἠερόεντος ὑπὲρ πόντοιο φέρεσθαι
οὐρανόθεν προέηκεν ἐς Αἴολον ἄμβροτον Ἶριν,
ὄφρ' ἀνέμους ἅμα πάντας ἐπιβρίσαντας ἀέλλῃ

— — — — —

ἐλθέμεναι κραναοῖο Καφηρέος, ἔνθεν Ἀχαιοῖς
νωλεμέως χριμφθέντας ἀνοιδήνασθαι θάλασσαν,
λευγαλέῃς ῥιπῇσι μεμηνότας. ἡ δ' ἀΐουσα,
ἐσσυμένως οἴμησε περιγναμφθεῖσα νεφέσσι·
φαίης κεν πῦρ ἔμμεν' ἅμ' ἠέρι, καὶ μέλαν ὕδωρ·
ἵκετο δ' Αἰολίην, ἀνέμων ὅθι λάβρον ἀέντων

ἄντρα πέλει, στυγερῇσιν ἀρηράμεν᾽ ἀμφὶ πέτρῃσι,
κοῖλα, καὶ ἠχήεντα· δόμοι δ᾽ ἄγχιστα πέλονται
Αἰόλου Ἱπποτάδαο· κίχεν δέ μιν ἔνδον ἐόντα
σύν τ᾽ ἀλόχῳ, καὶ παισὶ δυώδεκα· καί οἱ ἔειπεν,
ὁππόσ᾽ Ἀθηναίη Δαναῶν ἐπεμήδετο νόστῳ·
αὐτὰρ ὅγ᾽ οὐκ ἀπίθησε, μολὼν δ᾽ ἔκτοσθε μελάθρων,
χερσὶν ὑπ᾽ ἀκαμάτῃσιν ὄρος μέγα τύψε τριαίνῃ,
ἔνθ᾽ ἄνεμοι κελαδεινὰ δυσηχέες ηὐλίζοντο
ἐν κενεῷ κευθμῶνι· περίαχε δ᾽ αἰὲν ἰωὴ,
βρυχομένη ἀλεγεινά· βίῃ δ᾽ ἔῤῥηξε κολώνην.
οἱ δ᾽ ἄφαρ ἐξεχέοντο· κέλευσε δὲ πάντας ἐρεμνὴν
λαίλαπα συμφορέοντας ἀήμεναι, ὄφρ᾽ ἀλεγεινὸν
ὀρνυμένης ἁλὸς οἶδμα, Καφηρέος ἄκρα καλύψῃ·
οἱ δὲ θοῶς ὤρνυντο, πάρος βασιλῆος ἀκοῦσαι
πᾶν ἔπος· ἐσσυμένοισι δ᾽ ἐπεστενάχιζε θάλασσα
ἄσχετον· ἠλιβάτοισι δ᾽ ἐοικότα κύματ᾽ ὄρεσσιν,
ἄλλοθεν ἄλλα φέροντο· κατεκλάσθη δ᾽ ἄρ᾽ Ἀχαιῶν
θυμὸς ἐνὶ στέρνοισιν, ἐπεὶ νέας ἄλλοτε μέν που
ὑψηλὸν φέρε κῦμα δι᾽ ἠέρος, ἄλλοτε δ᾽ αὖτε
οἷα κατὰ κρημνοῖο κυλινδομένας φορέεσκεν
βυσσὸν ἐς ἠερόεντα· βίη δέ τις ἄσχετος αἰὲν
ψάμμον ἀναβλύεσκε, διοιγομένοιο κλύδωνος.
οἱ δ᾽ ἄρ᾽ ἀμηχανίῃ βεβολημένοι, οὔτ᾽ ἐπ᾽ ἐρετμῷ
χεῖρα βαλεῖν ἐδύναντο τεθηπότες, οὔτ᾽ ἄρα λαίφη
ἔσθενον ἀμφὶ κέρα, λελιημένοι, εἰρύσσασθαι,
ῥηγνύμεν᾽ ἐξ ἀνέμων, οὐδ᾽ ἔμπαλιν ἰθύνασθαι
ἐς πλόον· ἀργαλέαι γὰρ ἐπεκλονέοντο θύελλαι·
οὐδὲ κυβερνήτῃσι πέλεν μένος εἰσέτι, νηῶν

χερσὶν ἐπισταμένῃσι θοῶς οἰήϊα νωμᾶν·
πάντα γὰρ ἄλλυδις ἄλλα κακαὶ διέχευον ἄελλαι·
οὐδέ τις ἐλπωρὴ βιότου πέλεν, οὕνεκ᾽ ἐρεμνὴ
νὺξ ἅμα, καὶ μέγα χεῖμα, καὶ ἀθανάτων χόλος αἰνὸς
ὦρτο· Ποσειδάων γὰρ ἀνηλέα πότμον ὄρινεν,
ἦρα κασιγνήτοιο φέρων ἐρικυδέϊ κούρῃ·
ἣ ῥα καὶ αὐτὴ ὕπερθεν ἀμείλιχα μαιμώωσα,
θῦνε μετ᾽ ἀστεροπῇσιν· ἐπέκτυπε δ᾽ οὐρανόθεν Ζεὺς,
κυδαίνων ἀνὰ θυμὸν ἑὸν τέκος, ἀμφὶ δὲ πᾶσαι
νῆσοί τ᾽, ἤπειροί τε, κατεκλύζοντο θαλάσσῃ,
Εὐβοίης οὐ πολλὸν ἀπόπροθεν, ἧχι μάλιστα
τεῦχεν ἀμειλίκτοισιν ἐπ᾽ ἄλγεσιν ἄλγεα δαίμων
Ἀργείοις· στοναχὴ δὲ καὶ οἰμωγὴ κατὰ νῆας
ἔπλετ᾽ ἀπολλυμένων· κανάχιζε δὲ δούρατα νηῶν
ἀγνυμένων· αἱ γάρ ῥα συνωχαδὸν ἀλλήλοισιν
αἰὲν ἐπεῤῥήγνυντο· πόνος δ᾽ ἄπρηκτος ὀρώρει·
καί ῥ᾽ οἱ μὲν, κώπῃσιν ἀπωσέμεναι μεμαῶτες
νῆας ἐπεσσυμένας, αὐτοῖς ἅμα δούρασι λυγροὶ
κάππεσον ἐς μέγα βένθος· ἀμειλίκτῳ δ᾽ ὑπὸ πότμῳ
κάτθανον· οὕνεκ᾽ ἄρα σφιν ἐπέχραον ἄλλοθεν ἄλλα
νηῶν δούρατα μακρά· συνηλοίηντο δὲ πάντων
σώματα λευγαλέως· οἱ δ᾽ ἐν νήεσσι πεσόντες,
κεῖντο, καταφθιμένοισιν ἐοικότες· οἱ δ᾽ ὑπ᾽ ἀνάγκης
νήχοντ᾽ ἀμφιπεσόντες ἐϋξέστοισιν ἐρετμοῖς·
ἄλλοι δ᾽ αὖ σανίδεσσιν ἐπέπλεον· ἔβρασε δ᾽ ἅλμη
βυσσόθεν, ὥςτε θάλασσαν, ἰδ᾽ οὐρανὸν, ἠδὲ καὶ αἶαν,
φαίνεσθ᾽ ἀλλήλοισιν ὁμῶς συναρηρότα πάντα.
Ἡ δ᾽ ἄρ᾽ ἀπ᾽ Οὐλύμποιο βαρύκτυπος Ἀτρυτώνη,
οὔτι καταισχύνεσκε βίην πατρός· ἀμφὶ δ᾽ ἄρ᾽ αἰθὴρ

ἵαχεν· ἡ δ', Αἴαντι χόλον καὶ πῆμα φέρουσα,
ἔμβαλε νηῒ κεραυνόν· ἄφαρ δέ μιν ἄλλυδις ἄλλῃ
ἐσκέδασεν διὰ τυτθά· περίαχε δ' αἶα, καὶ αἰθήρ·
ἐκλύσθη δ' ἄρα πᾶσα περίδρομος Ἀμφιτρίτη.
οἱ δ' ἔκτοσθε νεὸς πέσον ἀθρόοι· ἀμφὶ δ' ἄρ' αὐτοὺς
κύματα μακρὰ φέροντο· περὶ στεροπῇσι δ' ἀνάσσης
αἴγλη μαρμαίρεσκε, διὰ κνέφας ἀΐσσουσα·
οἱ δ' ἄποτον λάπτοντες ἁλὸς πολυηχέος ἅλμην,
θυμὸν ἀποπνείοντες ὑπὲρ πόντοιο φέροντο·
ληϊάσιν δ' ἄρα χάρμα καὶ ὀλλυμένῃσι τέτυκτο·
καί ῥ' αἱ μὲν κατέδυσαν ἔσω ἁλὸς, ἀμφιβαλοῦσαι
χεῖρας ἑοῖς τεκέεσσι, δυσάμμοροι· αἱ δ' ἀλεγεινὰς
δυσμενέων περὶ κρᾶτα βάλον χέρας, οἷς ἅμα λυγραὶ
σπεῦδον ἀποφθίσασθαι, ἑῆς ἀντάξια λώβης
τινύμεναι Δαναούς· ἡ δ' ὑψόθεν εἰσορόωσα,
τέρπεθ' ἑὸν κατὰ θυμὸν ἀγαυὴ Τριτογένεια.
Αἴας δ' ἄλλοτε μὲν περινήχετο δούρατι νηός,
ἄλλοτε δ' αὖ χείρεσσι διήνυεν ἁλμυρὰ βένθη,
ἀκαμάτῳ Τιτῆνι βίην ὑπέροπλον ἐοικώς·
σχίζετο δ' ἁλμυρὸν οἶδμα ποτὶ κρατερῇσι χέρεσσιν
ἀνδρὸς ὑπερθύμοιο· θεοὶ δέ μιν εἰσορόωντες,
ἠνορέην καὶ κάρτος ἐθάμβεον· ἀμφὶ δὲ κῦμα
ἄλλοτε μὲν φορέεσκε πελώριον, ἠΰτ' ἐπ' ἄκρην
οὔρεος ὑψηλοῖο δι' ἠέρος· ἄλλοτε δ' αὖτε
ὑψόθεν ἄνδρα φάραγξιν ἐνέκρυφεν· οὐδ' ὅγε χεῖρας
κάμνε πολυτλήτους· πολλοὶ δέ μεν ἔνθα καὶ ἔνθα
σβεννύμενοι σμαράγιζον ἔσω πόντοιο κεραυνοί·
οὔπω γάρ οἱ θυμὸν ἐμήδετο κηρὶ δαμάσσαι
κούρη ἐριγδούποιο Διὸς μάλα περ κοτέουσα,

πρὶν τλῆναι κακὰ πολλά, καὶ ἄλγεσι πάγχυ μογῆσαι·
τοὔνεκά μιν κατὰ βένθος ἐδάμνατο δηρὸν ὀϊζύς,
πάντοθε τειρόμενον· περὶ γὰρ κακὰ μυρία Κῆρες
ἀνδρὶ περιστήσαντο· μένος δ' ἐνέπνευσεν ἀνάγκη·
φῆ δὲ καὶ εἰ μάλα πάντες Ὀλύμπιοι εἰς ἓν ἵκωνται
χωόμενοι, καὶ πᾶσαν ἀναστήσωσι θάλασσαν,
ἐκφυγέειν· ἀλλ' οὔτι θεῶν ὑπάλυξεν ὁμοκλήν.
δὴ γάρ τοι νεμέσησεν ὑπέρβιος Ἐννοσίγαιος,
εὖτέ μιν εἰσενόησεν ἐφαπτόμενον χερὶ πέτρης
Γυραίης, καί οἱ μέγα χώσατο· σὺν δ' ἐτίναξε
πόντον ὁμῶς καὶ γαῖαν ἀπείριτον· ἀμφὶ δὲ πάντη
κρημνοὶ ὑπεκλονέοντο Καφηρέος· οἱ δ' ἀλεγεινὸν
θεινόμενοι ῥηγμῖνες ἐπέβραχον οἴδματι λάβρῳ,
χωομένοιο ἄνακτος· ἀπέσχισε δ' εἰς ἅλα πέτρον
εὐρέα, τῇπερ ἐκεῖνος ἑαῖς ἐπεμαίετο χερσί·
καί ῥά οἱ ἀμφὶ πάγοισιν ἑλισσομένῳ μάλα δηρὸν
χεῖρες ἀπεδρύφθησαν, ὑπέδραμε δ' αἷμ' ὀνύχεσσι·
μορμύρον δέ οἱ αἰὲν ὀρινομένῳ περὶ κῦμα
ἀφρὸς ἄδην λεύκαινε κάρη, λάσιόν τε γένειον.
καὶ νύ κεν ἐξήλυξε κακὸν μόρον, εἰ μὴ ἄρ' αὐτῷ,
ῥήξας αἶαν ἔνερθεν, ἐπιπροέηκε κολώνην·
εὖτε πάρος μεγάλοιο καὶ Ἐγκελάδοιο δαΐφρων
Παλλὰς ἀειραμένη Σικελὴν ἐπικάββαλε νῆσον,
ἥ ῥ' ἔτι καίεται αἰὲν ὑπ' ἀκαμάτοιο Γίγαντος,
αἰθαλόεν πνείοντος ἔσω χθονός· ὣς ἄρα Λοκρῶν
ἀμφεκάλυψεν ἄνακτα δυσάμμορον οὔρεος ἄκρη,
ὑψόθεν ἐξεριποῦσα· βάρυνε δὲ καρτερὸν ἄνδρα·
ἀμφὶ δέ μιν θανάτοιο μέλας ἐκιχήσατ' ὄλεθρος,
γαίῃ ὁμῶς δμηθέντα, καὶ ἀτρυγέτῳ ἐνὶ πόντῳ.

Ὣς δὲ καὶ ἄλλοι Ἀχαιοὶ ὑπὲρ μέγα λαῖτμα φέροντο,
οἱ μὲν ἄρ᾽ ἐν νήεσσι τεθνηότες, οἱ δὲ πεσόντες
ἔκτοσθεν νηῶν· ὀλοὴ δ᾽ ἔχε πάντας ὀϊζύς·
αἱ μὲν γὰρ φορέοντ᾽ ἐπικάρσιαι εἰν ἁλὶ νῆες,
ἄλλαι δ᾽ αὖ στέψασαι ἄνω τρόπιν· ὧν δέ που ἱστοὶ
ἐκ κεράτων ἐράγησαν, ἐπισπέρχοντος ἀήτεω·
τῶν δὲ διὰ ξύλα πάντα θοαὶ σκεδάσαντο θύελλαι·
αἱ δὲ καὶ εἰς μέγα βένθος ὑποβρύχιαι κατέδυσαν,
ὄμβρου ἐπιβρίσαντος ἀπείρονος· οὐδ᾽ ὑπέμειναν
λάβρον ὁμῶς ἀνέμοισι θαλάσσης καὶ Διὸς ὕδωρ
μισγόμενον· ποταμῷ γὰρ ἀλίγκιος ἔῤῥεεν αἰθὴρ
συννεχές· ἡ δ᾽ ὑπένερθεν ἐμαίνετο δῖα θάλασσα.
καί τις ἔφη· Τάχα τοῖον ἐπέχραεν ἀνδράσι χεῖμα,
ὁππότε Δευκαλίωνος ἀθέσφατος ὑετὸς ἦλθεν,
ποντώθη δ᾽ ἄρα γαῖα, βυθὸς δ᾽ ἐπεχεύατο πάντη.
Ὣς ἄρ ἔφη Δαναῶν τις, ἐνὶ φρεσὶ χεῖμα τεθηπὼς
λευγαλέον· πολλοὶ δὲ κατέφθιθεν· ἀμφὶ δὲ νεκρῶν
πλῆθεθ᾽ ἁλὸς μέγα χεῦμα· περιστείνοντο δὲ πᾶσαι
ἠϊόνες· πολέας γὰρ ἀπέπτυσε κῦμ᾽ ἐπὶ χέρσον·
ἀμφὶ δὲ νήϊα δοῦρα βαρύβρομον Ἀμφιτρίτην
πᾶσαν ἄδην ἐκάλυψε· μέσον δ᾽ ἄρ᾽ ἐφαίνετο κῦμα.
ἄλλοι δ᾽ ἄλλην κῆρα κακὴν λάχον· οἱ μὲν ἀν᾽ εὐρὺν
πόντον, ὀρινομένης ἁλὸς ἄσχετον, οἱ δ᾽ ἐνὶ πέτραις
ἄξαντες πέρι νῆας, ὀϊζυρῶς ἀπόλοντο,
Ναυπλίου ἐννεσίῃσιν· ὁ γὰρ κοτέων μάλα παιδὸς,
χείματος ὀρνυμένοιο, καὶ ὀλλυμένων Ἀργείων,
καίπερ ἀκηχέμενος, μέγ᾽ ἐγήθεεν, οὕνεκ᾽ ἄρ᾽ αὐτῷ
δῶκε τίσιν θεὸς αἶψα, καὶ ἔδρακεν ἐχθρὸν ὅμιλον
τειρόμενον κατὰ βένθος· ἑῷ δ᾽ ἄρα πολλὰ τοκῆϊ

εὔχετ᾽, ὁμῶς νήεσσιν ὑπόβρυχα πάντας ὀλέσθαι.
τοῦ δὲ Ποσειδάων τὰ μὲν ἔκλυεν· ἄλλα δὲ πόντου
ἂψ μέλαν οἶδμα φέρεσκεν· ὁ δ᾽ αὐαλέην χερὶ πεύκην
αἰθομένην ἀνάειρε· δόλῳ δ᾽ ἀπάτησεν Ἀχαιοὺς,
ἐλπομένους εὔορμον ἕδος λιμένων ἀφικέσθαι·
αἰνῶς γὰρ πέτρῃσι περὶ στυφελῇσι δάμησαν
αὐταῖς σὺν νήεσσι· κακῷ δ᾽ ἐπὶ κύντερον ἄλγος
τλῆσαν, ἀνιηρῇσι προσαγνύμενοι περὶ πέτρῃς
νυκτὶ θοῇ· παῦροι δὲ φύγον μόρον, οὓς τ᾽ ἐσάωσεν
ἢ θεός, ἢ δαίμων τις ἐπίῤῥοθος. αὐτὰρ Ἀθήνη
ἄλλοτε μὲν θυμῷ μέγ᾽ ἐγήθεεν, ἄλλοτε δ᾽ αὖτε
ἄχνυτ᾽ Ὀδυσσῆος πινυτόφρονος, οὕνεκ᾽ ἔμελλεν
πάσχειν ἄλγεα πολλὰ Ποσειδάωνος ὁμοκλῇ,
ὃς ῥα τότ᾽ ἀκαμάτῃσι περὶ φρεσὶ πάγχυ μεγαίρων
τείχεσι καὶ πύργοισιν ἐϋσθενέων Ἀργείων,
οὓς ἔκαμον Τροίῃ, στυγερῆς ἔμεν ἄλκαρ ἀϋτῆς,
ἐσσυμένως μάλα πᾶσαν ἀνεπλήμμυρε θάλασσαν,
ὅσση ἀπ᾽ Εὐξείνοιο κατέρχεται Ἑλλήσποντον,
καί μιν ἐπ᾽ ἠϊόνας Τρώων βάλεν· ὗε δ᾽ ὕπερθεν
Ζεὺς, ἐπίηρα φέρων ἐρικυδέϊ Ἐννοσιγαίῳ·
οὐ μὴν οὐδ᾽ Ἑκάεργος ἄτερ καμάτοιο τέτυκτο,
ἀλλ᾽ ἄρ᾽ ἀπ᾽ Ἰδαίων ὀρέων μάλα πάντα ῥέεθρα
εἰς ἕνα χῶρον ἄγεσκε· κατέκλυσε δ᾽ ἔργον Ἀχαιῶν
καὶ τόσση δὲ θάλασσα, καὶ εἰσέτι οἱ κελάδοντες
χείμαῤῥοι ἀλεγεινὸν ἀεξόμενοι Διὸς ὄμβρῳ,
τοὺς μέλαν οἶδμ᾽ ἀνέεργε πολυστόνου Ἀμφιτρίτης
πόντον ἐπελθέμεναι, πρὶν τείχεα πάντ᾽ ἀμαθῦναι
ἀργαλέως Δαναῶν· αὐτὸς δ᾽ ἄρα γαῖαν ἔνερθε
ῥῆξε Ποσειδάων, ἀνὰ δ᾽ ἔβλυσεν ἄσπετον ὕδωρ,

ἰλύν τε, ψάμαθόν τε· βίῃ δ' ἐλέλιξε κραταιῇ
Σίγεον· ἠϊόνες δὲ μέγ' ἔβραχον ἔκ τε θεμέθλων
Δαρδανίη· καὶ ἄϊστον ὑποβρύχιόν τε καλύφθη
ἕρκος ἀπειρέσιον· κατεδύσατο δ' ἔνδοθι γαίης
μακρὰ διϊσταμένης ψάμαθος δ' ἔτι φαίνετο μούνη,
χασσαμένου πόντοιο, καὶ ἐκ θινῶν ἐριδούπων
νόσφιν ἀπ' αἰγιαλοῖο κατ' ἔκτοθι· ἀλλὰ τὰ μέν που
ἀθανάτων ἐτέλεσσε κακὸς νόος· οἱ δ' ἐνὶ νηυσὶν
Ἀργεῖοι πλώεσκον, ὅσους διὰ χεῖμα κέδασσεν·
ἄλλῃ δ' ἄλλος ἵκανεν, ὅπῃ θεὸς ἦγεν ἕκαστον,
ὅσσοι ὑπὲρ πόντοιο λυγρὰς ὑπάλυξαν ἀέλλας.

ΤΕΛΟΣ.

# ΤΡΥΦΙΟΔΩΡΟΥ

# ΑΛΩΣΙΣ ΙΛΙΟΥ.

---

## ΤΡΥΦΙΟΔΩΡΟΥ

# ΑΛΩΣΙΣ ΙΛΙΟΥ.

Τέρμα πολυκμήτοιο μεταχρόνιον πολέμοιο,
καὶ λόχον, Ἀργείης ἱππήλατον ἔργον Ἀθήνης,
αὐτίκα μοι σπεύδοντι, πολὺν διὰ μῦθον ἀνεῖσα,
ἔννεπε Καλλιόπεια· καὶ ἀρχαίην ἔριν ἀνδρῶν
κεκριμένου πολέμοιο ταχείῃ λῦσον ἀοιδῇ.
Ἤδη μὲν δεκάτοιο κυλινδομένου λυκάβαντος,
γηραλέη τετάνυστο φόνων ἀκόρητος Ἐνυώ
Τρωσί τε καὶ Δαναοῖσιν· ἐναιρομένων δ᾽ ἄρα φώτων,
δούρατα κεκμήκει· ξιφέων δ᾽ ἔθνησκον ἀπειλαί·
σβέννυτο θωρήκων ἐνοπή· μινύθεσκεν ἑλικτὴ
ἁρμονίη ῥηχθεῖσα φερεσσακέων τελαμώνων·
ἀσπίδες οὐκ ἀνέχοντο μένειν ἔτι δοῦπον ἀκόντων·
λύετο καμπύλα τόξα· κατέῤῥεον ὠκέες ἰοί.
ἵπποι δ᾽ οἱ μὲν ἄνευθεν ἀεργηλῆς ἐπὶ φάτναις
οἰκτρὰ κάτω μύοντες ὁμόζυγας ἔστενον ἵππους,
οἱ δ᾽ αὐτοὺς ποθέοντες ὀλωλότας ἡνιοχῆας.
κεῖτο δὲ Πηλείδης μὲν ἔχων ἅμα νεκρὸν ἑταῖρον·
Ἀντιλόχῳ δ᾽ ἐπὶ παιδὶ γέρων ὠδύρετο Νέστωρ·
Αἴας δ᾽, αὐτοφόνῳ βριαρὸν δέμας ἕλκεϊ λύσας,
φάσγανον ἐχθρὸν ἔλουσε μεμηνότος αἵματος ὄμβρῳ.
Τρωσὶ δέ, λωβητοῖσιν ἐφ᾽ Ἕκτορος ἑλκυθμοῖσι
μυρομένοις, οὐ μοῦνον ἔην ἐπιδήμιον ἄλγος·

ἀλλὰ καὶ ἀλλοθρόοις ἐπὶ πένθεσι κωκύοντες,
δάκρυσιν ἠμείβοντο πολυγλώσσων ἐπικούρων·
κλαῖον μὲν Λύκιοι Σαρπηδόνα, τόν ποτε μήτηρ
ἐς Τροίην μὲν ἔπεμψεν ἀγαλλομένη Διὸς εὐνῇ,
δουρὶ δὲ Πατρόκλοιο Μενοιτιάδαο πεσόντα
αἵματι δακρύσας ἐχύθη πατρώϊος Αἰθήρ.
καὶ δολίην ὑπὸ νύκτα κακῷ πεπεδημένον ὕπνῳ
Ῥῆσον μὲν Θρήϊκες ἐκώκυον· ἡ δ' ἐπὶ πότμῳ
Μέμνονος οὐρανίην νεφέλην ἐνεδύσατο μήτηρ,
φέγγος ὑποκλέψασα κατηφέος ἤματος Ἠώς.
αἱ δ' ἀπὸ Θερμώδοντος ἀρηϊφίλοιο γυναῖκες,
κοπτόμεναι περίκυκλον ἀθηλέος ὄμφακα μαζοῦ,
παρθένον ὠδύροντο δαΐφρονα Πενθεσίλειαν,
ἥ τε πολυξείνοιο χορὸν πολέμοιο μολοῦσα
θηλείης ἀπὸ χειρὸς ἀπεσκέδασεν νέφος ἀνδρῶν
νῆας ἐς ἀγχιάλους· μελίῃ δέ ἑ μοῦνος ὑποστὰς
καὶ κτάνε καὶ σύλησε καὶ ἐκτερέϊξεν Ἀχιλλεύς.
Εἱστήκει δ' ἔτι πᾶσα θεοκμήτων ἐπὶ πύργων
Ἴλιος, ἀκλινέεσσιν ἐπεμβεβαυῖα θεμέθλοις·
ἀμβολίῃ δ' ἤσχαλλε δυσαχθεῖ λαὸς Ἀχαιῶν·
καί νύ κεν ὑστατίοισιν ὑποκνήσασα πόνοισιν,
ἀκάματός περ ἐοῦσα, μάτην ἵδρωσεν Ἀθήνη,
εἰ μή, Δηϊφόβοιο γαμοκλόπον ὕβριν ἐάσας,
Ἰλιόθεν Δαναοῖσιν ἐπὶ ξένος ἤλυθε μάντις.
οἷα δέ που μογέοντι χαριζόμενος Μενελάῳ
ὀψιτέλεστον ὄλεθρον ἑῇ μαντεύσατο πάτρῃ.
οἱ δέ, βαρυζήλοιο θεοπροπίης Ἑλένοιο,
αὐτίκα μηκεδανοῖο μόθου τέλος ἠρτύναντο.
καὶ Σκῦρον μὲν ἔβαινε λιπὼν εὐπάρθενον ἄστυ

υἱὸς Ἀχιλλῆος καὶ ἐπαινῆς Δηϊδαμείης·
μήπω δ᾽ εὐφυέεσσιν ἰουλίζων κροτάφοισιν,
ἀλκὴν πατρὸς ἔφαινε, νέος περ ἐὼν πολεμιστής.
ἦλθε δὲ καὶ Δαναοῖσιν ἑὸν βρέτας ἁγνὸν ἄγουσα,
ληϊστὴ μὲν ἐοῦσα, φίλοις δ᾽ ἐπίκουρος Ἀθήνη.
Ἤδη καὶ βουλῇσι θεῆς ὑποεργὸς Ἐπειός
Τροίης ἐχθρὸν ἄγαλμα πελώριον ἵππον ἐποίει·
καὶ δὴ τέμνετο δοῦρα, καὶ ἐς πεδίον κατέβαινεν
Ἴδης ἐξ αὐτῆς, ὁπόθεν καὶ πρόσθε Φέρεκλος
νῆας Ἀλεξάνδρῳ τεκτήνατο, πήματος ἀρχήν.
ποίει δ᾽ εὐρυτάταις μὲν ἐπὶ πλευρῇς ἀραρυῖαν
γαστέρα, κοιλήνας ὁπόσον νεὸς ἀμφιελίσσης
ὀρθὸν ἐπὶ στάθμην μέγεθος τορνώσατο τέκτων.
αὐχένα δὲ γλαφυροῖσιν ἐπὶ στήθεσσιν ἔπηξε,
ξανθῷ πορφυρόπεζαν ἐπιῤῥήνας τρίχα χρυσῷ·
ἡ δ᾽ ἐπικυμαίνουσα μετήορος αὐχένι κυρτῷ,
ἐκ κορυφῆς λοφόεντι κατεσφρηγίζετο δεσμῷ·
ὀφθαλμοὺς δ᾽ ἐνέθηκε λιθώπεας ἐν δυσὶ κύκλοις
γλαυκῆς βηρύλλοιο καὶ αἱμαλέης ἀμεθύσσου.
τῶν δ᾽ ἐπιμισγομένων διδύμης ἀμαρύγμασι χροιῆς,
γλαυκῶν φοινίσσοντο λίθων ἑλίκεσσιν ὀπωπαί.
ἀργυφέους δ᾽ ἐχάραξεν ἐπὶ γναθμοῖσιν ὀδόντας,
ἄκρα δακεῖν σπεύδοντας ἐϋστρέπτοιο χαλινοῦ
καὶ στόματος μεγάλοιο λαθὼν ἀνέῳξε κελεύθους,
ἀνδράσι κευθομένοισι παλίῤῥοον ἆσθμα φυλάσσων.
καὶ διὰ μυκτήρων φυσίζοος ἔῤῥεεν ἀήρ.
οὔατα δ᾽ ἀκροτάτοισιν ἐπὶ κροτάφοισιν ἄρηρεν
ὀρθὰ μάλ᾽, αἰὲν ἑτοῖμα μένειν σάλπιγγος ἀκουήν.
νῶτα δ᾽ ὁμοῦ λαγόνεσσι συνήρμοσε καὶ ῥάχιν ὑγρήν·

ἰσχία τε γλουτοῖσιν ὀλισθηροῖσι συνῆψεν.
σύρετο δὲ πρυμνοῖσιν ἐπ᾽ ἴχνεσιν ἔκλυτος οὐρή,
ἄμπελος ὡς γναμπτοῖσι καθελκομένη θυσάνοισιν.
οἱ δὲ πόδες βαλιοῖσιν ἐπερχόμενοι γονάτεσσιν,
ἄπτερον ὥςπερ ἔμελλον ἐπὶ δρόμον ὁπλίζεσθαι,
οὕτως ἠπείγοντο· μένειν δ᾽ ἐκέλευσεν ἀνάγκη·
οὐ μὲν ἐπὶ κνήμῃσιν ἀχαλκέες ἔξεχον ὁπλαί,
μαρμαρέης δ᾽ ἑλίκεσσι κατεσφήκωντο χελώνης,
ἁπτόμεναι πεδίοιο μόγις κρατερώνυχι χαλκῷ.
κληϊστὴν μὲν ἔθηκε θύρην καὶ κλίμακα τυκτήν,
ἡ μὲν ὅπως, ἄϊδηλος ἐπὶ πλευρῆς ἀραρυῖα,
ἔνθα καὶ ἔνθα φέρῃσι λόχον κλυτόπωλον Ἀχαιῶν·
ἡ δ᾽ ἵνα λυομένη τε καὶ ἔμπεδον εἰς ἓν ἰοῦσα,
εἴη σφιν καθύπερθεν ὁδὸς καὶ νέρθεν ὀροῦσαι.
ἀμφὶ δέ μιν λευκοῖο κατ᾽ αὐχένος ἠδὲ γενείων
ἄνθεσι πορφυρέοισι πέριξ ἔζωσεν ἱμάντων,
καὶ σκολιῇς ἑλίκεσσιν ἀναγκαίοιο χαλινοῦ,
κολλήσας ἐλέφαντι καὶ ἀργυροδινέϊ χαλκῷ.
αὐτὰρ ἐπειδὴ πάντα κάμεν μενεδήϊον ἵππον,
κύκλον ἐϋκνήμιδα ποδῶν ὑπέθηκεν ἑκάστῳ,
ἑλκόμενος πεδίοισιν ὅπως πειθήνιος εἴη,
μηδὲ βιαζομένοισι δυςέμβατον οἶμον ὁδεύῃ.
Ὣς ὁ μὲν ἐξήστραπτε φόβῳ καὶ κάλλεϊ πολλῷ,
εὐρύς θ᾽ ὑψηλός τε· τὸν οὐδέ κεν ἀρνήσαιτο,
εἴ μιν ζωὸν ἔτετμεν, ἐλαυνέμεν ἵππιος Ἄρης.
ἀμφὶ δέ μιν μέγα τεῖχος ἐλήλατο, μή τις Ἀχαιῶν
πρίν μιν ἐςαθρήσειε, δόλον δ᾽ ἀνάπυστον ἀνάψῃ.
οἱ δέ, Μυκηναίης Ἀγαμέμνονος ἐγγύθι νηός,
λαῶν ὀρνυμένων ὅμαδον καὶ κῦμα φυγόντες,

ἐς βουλὴν βασιλῆες ἀολλίσθησαν Ἀχαιῶν.
ἡ δέ, τανυφθόγγοιο δέμας κήρυκος ἑλοῦσα,
συμφράδμων Ὀδυσῆϊ παρίστατο θοῦρις Ἀθήνη,
ἀνδρὸς ἐπιχρίουσα μελίχροϊ νέκταρι φωνήν.
αὐτὰρ ὅ, δαιμονίῃσι νόον βουλῆσιν ἑλίσσων,
πρῶτα μὲν εἱστήκει κενεόφρονι φωτὶ ἐοικώς,
ὄμματος ἀστρέπτοιο βολὴν ἐπὶ γαῖαν ἐρείσας·
ἄφνω δ᾽ ἀενάων ἐπέων ὠδῖνας ἀνοίξας,
δεινὸν ἀνεβρόντησε, καί, ἠερίης ἅτε πηγῆς,
ἐξέχεεν μέγα λαῖτμα μελισταγέος νιφετοῖο·
Ὦ φίλοι, ἤδη μὲν κρύφιος λόχος ἐκτετέλεσται,
χερσὶ μὲν ἀνδρομέῃσιν, ἀτὰρ βουλῆσιν Ἀθήνης.
ὑμεῖς δ᾽, οἵ τε μάλιστα πεποίθατε κάρτεϊ χειρῶν,
πρόφρονες ἀλκήεντι νόῳ καὶ τλήμονι θυμῷ
σπέσθε μοι· οὐ γὰρ ἔοικε πολὺν χρόνον ἐνθάδ᾽ ἐόντας
μοχθίζειν ἀτέλεστα καὶ ἀχρέα γηράσκοντας,
ἀλλὰ χρὴ ζώοντας ἀοίδιμον ἔργον ἀνῦσαι,
ἢ θανάτῳ βροτόεντι κακοκλεὲς αἶσχος ἀλύξαι.
ἡμῖν θαλπωραὶ προφερέστεραι ἤπερ ἐκείνοις·
εἰ μή που στρουθοῖο καὶ ἀρχαίοιο δράκοντος
καὶ καλῆς πλατάνοιο καὶ ὠκυμόροις ἐπὶ τέκνοις
μητέρος ἑλκομένης ἁπαλῶν τ᾽ ἐλάθεσθε νεοσσῶν.
εἰ δὲ θεοπροπίῃσι γέρων ἀνεβάλλετο Κάλχας,
ἀλλὰ καὶ ὧς Ἑλένοιο μετήλυδος ὀμφητῆρος
μαντοσύναι καλέουσιν ἑτοιμοτάτην ἐπὶ νίκην.
τοὔνεκά μοι πείθεσθε, καὶ ἱππείην ἐπὶ νηδὺν
θαρσαλέοι σπεύδωμεν, ὅπως αὐτάγρετον ἄλγος
Τρῶες ἀταρβήτοιο θεῆς ἀπατήνορα τέχνην

Ἴλιον εἰςανάγωσιν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
οἱ δ' ἄλλοι πρύμναια μεθίετε πείσματα νηῶν.
πῦρ ἴδιον πλεκτῇσιν ἐνὶ κλισίῃσι βαλόντες·
Ἰλιάδος δὲ λιπόντες ἐρημαίην χθονὸς ἀκτήν,
πλώετε πανσυδίῃ ψευδώνυμον οἴκαδε νόστον,
εἰςόκεν εὐόρμου τετανυσμένον ἐκ περιωπῆς
ὔμμι συναγρομένοις ἐπὶ γείτονος αἰγιαλοῖο
σημαίνῃ παλίνορσον ἐπὶ πλόον ἑσπέριον πῦρ.
καὶ τότε μήτε τις ὄκνος ἐπειγομένων ἐρετάων
γιγνέσθω, μήτ' ἄλλο φόβου νέφος, οἷά τε νύκτες
ἀνθρώποισι φέρουσιν ἐλαφροῦ δείματα θυμοῦ.
ἔστω δὲ προτέρης ἀρετῆς ἐμφύλιος αἰδώς·
μήτε τις αἰσχύνειεν ἑὸν κλέος, ὥς κεν ἕκαστος
ἄξιον ὧν ἐμόγησε λάβῃ γέρας ἱπποσυνάων.
Ὣς φάμενος βουλῆς ἐξώχετο· τοῖο δὲ μύθοις
πρῶτος ἐφωμάρτησε Νεοπτόλεμος θεοειδής,
πῶλος ἅτε δροσόεντος ἐπειγόμενος πεδίοιο,
ὅς τε, νεοζυγέεσσιν ἀγαλλόμενος φαλάροισιν,
ἔφθασε καὶ μάστιγα καὶ ἡνιοχῆος ἀπειλήν.
Τυδείδης δ' ἐπόρουσε Νεοπτολέμῳ Διομήδης,
θαυμάζων ὅτι τοῖος ἔην καὶ πρόσθεν Ἀχιλλεύς.
ἕσπετο καὶ Κυάνιππος, ὃν εὐπατέρεια Κομαιθὼ
Τυδηῒς, θαλάμοιο μινυνθαδίοιο τυχοῦσα,
ὠκυμόρῳ τέκε παῖδα σακεσπάλῳ Αἰγιαλῆϊ.
ἔστη καὶ Μενέλαος· ἄγεν δέ μιν ἄγριος ὁρμὴ
Δηϊφόβου ποτὶ δῆριν, ἀπηνεῖ δ' ἕζετο θυμῷ,
δεύτερον ἁρπακτῆρα γάμου λελιημένος εὑρεῖν.
τῷ δ' ἐπὶ Λοκρὸς ὄρουσεν Ὀϊλῆος ταχὺς Αἴας,
εἰςέτι θυμὸν ἔχων πεπνυμένον, οὐδ' ἐπὶ κούραις

μαργαίνων ἀθέμιστον· ἀνέστησεν δὲ καὶ ἄλλον,
Κρητῶν Ἰδομενῆα μεσαιπόλιον βασιλῆα.
Νεστορίδης δ' ἅμα τοῖσιν ἔβη κρατερὸς Θρασυμήδης,
καὶ Τελαμώνιος υἱὸς ἑκηβόλος ἠΰε Τεῦκρος·
τοῖσι δ' ἐπ' Ἀδμήτοιο πάϊς πολύϊππος ἀνέστη
Εὔμηλος· μετὰ τὸν δὲ θεοπρόπος ἔσσυτο Κάλχας,
εὖ εἰδὼς ὅτι μόχθον ἀμήχανον ἐκτελέσαντες
ἤδη Τρώϊον ἄστυ καθιππεύουσιν Ἀχαιοί.
οὐδὲ μὲν οὐδ' οἱ ἔλειφθεν ἀποστρεφθέντες ἀρωγῆς,
Εὐρύπυλός τ' Εὐαιμονίδης ἀγαθός τε Λεοντεύς,
Δημοφόων τ' Ἀκάμας τε, δύω Θησήϊα τέκνα,
Ὀρτυγίδης δ' Ἄντικλος, ὃν αὐτόθι τεθνειῶτα
ἵππῳ δακρύσαντες ἐνεκτερέϊξαν Ἀχαιοί·
Πηνέλεώς τε Μέγης τε καὶ Ἀντιφάτης ἀγαπήνωρ,
Ἰφιδάμας τε καὶ Εὐρυδάμας, Πελίαο γενέθλη,
τόξῳ δ' Ἀμφιδάμας κεκορυθμένος· ὕστατος αὖτε
τέχνης ἀγλαόμητις ἑῆς ἐπέβαινεν Ἐπειός.
εὐξάμενοι δὴ ἔπειτα Διὸς γλαυκώπιδι κούρῃ
ἱππείην ἔσπευδον ἐς ὁλκάδα· τοῖσι δ' Ἀθήνη
ἀμβροσίην κεράσασα θεῶν ἐκόμισσεν ἐδωδὴν
δεῖπνον ἔχειν, ἵνα μή τι, πανημέριοι λοχόωντες
τειρόμενοι βαρύθοιεν ἀτερπεῖ γούνατα λιμῷ.
ὡς δ' ὁπότε κρυμνοῖσιν ἀελλοπόδων νεφελάων
ἠέρα παχνώσασα χιὼν ἐπάλυνεν ἀρούρας,
τηκομένη δ' ἀνέηκε πολὺν ῥόον· οἱ δ' ἀπὸ πέτρης
ὀξὺ καταθρώσκουσι κυβιστητῆρι κυδοιμῷ,
δοῦπον ὑποπτήξαντες ὀρειτρεφέος ποταμοῖο,
θῆρες, ἐρωήσαντες ὑπὸ πτύχα κοιλάδος εὐνῆς,
σιγῇ φρικαλέῃσιν ἐπὶ πλευρῇσι μένουσι,

πικρὰ δὲ πεινάοντες ὀϊζυρῆς ὑπ' ἀνάγκης
τλήμονες ἐκδέχαται πότε παύεται ὄβριμον ὕδωρ·
ὣς οἵ γε, γλαφυροῖο διὰ ξυλόχοιο θορόντες,
ἀτλήτους ἀνέχοντο πόνους ἀκμῆτες Ἀχαιοί.
τοῖσι δ' ἐπεκλήϊσσε θύρην ἐγκύμονος ἵππου
πιστὸς ἀτεκμάρτοιο δόλου πυλαωρὸς Ὀδυσσεύς.
αὐτὸς δ' ἐν κεφαλῇ σκοπὸς ἕζετο· τὼ δέ οἱ ἄμφω
ὀφθαλμὼ ποθέοντες ἐλάνθανον ἐκτὸς ἐόντας.
Ἀτρείδης δ' ἐκέλευσεν ὑποδρηστῆρας Ἀχαιοὺς
λῦσαι λάϊνον ἕρκος εὐγνάμπτοισι μακέλλαις,
ἵππος ὅπερ κεκάλυπτο· θέλεν δέ ἑ γυμνὸν ἐᾶσαι,
τηλεφανὴς ἵνα πᾶσιν ἑὴν χάριν ἀνδράσι πέμπῃ.
καὶ τὸ μὲν ἐξελάχαινον ἐφημοσύνῃ βασιλῆος.
ἠέλιος δ' ὅτε νύκτα παλίνσκιον ἀνδράσιν ἕλκων
ἐς δύσιν ἀχλυόπεζαν ἐκηβόλον ἔτραπεν ἠῶ,
δὴ τότε κηρύκων ἐπεκίδνατο λαὸν ἀϋτὴ
φεύγειν ἀγγελέουσα καὶ ἑλκέμεν εἰς ἅλα κοίλην
νῆας ἐϋκραίρους ἀνά τε πρυμνήσια λῦσαι·
ἔνθα δὲ πευκήεντος ἀνασχόμενοι πυρὸς ὁρμήν,
ἕρκεά τε πρήσαντες ἐϋσταθέων κλισιάων,
νηυσὶν ἀναπλώεσκον ἀπὸ Ῥοιτειάδος ἀκτῆς
ὅρμον ἐς ἀντιπέραιον ἐϋστεφάνου Τενέδοιο,
γλαυκὸν ἀναπτύσσοντες ὕδωρ Ἀθαμαντίδος Ἕλλης.
μοῦνος δὲ πληγῇσιν ἑκούσια γυῖα χαραχθεὶς
Αἰσιμίδης ἐλέλειπτο Σίνων, ἀπατήλιος ἥρως,
κρυπτὸν ἐπὶ Τρώεσσι δόλον καὶ πήματα κεύθων.
ὡς δ' ὁπότε σταλίκεσσι λίνον περικυκλώσαντες
θηρσὶν ὀρειπλανέεσσι λόχον πολυωπὸν ἔπηξαν
ἀνέρες ἀγρευτῆρες· ὁ δ' ἐκκριδόν, οἷος ἀπ' ἄλλων

λαθρίδιος, πυκινοῖσιν ὑπὸ πτόρθοισι δεδυκὼς,
δίκτυα παπταίνων ἔλαθεν θηροσκόπος ἀνήρ·
ὣς τότε, λωβητοῖσι περίστικτος μελέεσσι,
Τροίῃ λυγρὸν ὄλεθρον ἐμήδετο· καδδέ οἱ ὤμους
ἕλκεσι ποιητοῖσιν ἐπέῤῥεε νήχυτον αἷμα.
ἡ δὲ περὶ κλισίῃσιν ἐμαίνετο παννυχίη φλὸξ,
καπνὸν ἐρευγομένη ἐριδινέα φοιτάδι ῥιπῇ·
Ἥφαιστος δ᾽ ἐκέλευεν ἐρίβρομος· ἐκ δὲ θυέλλας
παντοίας ἐτίνασσεν ἐπιπνείουσα καὶ αὐτὴ
μήτηρ ἀθανάτοιο πυρὸς φαεσίμβροτος Ἥρη.
ἤδη δὲ Τρώεσσι καὶ Ἰλιάδεσσι γυναιξὶν
ὄρθρον ὑπὸ σκιόεντα πολύθροος ἤλυθε φήμη,
δήϊον ἀγγέλλουσα φόβον σημάντορι καπνῷ.
αὐτίκα δ᾽ ἐξέθορον πυλέων πετάσαντες ὀχῆας
πεζοί θ᾽ ἱππῆές τε καὶ ἐς πεδίον προχέοντο,
διζόμενοι μή πού τις ἔην δόλος ἄλλος Ἀχαιῶν.
οἱ δέ, θοῆς οὐρῆας ὑποζεύξαντες ἀπήναις,
ἐκ πόλιος κατέβαινον ἅμα Πριάμῳ βασιλῆϊ
ἄλλοι δημογέροντες· ἐλαφρότατοι δ᾽ ἐγένοντο,
θαλπόμενοι περὶ παισὶν ὅσους λίπε φοίνιος Ἄρης,
ὀσσόμενοι καὶ γῆρας ἐλεύθερον. οὐ μὲν ἔμελλον
γηθήσειν ἐπὶ δηρόν· ἐπεὶ Διὸς ἤθελε βουλή.
οἱ δ᾽, ὅτε τεχνήεντος ἴδον δέμας αἰόλον ἵππου,
θαύμασαν ἀμφιχυθέντες, ἅτ᾽ ἠχήεντες ἰδόντες
αἰετὸν ἀλκήεντα περικλάζουσι κολοιοί.
τοῖσιν δὲ τρηχεῖα καὶ ἄκριτος ἔμπεσε βουλή·
οἱ μὲν γὰρ πολέμῳ βαρυπενθέϊ κεκμηῶτες,
ἵππον ἀπεχθήραντες, ἐπεὶ πέλεν ἔργον Ἀχαιῶν,
ἤθελον ἢ δολιχοῖσιν ἐπὶ κρημνοῖσιν ἀράξαι,

ἠὲ καὶ ἀμφιτόμοισι διαῤῥῆξαι πελέκεσσιν·
οἱ δέ, νεοξέστοιο πεποιθότες ἔργμασι τέχνης,
ἀθανάτοις ἐκέλευον ἀρήϊον ἵππον ἀνάψαι,
ὕστερον Ἀργείοιο μόθου σημήϊον εἶναι.
φραζομένοις δ᾽ ἐπὶ τοῖσι παναίολα γυῖα κομίζων
γυμνὸς ὑπὲρ πεδίοιο φάνη κεκακωμένος ἀνήρ·
αἵματι δὲ σμώδιγγες ἀεικέϊ βεβριθυῖαι,
ἴχνια λωβήεντα θοῶν ἀνέφαινον ἱμάντων.
αὐτίκα δὲ Πριάμοιο ποδῶν προπάροιθεν ἐλυσθείς,
ἱκεσίαις παλάμῃσι παλαιῶν ἥψατο γούνων,
λισσόμενος δέ γέροντα δολοπλόκον ἴαχε μῦθον·
Ἄνδρα μὲν Ἀργείοισιν ὁμόπλοον εἴ μ᾽ ἐλεαίρεις,
Τρώων δὲ ῥυτῆρα καὶ ἄστεος εἴ με σαώσεις,
Δαρδανίδη σκηπτοῦχε, καὶ ὕστατον ἐχθρὸν Ἀχαιῶν,
οἷά με λωβήσαντο θεῶν ὄπιν οὐκ ἀλέγοντες,
οὐδὲν ἀλιτραίνοντα, κακοὶ καὶ ἀπηνέες αἰεί·
ὡς μὲν Ἀχιλλῆος γέρας ἥρπασαν Αἰακίδαο,
ὡς δὲ Φιλοκτήτην ἔλιπον πεπεδημένον ὕδρῳ,
ἔκτειναν δὲ καὶ αὐτὸν ἀγασσάμενοι Παλαμήδην·
καὶ νῦν οἷά μ᾽ ἔρεξαν ἀτάσθαλοι, οὕνεκα φεύγειν
οὐκ ἔθελον σὺν τοῖσι, μένειν δ᾽ ἐκέλευον ἑταίρους·
οἱ δέ, νοοπλήγεσσιν ἀτασθαλίῃσι δαμέντες,
εἵματα μέν μ᾽ ἀπέδυσαν, ἀεικελίῃσι δ᾽ ἱμάσθλαις
πᾶν δέμας οὐτήσαντες, ἐπὶ ξείνῃ λίπον ἀκτῇ·
ἀλλά, μάκαρ, πεφύλαξο Διὸς σέβας ἱκεσίοιο·
χάρμα γὰρ Ἀργείοισι γενήσομαι, εἴ κεν ἐάσῃς
χερσὶν ὑπὸ Τρώων ἱκέτην καὶ ξεῖνον ὀλέσθαι.
αὐτὰρ ἐγὼ πάντεσσιν ἐπάρκιος ἔσσομαι ὑμῖν,
μηκέτι δειμαίνειν πόλεμον παλίνορσον Ἀχαιῶν.

Ὣς φάτο· τὸν δ᾽ ὁ γέρων ἀγανῇ μειλίξατο φωνῇ·
ξεῖνε, σὲ μὲν Τρώεσσι μεμιγμένον οὐκ ἔτ᾽ ἔοικε
τάρβος ἔχειν· ἔφυγες γὰρ ἀνάρσιον ὕβριν Ἀχαιῶν·
αἰεὶ δ᾽ ἡμέτερος φίλος ἔσσεαι· οὐδέ σε πάτρης,
οὐδὲ πολυκτεάνων θαλάμων γλυκὺς ἵμερος αἱρεῖ.
ἀλλ᾽ ἄγε, καὶ σύ μοι εἰπὲ τί τοι τόδε θαῦμα τέτυκται,
ἵππος, ἀμειλίκτοιο φόβου τέρας· εἰπὲ δὲ σεῖο
οὔνομα καὶ γενεήν, ὁπόθεν δέ σε νῆες ἔνεικαν.
Τὸν δ᾽ ἐπιθαρσήσας προσέφη πολυμήχανος ἥρως·
ἐξερέω καὶ ταῦτα· σὺ γάρ μ᾽ ἐθέλοντα κελεύεις,
Ἄργος μοι πόλις ἐστί, Σίνων δέ μοι οὔνομα κεῖται·
Αἴσιμον αὖ καλέουσιν ἐμὸν πολιὸν γενετῆρα.
ἵππον δ᾽ Ἀργείοισι παλαίφατον εὗρεν Ἐπειός·
εἰ μὲν γάρ μιν ἐᾶτε μένειν αὐτοῦ ἐνὶ χώρῃ,
Τροίην θέσφατόν ἐστιν ἑλεῖν πόλιν ἔγχος Ἀχαιῶν·
εἰ δέ μιν, ἁγνὸν ἄγαλμα, λάβῃ νηοῖσιν Ἀθήνη,
φεύξονται προφυγόντες ἀνηνύστοις ἐπ᾽ ἀέθλοις.
ἀλλ᾽ ἄγε δὴ σειρῇσι περίπλοκον ἀμφιβαλόντες
ἕλκετ᾽ ἐς ἀκρόπολιν μεγάλην χρυσήνιον ἵππον· *
ἄμμι δ᾽ Ἀθηναίη ἐρυσίπτολις ἡγεμονεύοι,
δαιδάλεον σπεύδουσα λαβεῖν ἀνάθημα καὶ αὐτή.
Ὣς ἄρ᾽ ἔφη· καὶ τὸν μὲν ἄναξ ἐκέλευσε λαβόντα
ἕσσασθαι χλαῖνάν τε χιτῶνά τε· τοὶ δέ, βοείαις
δησάμενοι σειρῇσιν ἐϋπλέκτοις τε κάλοισιν,
εἷλκον ὑπὲρ πεδίοιο θοῶν ἐπιβήτορα κύκλων
ἵππον, ἀριστήεσσι βεβυσμένον· οἱ δὲ πάροιθεν
αὐλοὶ καὶ φόρμιγγες ὁμὴν ἐλίγαινον ἀοιδήν.
σχέτλιον ἀφραδέων μερόπων γένος, οἷσιν ὁμίχλη

ἄσκοπος ἐσσομένων· κενεῷ δ' ὑπὸ χάρματι πολλοὶ
πολλάκις ἀγνώσσουσι περιπταίοντες ὀλέθρῳ.
οἵη καὶ Τρώεσσι τότε φθισίμβροτος ἄτη
ἐς πόλιν αὐτοκέλευθος ἐκώμασεν· οὐδέ τις ἀνδρῶν
ᾔδεεν, οὕνεκα λάβρον ἐφέλκετο πένθος ἄλαστον.
ἄνθεα δὲ δροσόεντος ἀμησάμενοι ποταμοῖο
ἔστεφον αὐχενίους πλοκάμους σφετέροιο φονῆος.
γαῖα δέ, χαλκείοισιν ἐρεικομένη περὶ κύκλοις,
δεινὸν ὑπεβρυχᾶτο· σιδήρειοι δὲ καὶ αὐτῶν
τριβόμενοι τρηχεῖαν ἀνέστενον ἄξονες ἠχήν·
τετρίγει δὲ κάλων ξυνοχή, καὶ πᾶσα ταθεῖσα
λιγνὺν αἰθαλόεσσαν ἕλιξ ἀνεκήκιε σειρή.
πολλὴ δ' ἑλκόντων ἐνοπὴ καὶ κόμπος ὀρώρει·
ἔβρεμε νυμφαίῃσιν ἅμα δρυσὶ δάσκιος Ἴδη,
ἴαχε καὶ Ξάνθου ποταμοῦ κυκλούμενον ὕδωρ,
καὶ στόμα κεκλήγει Σιμοείσιον· οὐρανίη δὲ
ἐκ Διὸς ἑλκόμενον πόλεμον μαντεύετο σάλπιγξ.
οἱ δ' ἦγον προπάροιθεν· ὁδὸς δ' ἐβαρύνετο μακρή,
σχιζομένη ποταμοῖσι καὶ οὐ πεδίοισιν ὁμοίη.
εἵπετο δ' αἰόλος ἵππος ἀρηϊφίλους ἐπὶ βωμούς,
κυδιόων ὑπέροπλα· βίῃ δ' ἐπέρεισεν Ἀθήνη
χεῖρας ἐπιβρίσασα νεογλυφέων ἐπὶ μηρῶν.
ὣς δὲ θέων ἀκίχητος ἐπέδραμε θᾶσσον ὀϊστοῦ,
Τρῶας ἐϋσκάρθμοισιν ὁδοιπορίῃσι διώκων,
εἰσόκε δὴ πυλέων ἐπεβήσατο Δαρδανιάων.
αἱ δέ οἱ ἐρχομένῳ θυρέων πτύχες ἐστείνοντο·
ἀλλ' Ἥρη μὲν ἔλυσεν ἐπὶ δρόμον αὖθις ὁδοῖο
πρόσθεν ἀναστέλλουσα· Ποσειδάων δ' ἀπὸ πύργων
σταθμὸν ἀνοιγομένων πυλέων ἀνέκοπτε τριαίνῃ.

Τρωϊάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἄλλοθεν ἄλλαι,
νύμφαι τε πρόγαμοί τε καὶ ἴδμονες Εἰλειθυίης,
μολπῇ τ' ὀρχηθμῷ τε περὶ βρέτας εἱλίσσοντο·
ἄλλαι δὲ χνοόωσαν ἀμελγόμεναι χάριν ὄμβρου,
ὁλκῷ δουρατέῳ ῥοδέους στορέσαντο τάπητας·
αἳ δέ, θαλασσαίης ἐπιμάζια νήματα μίτρης
λυσάμεναι, κλωστοῖσι κατέπλεκον ἄνθεσιν ἵππον·
καί τις, ἀπειρεσίοιο πίθου κρήδεμνον ἀνεῖσα,
χρυσείῳ προχέουσα κρόκῳ κεκερασμένον οἶνον,
γαῖαν ἀνεκνίσσωσε χυτὴν εὐωδέϊ πηλῷ.
ἀνδρομέῃ δὲ βοῇ συνεβάλλετο θῆλυς ἰωή,
καὶ παίδων ἀλαλητὸς ἐμίσγετο γήραος ἠχῇ.
οἷαι δ' ἀφνειοῖο μετήλυδες ὠκεανοῖο
χείματος ἀμφίπολοι, γεράνων στίχες ἠεροφώνων,
κύκλον ἐποχμεύουσιν ἀλήμονος ὀρχηθμοῖο
γειοπόνοις ἀρότῃσιν ἀπεχθέα κεκληγυῖαι·
ὣς οἵγε κλαγγῇ τε δι' ἄστεος ἠδὲ κυδοιμῷ
ἦγον ἐς ἀκρόπολιν βεβαρημένον ἔνδοθεν ἵππον.
κούρη δὲ Πριάμοιο θεήλατος οὐκέτι μίμνειν
ἤθελεν ἐν θαλάμοισι· διαῤῥήξασα δ' ὀχῆας
ἔδραμεν, ἠΰτε πόρτις ἀήσυρος, ἥν τε τυπεῖσαν
κέντρον ἀνεπτοίησε βοοῤῥαίσταο μύωπος.
ἡ δ' οὔτ' εἰς ἀγέλην ποτιδέρκεται, οὔτε βοτῆρι
πείθεται, οὐδὲ νομοῖο λιλαίεται, ἀλλὰ βελέμνῳ
ὀξέϊ θηγομένη βοέων ἐξήλυθε δεσμῶν·
τοίη μαντιπόλοιο βολῆς ὕπο νύγματι κούρη
πλαζομένη κραδίην ἱερὴν ἀνεσείετο δάφνην.
πάντη δὲ βρυχᾶτο κατὰ πτόλιν· οὐδὲ τοκήων,
οὐδὲ ἄλλων ἀλέγιζε· λίπεν δέ ἑ παρθένος αἰδώς.

οὐχ οὕτω Θρήϊσσαν ἐνὶ δρυμοῖσι γυναῖκα
νήδυμος αὐλὸς ἔτυψεν ὀρειμανέος Διονύσου,
ἥ τε θεῷ πληγεῖσα παρήορον ὄμμα τιταίνει,
γυμνὸν ἐπισσείουσα κάρη κυανάμπυκι κισσῷ·
ὣς ἥγε πτερόεντος ἀναΐξασα νόοιο
Κασσάνδρη θεόφοιτος ἐμαίνετο· πυκνὰ δὲ χαίτην
κοπτομένη καὶ στέρνον ἀνίαχε μαινάδι φωνῇ·
  Ὦ μέλεοι, τίνα τοῦτον ἀνάρσιον ἵππον ἄγοντες
δαιμόνιοι μαίνεσθε καὶ ὑστατίην ἐπὶ νύκτα
σπεύδετε, καὶ πολέμοιο πέρας καὶ νήγρετον ὕπνον;
δυςμενέων ὅδε κῶμος ἀρήϊος· αἱ δέ που ἤδη
τίκτουσιν μογερῆς Ἑκάβης ὠδῖνες ὀνείρων·
λήγει δ' ἀμβολιεργὸν ἔτος, πολέμοιο λυθέντος.
τοῖος ἀριστήων λόχος ἔρχεται, οὓς ἐπὶ χάρμην
τεύχεσιν ἀστράπτοντας ἀμαυροτάτην ὑπὸ νύκτα
τέξεται ὄβριμος ἵππος· ἐπὶ χθόνα δ' ἄρτι θορόντες
ἐς μόθον ὁρμήσουσι τελειότατοι πολεμισταί.
οὐ γὰρ ὑπ' ὠδίνεσσι μογοστόκον ἵππον ἀνεῖσαι,
ἀνδράσι τικτομένοισιν ἐπισχήσουσι γυναῖκες·
αὐτὴ δ' Εἰλείθυια γενήσεται ἥ μιν ἔτευξεν·
γαστέρα δὲ πλήθουσαν ἀνακλίνασα βοήσει
μαῖα πολυκλαύτοιο τόκου πτολίπορθος Ἀθήνη.
καὶ δὴ πορφύρεον μὲν ἑλίσσεται ἔνδοθι πύργων
αἵματος ἐκχυμένου πέλαγος καὶ κῦμα φόνοιο·
δεσμά τε συμπαθέων πλέκεται περὶ χερσὶ γυναικῶν
νυμφία· φωλεύει δ' ὑπὸ δούρασι κευθόμενον πῦρ.
ὤ μοι ἐμῶν ἀχέων, ὤ μοι σέο, πάτριον ἄστυ·
αὐτίκα μοι λεπτὴ κόνις ἔσσεαι· οἴχεται ἔργον
ἀθανάτων, προθέλυμνα θεμείλια Λαομέδοντος·

καὶ σὲ πάτερ καὶ μῆτερ ὀδύρομαι, οἷά μοι ἤδη
ἀμφότεροι πείσεσθε· σὺ μὲν, πάτερ, οἰκτρὰ δεδουπώς,
κείσεαι Ἑρκείοιο Διὸς μεγάλου παρὰ βωμῷ·
μῆτερ ἀριστοτόκεια, σὲ δὲ βροτέης ἀπὸ μορφῆς
λυσσαλέην ἐπὶ παισὶ θεοὶ κύνα ποιήσουσιν.
δῖα Πολυξείνη, σὲ δὲ πατρίδος ἐγγύθι γαίης
κεκλιμένην ὀλίγον δακρύσομαι· ὡς ὄφελέν τις
Ἀργείων ἐπὶ σοῖσι γόοις ὀλέσαι με καὶ αὐτήν.
τίς γάρ μοι χρειὼ βιότου πλέον, εἴ με φυλάσσει
οἰκτροτέρῳ θανάτῳ, ξείνη δέ με γαῖα καλύψει;
τοιάδ᾽ ἐμοὶ δέσποινα καὶ αὐτῷ δῶρα ἄνακτι
ἀντὶ τόσων καμάτων Ἀγαμέμνονι πότμον ὑφαίνει.
ἀλλ᾽ ἤδη φράζεσθε, τά τε γνώσεσθε παθόντες,
καὶ νεφέλην ἀπόθεσθε, φίλοι, βλαψίφρονος ἄτης.
ῥηγνύσθω πελέκεσσι δέμας πολυχανδέος ἵππου,
ἢ πυρὶ καιέσθω· δολόεντα δὲ σώματα κεύθων
ὀλλύσθω, μεγάλη δὲ ποθὴ Δαναοῖσι γενέσθω.
καὶ τότε μοι δαίνυσθε καὶ ἐς χορὸν ὀτρύνεσθε,
στησάμενοι κρητῆρας ἐλευθερίης ἐρατεινῆς.
Ἡ μὲν ἔφη· τῇ δ᾽ οὔτις ἐπείθετο· τὴν γὰρ Ἀπόλλων
ἀμφότερον μάντιν τ᾽ ἀγαθὴν καὶ ἄπιστον ἔθηκεν.
τὴν δὲ πατὴρ ἐνένισπεν ὁμοκλήσας ἐπέεσσιν·
Τίς σε πάλιν, κακόμαντι, δυςώνυμος ἤγαγε δαίμων,
θαρσαλέη κυνόμυια; μάτην ὑλάουσ᾽ ἀπερύκεις.
οὔπω σοι κέκμηκε νόος λυσσώδεϊ νούσῳ,
οὐδὲ παλιμφήμων ἐκορέσσατο λαβροσυνάων,

ἀλλὰ καὶ ἡμετέρῃσιν ἐπαχνυμένη θαλίῃσιν
ἤλυθες, ὁππότε πᾶσιν ἐλεύθερον ἦμαρ ἀνῆψεν
ἡμῖν Ζεὺς Κρονίδης, ἐκέδασσε δὲ νῆας Ἀχαιῶν;
οὐδ' ἔτι δούρατα μακρὰ τινάσσεται· οὐδ' ἔτι τόξα
ἕλκεται· οὐ ξιφέων σαλέη· σιγῶσι δ' ὀϊστοί.
ἀλλὰ χοροὶ καὶ μοῦσα μελίπνοος· οὐδ' ἔπι νείκη.
οὐ μήτηρ ἐπὶ παιδὶ κινύρεται, ουδ' ἐπὶ δῆριν
ἄνδρα γυνὴ πέμψασα νέκυν δακρύσατο χήρη.
ἵππον ἀνελκόμενον δέχεται πολιοῦχος Ἀθήνη.
παρθένε τολμήεσσα, σὺ δὲ πρὸ δόμοιο θοροῦσα,
ψεύδεα θεσπίζουσα καὶ ἄγρια μαργαίνουσα,
μοχθίζεις ἀτέλεστα καὶ ἱερὸν ἄστυ μιαίνεις.
ἔῤῥ' οὕτως· ἡμῖν δὲ χοροὶ θαλίαι τε μέλονται.
οὐ γὰρ ἔτι Τροίης ὑπὸ τείχεσι δεῖμα λέλειπται,
οὐδ' ἔτι μαντιπόλοιο τεῆς κεχρήμεθα φωνῆς.
Ὣς εἰπὼν ἐκέλευσεν ἄγειν ἑτερόφρονα κούρην
κευθμὸν ἔσω θαλάμοιο· μόγις δ' ἀέκουσα τοκῆϊ
πείθετο· παρθενίῳ δὲ περὶ κλιντῆρι πεσοῦσα,
κλαῖεν, ἐπισταμένη τὸν ἑὸν μόρον· ἔβλεπε δ' ἤδη
πατρίδος αἰθομένης ἐπὶ τείχεσι μαρνάμενον πῦρ.
οἱ δέ, πολισσούχοιο θεῆς ὑπὸ νηὸν Ἀθήνης
ἵππον ἀναστήσαντες ἐϋξέστων ἐπὶ βάθρων,
ἔφλεγον ἱερὰ καλὰ πολυκνίσσων ἐπὶ βωμῶν·
ἀθάνατοι δ' ἀνένευον ἀνηνύστους ἑκατόμβας.
εἰλαπίνη δ' ἐπίδημος ἔην καὶ ἀμήχανος ὕβρις,
ὕβρις ἐλαφρίζουσα μέθην λυσήνορος οἴνου,
ἀφραδίῃ τε βέβυστο, μεθημοσύνῃ τε κεχήνει
πᾶσα πόλις· πυλέων δ' ὀλίγοις φυλάκεσσι μεμήλει·
ἤδη γὰρ καὶ φέγγος ἐδύετο· δαιμονίη δέ

Ἴλιον αἰπεινὴν ὀλεσίπτολις ἀμφέβαλεν νύξ.
Ἀργείη δ' Ἑλένη πολιὸν δέμας ἀσκήσασα,
ἦλθε δολοφρονέουσα πολυφράδμων Ἀφροδίτη,
ἐκ δὲ καλεσσαμένη προσέφη πειθήμονι φωνῇ·
Νύμφα φίλη, καλέει σε πόσις Μενέλαος ἀγήνωρ,
ἵππῳ δουρατέῳ κεκαλυμμένος· ἀμφὶ δ' Ἀχαιῶν
ἡγεμόνες λοχόωσι τεῶν μνηστῆρες ἀέθλων.
ἀλλ' ἴθι, μηδέ τί τοι μελέτω Πριάμοιο γέροντος,
μήτ' ἄλλων Τρώων, μήτ' αὐτοῦ Δηϊφόβοιο·
ἤδη γάρ σε δίδωμι πολυτλήτῳ Μενελάῳ.
Ὣς φαμένη θεὸς αὖθις ἀνέδραμεν· ἡ δέ, δόλοισι
θελγομένη κραδίην, θάλαμον λίπε κηώεντα·
καί οἱ Δηΐφοβος πόσις εἵπετο· τὴν δὲ κιοῦσαν
Τρῳάδες ἑλκεχίτωνες ἐθηήσαντο γυναῖκες.
ἡ δ' ὁπόθ' ὑψιμέλαθρον ἐς ἱερὸν ἦλθεν Ἀθήνης,
ἔστη παπταίνουσα φυὴν εὐήνορος ἵππου.
τρὶς δὲ περιστείχουσα καὶ Ἀργείους ἐρέθουσα,
πάσας ἠϋκόμους ἀλόχους ὀνόμαζεν Ἀχαιῶν
φωνῇ λεπταλέῃ· τοὶ δ' ἔνδοθι θυμὸν ἄμυσσον
ἀλγεινοὶ κατέχοντες ἐελμένα δάκρυα σιγῇ.
ἔστενε μὲν Μενέλαος, ἐπεὶ κλύε Τυνδαρεώνης,
κλαῖε δὲ Τυδείδης μεμνημένος Αἰγιαλείης,
οὔνομα δ' ἐπτοίησεν Ὀδυσσέα Πηνελοπείης.
Ἄντικλος δ', ὅτε κέντρον ἐδέξατο Λαοδαμείης,
μοῦνος ἀμοιβαίην ἀνεβάλλετο γῆρυν ἀνοίξας·
ἀλλ' Ὀδυσεὺς κατεπᾶλτο καὶ ἀμφοτέραις παλάμῃσιν
ἀμφιπεσὼν ἐπίεζεν ἐπειγόμενον στόμα λῦσαι·
μάστακα δ' ἀῤῥήκτοισιν ἀλυκτοπέδῃσι μεμαρπώς,
εἶχεν ἐπικρατέως· ὁ δ' ἐπάλλετο χερσὶ πιεσθείς,

φεύγων ἀνδροφόνοιο πελώρια δεσμὰ σιωπῆς.
καὶ τὸν μὲν λίπεν ἆσθμα φερέσβιον· οἱ δέ μιν ἄλλοι
δάκρυσι λαθριδίοισιν ἐπικλαύσαντες Ἀχαιοὶ
κοῖλον ὑποκρύψαντες ἐς ἰσχίον ἔνθεσαν ἵππου,
καὶ χλαῖναν μελέεσσιν ἐπὶ ψυχροῖσι βαλόντες.
καί νύ κεν ἄλλον ἔθελγε γυνὴ δολόμητις Ἀχαιῶν,
εἰ μή οἱ βλοσυρῶπις ἀπ᾽ αἰθέρος ἀντήσασα
Παλλὰς ἐπηπείλησε, φίλου δ᾽ ἐξήγαγε νηοῦ,
μούνη φαινομένη, στερεῇ δ᾽ ἀπεπέμψατο φωνῇ
Δειλαίη, τέο μέχρις ἀλιτροσύναι σε φέρουσι,
καὶ πόθος ἀλλοτρίων λεχέων καὶ Κύπριδος ἄτη;
οὔπω δ᾽ οἰκτείρεις πρότερον πόσιν, οὐδὲ θύγατρα
Ἑρμιόνην ποθέεις; ἔτι δὲ Τρώεσσιν ἀρήγεις;
χάζεο, καὶ θαλάμων ὑπερώϊον εἰσαναβᾶσα
σὺν πυρὶ μειλιχίῳ ποτιδέχνυσο νῆας Ἀχαιῶν.
Ὣς φαμένη κενεὴν ἀπάτην ἐκέδασσε γυναικός.
καὶ τὴν μὲν θάλαμόνδε πόδες φέρον· οἱ δέ, χοροῖο
παυσάμενοι, καμάτῳ ἀδδηκότες, ἤριπον ὕπνῳ.
καὶ δή που φόρμιγξ ἀνεπαύσατο, κεῖτο δὲ κάμνων
αὐλὸς ἐπὶ κρητῆρι· κύπελλα δὲ πολλὰ χυθέντα
αὐτομάτως ῥείεσκε καθελκομένων ἀπὸ χειρῶν.
ἡσυχίη δὲ πόλιν κατεβόσκετο νυκτὸς ἑταίρη·
οὐδ᾽ ὑλακὴ σκυλάκων ἠκούετο· πᾶσα δὲ σιγῇ
εἱστήκει καλέουσα φόνον πνείουσαν ἀϋτήν.
ἤδη δὲ Τρώεσσιν ὀλέθριον εἷλκε τάλαντον
Ζεὺς ταμίης πολέμοιο, μόγις δ᾽ ἐλέλιξεν Ἀχαιούς
χάζετο δ᾽ Ἰλιόθεν Λυκίης ἐπὶ πίονα νηὸν
ἀχνύμενος μεγάλοις ἐπὶ τείχεσι, Φοῖβος Ἀπόλλων
αὐτίκα δ᾽ Ἀργείοισιν Ἀχιλλῆος παρὰ τύμβον

ἀγγελίην ἀνέφαινε Σίνων εὐφεγγέϊ δαλῷ.
παννυχίη δ' ἑτάροισιν ὑπὲρ θαλάμοιο καὶ αὐτὴ
εὐειδὴς Ἑλένη χρυσέην ἐπεδείκνυτο πεύκην.
ὡς δ' ὁπότε πλήθουσα πυρὸς γλαυκοῖο σελήνη
οὐρανὸν αἰγλήεντα κατεχρύσωσε προσώπῳ·
οὐχ ὅτε που γλωχῖνας ἀποξύνουσα κεραίης
πρωτοφαὴς ὑπὸ μηνὸς ἀνίσταται ἄσκιον ἀχλύν,
ἀλλ' ὅτε κυκλώσασα περίτροχον ὄμματος αὐγὴν
ἀντιτύπους ἀκτῖνας ἐφέλκεται ἠελίοιο·
τοίη μαρμαίρουσα Θεραπναίη τότε νύμφη
οἴνοπα πῆχυν ἀνεῖλκε φίλου πυρὸς ἡνιοχῆα.
οἱ δὲ σέλας πυρσοῖο μετήορον ἀθρήσαντες
νῆας ἀνεκρούσαντο παλιγνάμπτοισι κελεύθοις
Ἀργεῖοι σπεύδοντες· ἅπας δ' ἠπείγετο ναύτης,
δηναίου πολέμοιο τέλος διζήμενος εὑρεῖν.
οἱ δ' αὐτοὶ πλωτῆρες ἔσαν κρατεροί τε μαχηταί,
ἀλλήλοις τ' ἐκέλευον ἐλαυνέμεν· αἱ δ' ἄρα νῆες,
ὠκύτεραι κραιπνῶν ἀνέμων ταχυπειθέϊ ῥιπῇ,
Ἴλιον εἰςανάγοντο Ποσειδάωνος ἀρωγῇ.
ἐνθάδε δὴ πεζοὶ πρότεροι κίον· οἱ δέ τ' ἔλειφθεν
ἱππῆες κατόπισθεν, ὅπως μὴ Τρώϊον ἵπποι
λαὸν ἀναστήσωσιν ἀειρομένῳ χρεμετισμῷ.
οἱ δ' ἕτεροι γλαφυρῆς ἀπὸ γαστέρος ἔῤῥεον ἵππου
τευχησταὶ βασιλῆες· ἀπὸ δρυὸς οἷα μέλισσαι,
αἵτ' ἐπεὶ οὖν ἔκυμον πολυχανδέος ἔνδοθι σίμβλον,
κηρὸν ὑφαίνουσαι μελιηδέα ποικιλοτέχναι,
ἐς νομὸν εὐγυάλοιο καὶ ἄνθεσιν ἀμφιχυθεῖσαι*
νύγμασι πημαίνουσι παραστείχοντας ὁδίτας·
ὣς Δαναοί, κρυφίοιο λόχου κληῗδας ἀνέντες,

θρῶσκον ἐπὶ Τρώεσσι, καὶ εἰςέτι κοῖτον ἔχοντας
χαλκείου θανάτοιο κακοῖς ἐκάλυψαν ὀνείροις.
νήχετο δ᾽ αἵματι γαῖα· βοὴ δ᾽ ἄλληκτος ὀρώρει
Τρώων φευγόντων· ἐστείνετο δ᾽ Ἴλιος ἱρὴ
πιπτόντων νεκύων· τοὶ δ᾽ ἀνδροφόνῳ κολοσυρτῷ
εὔζονοι * ἔνθα καὶ ἔνθα μεμηνότες οἷα λέοντες,
σώμασιν ἀρτιφάτοισι γεφυρώσαντες ἀγυιάς.
Τρωϊάδες δὲ γυναῖκες ὑπὲρ τεγέων ἀΐουσαι,
αἳ μὲν ἐλευθερίης ἐρατῆς ἔτι διψώουσαι
αὐχένας ἐς θάνατον δειλοῖς ἐπέβαλλον ἀκοίταις·
αἳ δὲ φίλοις ἐπὶ παισί, χελιδόνες οἷά τε κοῦφαι,
μητέρες ὠδύροντο· νέη δέ τις ἀσπαίροντα
ἠΐθεον κλαύσασα θανεῖν ἔσπευδε καὶ αὐτή.
οὐδὲ δορυκτήτοισιν ὁμοῦ δεσμοῖσιν ἕπεσθαι
ἤθελεν, ἀλλ᾽ ἐχόλωσε καὶ οὐκ ἐθέλοντα φονῆα,
καὶ ξυνὸν λέχος ἔσχεν ὀφειλομένῳ παρακοίτῃ.
πολλαὶ δ᾽ ἠλιτόμηνα καὶ ἄπνοα τέκνα φοροῦσαι,
γαστέρος ὠμοτόκοιο χύδην ὠδῖνα μεθεῖσαι,
ῥιγεδανῶς σὺν παισὶν ἀπεψύχοντο καὶ αὐταί.
παννυχίη δ᾽ ἐχόρευσεν ἀνὰ πτόλιν, οἷα θύελλα,
κύμασι παφλάζουσα πολυφλοίσβου πολέμοιο,
αἵματος ἀκρήτοιο μέθης ἐπίκωμος Ἐνυώ.
σὺν δ᾽ Ἔρις οὐρανόμηκες ἀναστήσασα κάρηνον,
Ἀργείους ὀρόθυνεν· ἐπεὶ καὶ φοίνιος Ἄρης
ὀψὲ μὲν ἀλλὰ καὶ ὧς πολέμων ἑτεραλκέα νίκην
ἦλθε φέρων Δαναοῖσι καὶ ἀλλοπρόςαλλον ἀρωγή
ἴαχε δὲ γλαυκῶπις ἐπ᾽ ἀκροπόληος Ἀθήνη,
αἰγίδα κινήσασα Διὸς σάκος· ἔτρεμε δ᾽ αἰθήρ,
Ἥρης σπερχομένης· ἐπὶ δ᾽ ἔβραχε γαῖα βαρεῖα

παλλομένη τριόδοντι Ποσειδάωνος ἀκωκῇ·
ἔφριξεν δ᾽ Ἀΐδης, χθονίων δ᾽ ἐξέδραμε θώκων,
ταρβήσας μή πού τι, Διὸς μέγα χωσαμένοιο,
πᾶν γένος ἀνθρώπων κατάγῃ ψυχοστόλος Ἑρμῆς.
πάντα δ᾽ ὁμοῦ κεκύκητο, φόνος δέ τις ἄκριτος ἦεν.
τοὺς μὲν γὰρ φεύγοντας ἐπὶ Σκαιῇσι πύλῃσι
κτεῖνον ἐφεστηῶτες· ὁ δ᾽ ἐξ εὐνῆς ἀνορούσας,
τεύχεα μαστεύων, δνοφερῇ περικάππεσεν αἰχμῇ.
καί τις ὑπὸ σκιόεντι δόμῳ κεκρυμμένος ἀνὴρ,
ξεῖνος ἐὼν, ἐκάλεσσεν, ὀϊόμενος φίλον εἶναι·
νήπιος, οὐ μὲν ἔμελλεν ἐνηέϊ φωτὶ μιγῆναι,
ξείνια δ᾽ ἐχθρὰ κόμισσεν· ὑπὲρ τέγεος δέ τις ἄλλος
μήπω παπταίνων τι θοῷ διέπιπτεν ὀϊστῷ.
καί τινες, ἀλγεινῷ κραδίην βεβαρηότες οἴνῳ,
ἐκπλαγέες ποτὶ δοῦπον, ἐπειγόμενοι καταβῆναι,
κλίμακος ἐξελάθοντο, καθ᾽ ὑψηλῶν τε μελάθρων
ἔκπεσον ἀγνώσσοντες, ἐπαυχενίους δὲ λυθέντες
ἀστραγάλους ἐάγησαν· ὁμοῦ δ᾽ ἐξήρυγον οἶνον.
πολλοὶ δ᾽ εἰς ἕνα χῶρον ἀολλέες ἐκτείνοντο
μαρνάμενοι· πολλοὶ δὲ διωκόμενοι κατὰ πύργων
ἤριπον εἰς Ἀΐδαο, πανύστατον ἅλμα θορόντες.
παῦροι δὲ στεινῆς διὰ κοιλάδος, οἷά τε φῶρες,
πατρίδος ὀλλυμένης ἔλαθον χειμῶνα φυγόντες.
οἱ δ᾽ ἔνδον πολέμῳ τε καὶ ἀχλύϊ κυμαίνοντες,
ἀνδράσιν οἰχομένοισι καὶ οὐ φεύγουσιν ὁμοῖοι,
πίπτον ἐπ᾽ ἀλλήλοισι· πόλις δ᾽ οὐ χάνδανε λύθρον,
ἀνδρῶν χηρεύουσα περιπλήθουσά τε νεκρῶν.
οὐδέ τι φειδωλή τις ἐγίγνετο· φοιταλέῃ δὲ
σπερχόμενοι μάστιγι φιλαγρύπνοιο κυδοιμοῦ,

οὐδὲ θεῶν ὄπιν εἶχον ἀθεσμοτάτης ὑπὸ ῥιπῆς,
ἀθανάτων δ' ἔχραινον ἀπενθέας αἵματι βωμούς.
οἰκτρότατοι δὲ γέροντες ἀτιμοτάτοισι φόνοισιν
οὐδ' ὀρθοὶ κτείνοντο, χαμαὶ δ' ἱκετήσια γυῖα
τεινάμενοι πολιοῖσι κατεκλίνοντο κάρησιν.
πολλὰ δὲ νήπια τέκνα μινυνθαδίων ἀπὸ μαζῶν
μητέρος ἡρπάζοντο, καὶ οὐ νοέοντα τοκήων
ἀμπλακίας ἀπέτινον· ἀνημέλκτου δὲ γάλακτος
παιδὶ μάτην ὀρέγουσα χοὰς ἐκόμισσε τιθήνη.
οἰωνοί τε κύνες τε κατὰ πτόλιν ἄλλοθεν ἄλλοι
ἠέριοι πεζοί τε συνέστιοι εἰλαπινασταί,
αἷμα μέλαν πίνοντες, ἀμείλιχον εἶχον ἐδωδήν.
καὶ τῶν μὲν κλαγγῇ φόνον ἔπνεεν· οἱ δ' ὑλάοντες
ἄγρια κοπτομένοισιν ἐπ' ἀνδράσιν ὠρύοντο,
νηλέες, οὐδ' ἀλέγιζον ἑοὺς ἐρύοντες ἄνακτας.
τὼ δὲ γυναιμανέος ποτὶ δώματα Δηϊφόβοιο
στελλέσθην Ὀδυσεύς τε καὶ εὐχαίτης Μενέλαος,
καρχαρέοισι λύκοισιν ἐοικότες, οἵθ' ὑπὸ νύκτα
χειμερίην φονόωντες ἀσημάντοις ἐπὶ μήλοις
οἴχονται, κάματον δὲ κατατρύχουσι νομήων.
ἔνθα δύω περ ἐόντες ἀπειρεσίοισιν ἔμιχθεν
ἀνδράσι δυσμενέεσσι· νέη δ' ἠγείρετο χάρμη,
τῶν μὲν ἐπορνυμένων, τῶν δ' ὑψόθεν ἐκ θαλάμοιο
βαλλόντων λιθάκεσσι καὶ ὠκυμόροισιν ὀϊστοῖς.
ἀλλὰ καὶ ὣς ὑπέροπλα καρήατα πυργώσαντες
ἀῤῥήκτοις κορύθεσσι, καὶ ἀσπίσι κυκλώσαντες,
εἰσέθορον μέγα δῶμα· καὶ ἀντίβιον μὲν ὅμιλον
θῆρας δειμαλέους ἐλάων ἐδάϊξεν Ὀδυσσεύς. *
Ἀτρείδης δ' ἑτέρωθεν ὑποπτήξαντα διώξας

Δηΐφοβον κατέμαρψε, μέσην κατὰ γαστέρα τύψας,
ἧπαρ ὀλισθηρῇσι συνεξέχεεν χολάδεσσιν.
ὣς ὁ μὲν αὐτόθι κεῖτο λελασμένος ἱπποσυνάων.
τῷ δ' ἕπετο τρομέουσα δορυκτήτη παράκοιτις,
ἄλλοτε μὲν χαίρουσα κακῶν ἐπὶ τέρμασι μόχθων,
ἄλλοτε δ' αἰδομένη· τότε δ' ὀψέ περ ὡς ἐν ὀνείρῳ
λαθρίδιον στενάχουσα φίλης μιμνήσκετο πάτρης.
Αἰακίδης δὲ γέροντα Νεοπτόλεμος βασιλῆα
πήμασι κεκμηῶτα παρ' Ἑρκείῳ κτάνε βωμῷ,
οἶκτον ἀπωσάμενος πατρώϊον· οὐδὲ λιτάων
ἔκλυεν, οὗ Πηλῆος ὁρώμενος ἥλικα χαίτην
* ᾐδέσθ', ἧς ὕπο θυμὸν ἀπέκλασεν, ἠδὲ γέροντος,
καίπερ ἐὼν βαρύμηνις, ἐφείσατο τοπρὶν Ἀχιλλεύς.
σχέτλιος, ἦ μὲν ἔμελλε καὶ αὐτῷ πότμος ὁμοῖος
ἔσσεσθαι παρὰ βωμὸν ἀλαθέος Ἀπόλλωνος,
ὕστερον, ὁππότε μιν, ζαθέου δηλήμονα νηοῦ,
Δελφὸς ἀνὴρ ἐλάσας ἱερῇ κατέπεφνε μαχαίρῃ.
ἡ δὲ κυβιστήσαντα διηερίων ἀπὸ πύργων
χειρὸς Ὀδυσσείης ὀλοὸν βέλος ἀθρήσασα,
Ἀνδρομάχη, μινύωρον ἐκώκυεν Ἀστυάνακτα.
Κασσάνδρην δ' ᾔσχυνεν Ὀϊλῆος ταχὺς Αἴας,
Παλλάδος ἀχράντοιο θεῆς ὑπὸ γοῦνα πεσοῦσαν.
ἡ δὲ βίην ἀνένευσε καὶ ἡ, τοπρόσθεν ἀρηγών,
ἀνθ' ἑνὸς Ἀργείοισιν ἐχώσατο πᾶσιν Ἀθήνη.
Αἰνείαν δ' ἔκλεψε καὶ Ἀγχίσην Ἀφροδίτη,
οἰκτείρουσα γέροντα καὶ υἱέα, τῆλε δὲ πάτρης
Αὐσονίην ἀπένασσε· θεῶν δ' ἐτελείετο βουλή,
Ζηνὸς ἐπαινήσαντος, ἵνα κράτος ἄφθιτον εἴη
παισὶ καὶ υἱωνοῖσιν ἀρηϊφίλης Ἀφροδίτης.

τέκνα δὲ καὶ γενεὴν Ἀντήνορος ἀντιθέοιο
Ἀτρείδης ἐφύλαξε, φιλοξείνοιο γέροντος
μειλιχίης προτέρης τίνων χάριν, ἠδὲ τραπέζης
κείνης, ᾗ μιν ἔδεκτο γυνὴ πρηεῖα Θεανώ.
δειλὴ Λαοδίκη, σὲ δὲ πατρίδος ἐγγύθι γαίης
γαῖα περιπτύξασα κεχηνότι δέξατο κόλπῳ·
οὐδέ σε Θησείδης Ἀκάμας, οὐδ' ἄλλος Ἀχαιῶν
ἤγαγε ληϊδίην· ἔθανες δ' ἅμα πατρίδι γαίῃ.
Πᾶσαν δ' οὐκ ἂν ἔγωγε μόθου χύσιν ἀείσαιμι,
κρινάμενος τὰ ἕκαστα καὶ ἄλγεα νυκτὸς ἐκείνης·
Μουσάων ὅδε μόχθος· ἐγὼ δ' ἅπερ ἵππον ἐλάσσω
τέρματος ἀμφιέλισσαν ἐπιψαύουσαν ἀοιδήν.
ἄρτι γὰρ ἀντολίηθεν ἀπόσσυτος ὠκεανοῖο
ἠρέμα λευκαίνουσα κατέγραφεν ἠέρα πολλήν,
νύκτα διαῤῥήξασα μιαιφόνον, ἱππότις Ἠώς·
οἱ δ' ἐπαγαλλόμενοι πολέμου ὑπεραυχέϊ νίκῃ
πάντοσε παπταίνεσκον ἀνὰ πτόλιν, εἴ τινες ἄλλοι
κευθόμενοι φεύγουσι φόνου πανδήμιον ἄτην.
ἀλλ' οἱ μὲν δέδμηντο λίνῳ θανάτοιο πανάγρῳ,
ἰχθύες ὡς ἁλίῃσιν ἐνὶ ψαμάθοισι χυθέντες.
Ἀργεῖοι δ' ἀπὸ μὲν μεγάρων νεοτευχέα κόσμον
ἐξέφερον, νηῶν ἀναθήματα, πολλὰ δ' ἐρήμων
ἥρπαζον θαλάμων κειμήλια· σὺν δὲ γυναῖκας
ληϊδίας σὺν παισὶν ἄγον ποτὶ νῆας ἀνάγκῃ.
τείχεσι δὲ πτολίπορθον ἐπὶ φλόγα θωρήξαντες,
ἔργα Ποσειδάωνος ἴῃ συνέχευον ἀϋτμῇ.
αὐτοῦ καὶ μέγα σῆμα φίλοις ἀστοῖσιν ἐτύχθη
Ἴλιος αἰθαλόεσσα· πυρὸς δ' ὀλεσίπτολιν ἄτην
Ξάνθος ἰδὼν ἔκλαυσε γόων ἁλιμυρέϊ πηγῇ,

Ἡφαίστῳ δ' ὑπόεικεν ἀτυζόμενος χόλον Ἥρης.
οἱ δὲ Πολυξείνης ἐπιτύμβιον αἷμα χέαντες . . .
μῆνιν ἱλασάμενοι τεθνειότος Αἰακίδαο.
Τρωϊάδας δὲ γυναῖκας ἐλάγχανον, ἄλλά τε πάντα
χρυσὸν ἐμοιρήσαντο καὶ ἄργυρον· οἷσι βαθείας
νῆας ἐπαχθήσαντες ἐριγδούπου διὰ πόντου
ἐκ Τροίης ἀνάγοντο μόθον τελέσαντες Ἀχαιοί.

# ᾿ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

# ΤΑ ΠΡΟ ῾ΟΜΗΡΟΥ

# ΤΑ ΚΑΘ ῾ΟΜΗΡΟΝ

ΚΑΙ

# ΤΑ ΜΕΘ ῾ΟΜΗΡΟΝ.

## ἸΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

# ΤΑ ΠΡΟ ὉΜΗΡΟΥ.

Ἀργαλέου πολέμοιο κακὸν πόνον Ἰλιακοῖο
Ἔννεπε, Καλλιόπεια, ὑφ᾽ ἡμετέρῃσιν ἀοιδαῖς·
Ἀρχῆθε δ᾽ ἐπάειδε καὶ ἐς τέλος ἐξερέεινε,
Ἐξ ὅτε ὁ Πρίαμος λοιγὸν Τρώεσσι φυτεύει
Δύσπαριν οὐλόμενον, ἀρχὴν πολέμοιο κακοῖο,
Τὸν νόος οὐκ ἐρέεινεν Ὁμήρου κυδαλίμοιο.
Ἔννεπε δ᾽ Ἀργείης Ἑλένης ἐρόεσσαν ὀπωπὴν,
Πῶς τέ μιν ἦγεν Ἀλέξανδρος Σπαρτῆθε Τροΐην.
Ἔννεπε δὲ πλόον Ἑλλήνων καὶ νῆας ἁπάσας·
Εἰπὲ δὲ Πηλείδαο κότον καὶ ὄλεθρον Ἀχαιῶν,
Σαρπηδόντος Πατρόκλου τε καὶ Ἕκτορος οἶτον·
Εἰπὲ δὲ Πενθεσίλειαν, κούρην ἀντιάνειραν.
Ἔννεπε δ᾽ Αἰθιόπων στρατὸν, υἱέα τ᾽ Ἠριγενείης.
Φράζεο δ᾽ Αἰακίδαο πότμον δακρυόεντα·
Εὐρύπυλόν τε ἄειδε καὶ υἱέα Αἰακίδαο·
Μαντείας δ᾽ Ἑλένου, καὶ Ἀλεξάνδροιο φονῆα.
Εἰπὲ δὲ καὶ πτολίπορθον Ἐπείου δούρεον ἵππον,
Εἴσοκεν ἠΐστωσε πελώρια τείχεα Τροίης.
Ταῦτά μοι εὐπατέρεια, Διὸς τέκος, ἔννεπε Μοῦσα.
Ἤτοι μὲν Τροίη πολέμοις προτέροις μογέεσκε.

Πέρσε γὰρ αὐτὴν Ἡρακλέος μένος ἀγριοθύμου·
Δουρὶ δ' αὖ Σκυθόμητρες ἐπέδραμον εἶτα γυναῖκε
Θυγατέρες Ἄρηος, Ἀμάζονες ἀγκυλότοξοι·
Αὐτὰρ ἐπεὶ παύσαντο χερῶν ἀγέρωχοι ἐρωαὶ,
Ἄρεας αἱματόεντας ἐπ' ἀλλήλοις προφέρουσαι·
Τρῶες, ἀναπνεύσαντες ἀπὸ πτολέμου κρυεροῖο,
Γαίης ἔργα νέμοντο παρ' εἰρήνῃ κομόωντες.
Οὐδ' ἄρα μὴν τάδε Μοίραις ἥνδανε χαλκεομήτοις.
Ἄλλα γὰρ αὖθις μέρμερα Τρωσὶ μητιόωντο.
Τόφρα γὰρ οὖν τέρποντο παρ' εἰρήνῃ κομόωντες,
Εἴσοκεν οὔνομα λυγρὸν ἀπ' αὐτόφιν ἔπλετο Πάρις.
Αὐτὰρ ἐπεὶ Μοῖραι στιβαροὺς κλώσαντο ἀτράκτους,
Τοὶ γαῖαν κλονέουσι καὶ οὐρανὸν ἠδὲ θάλασσαν.
Εἶξαν δ' ἀτράκτοισι θεοὶ μεδέοντες Ὀλύμπου·
Φαίνων ἠδὲ Ζῆν καὶ Ἄρης καὶ φοῖβος Ἀπόλλων,
Ἀφροδίτη, Ἑρμῆς τε, καὶ Ἄρτεμις ἀγλαόμορφος,
Ἠδ' ἄλλοι δυοκαίδεκα, τρίς τε δέκα καὶ ὄκτω.
Καὶ τότε δὴ Τρώεσσιν ἐτεύχετο πήματος ἀρχὴ,
Αὐτίκα γὰρ Πριάμῳ βασιλῆϊ κύεσκεν Ἑκάβη.
Πρῶτα δὲ τὴν στροβέεσκον ὄνειροι ἠεροφοῖτοι.
Γρυνὸν γὰρ πυρόεντα τεκεῖν δοκέεσκεν ὀνείροις,
Ὅς πρῆσε Τροίην τε καὶ ἄστεα Τρώϊα πάντα.
Μάντεις δ' αὖ τὸν ὄνειρον ὑπεκρίνοντο λέγοντες·
Γαστέρι παῖδα φέρεις Ἑκάβη, Τρώεσσιν ὄλεθρον.
Ὣς ἄρα μάντεες ἀτρέκεες ὑπεκρίνοντο.
Αὐτὰρ ἐπεὶ τέκε Τρωσὶν Ἑκάβη δύσγονον υἷα,
Οὔνομα τῷδε Πάριν θέτο, τὸν μὴ ὄφελλε τεκέσθαι.
Αὐτὰρ ἄρα Πρίαμος παιδὸς γενέθλην ὑποτρείων,

Ἦλυθε χρησόμενος παρὰ βωμοῖς Ἠελίοιο·
Ἦν δέ τις ἐν Τρώεσσιν Ἀπόλλων, μάντις ἀμύμων
Νηῷ ἐν ἠγαθέῳ φαεσιμβρότου Ἠελίοιο,
Ὃς χρησμοῖσι τάδε προέειπεν μαντοσύνῃ τε·
Φράζεο, Τρώων ὄρχαμε, Φοίβου μῦθον ἐμοῖο·
Ἀρτιτόκοιο λοχεύματος ἐκ Πάριδος σέο παιδὸς
Ἄστυ τόδε Τροίης πολύμοχθος Ἄρης ἐκπέρσει,
Εἴκεν ὁ παῖς λυκαβάντας ὑπερθορέῃ τριάκοντα.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βίη Πριάμου βασιλῆος,
Ἔκθετο μὲν τὸν παῖδα παρ' ἀγροῖς οἷσι τρέφεσθαι,
Δείματο δ' αὖ Πάριον, τιμῇ Πάριος ἕο παιδός.
Κεῖσε δὲ παῖς ἀτίταλλε, διδασκόμενος περὶ πάντων,
Ὅσσα γόνους ἐπέοικεν εὐγενέων βασιλήων.
Ῥήτωρ δ' αὖ γεγαὼς συγγράμματα γράψατο πολλά,
Εἰν ἑνὶ δ' αὖτε θεὰν Ἐπιθυμίαν, Ἀφροδίτην,
Κρίνων, Παλλάδος ἠδ' Ἥρης ὑπέρτερα δῶκεν.
Αὐτὰρ ἐμοὶ δοκέει τόδε λώϊον ἔμμεναι ἄλλο,
Ὥς ῥα, σοφὸς τελέων, περὶ κόσμου γράψε γενέθλης,
Ἐκ Χάεος Ἐρέβου τε ὅπως πρώτιστα φάανθεν
Πηλεύς, γαῖα φερέσβιος, ἠδὲ Θέτις γε θάλασσα.
Ἐνδ' Ἥρη πυρόεσσα, καὶ ἀέρος εὖρος Ἀθήνη.
Σὺν δ' ἄρα τῇς ἐπέην φιλίη χρυσῆ Ἀφροδίτη.
Μεῖκος δ' αὖτ' Ἔρις ἔνθετο κόσμον ἄεθλον.
Τὰς δ' ἄρα μὴν νικήσασα φιλίη Ἀφροδίτη
Εἵλετο κόσμον ἅπαντα καὶ ἔμπεδον εἰσέτι ἴσχει·
Τοὔνεκα μυθήσαντο γάμους τε Ἔριν θεάων.
Τοῖα μὲν υἱὸς ὅδε Πριάμου Παρίῳ ῥέζεσκεν.
Αὐτὰρ ἐπεὶ τριάκοντα παρέδραμον οἱ λυκαβάντες
Αὐτίκ' ἄρα Πρίαμος καὶ Τρώων ἄσπετα φῦλα

Ἐκ Παρίου μολπῆσιν ἀγίνεον ἐς Τροίην Παρίην.
Ἄφρονες, οὐδ' ἐνόησαν ἑὸν φθόρον ἐγκονέοντες.
Ξανθικὸς ἦεν μεὶς, ὅτ' ἀγίνευν αὐτὸν ἐς ἄστυ,
Ξανθικὸς, ὃν Ἀπρίλλιον Ἕλληνες καλέουσιν.
Εἰκοστῷ καὶ δευτέρῳ ἤματι τοῖοδε ἦχθη·
Τέρπετο δ' αὖ τοκέεσσι κασιγνήτοις τ' ἐνὶ Τροίῃ,
Ῥέζων πατρῴοισι θεοῖς κλειτὰς ἑκατόμβας
Ἕπτασιν ὀκταπόροις καλλιχρόου Ἠριγενείης·
Εὖτ' ἂν δ' ἕβδομον ἦμαρ ἔην πεντήκοστόν τε,
Ὀγδοάτῃ δεκάτῃ Δεσίου Ἰουνίοιο·
Καὶ τότε μιν προέηκε πατὴρ ἐπὶ Ἄργεος ἄστυ,
Ῥέξαι νηῷ Ἀπόλλωνος κακῶν ἀπερωήν·
Δῶκε δέ οἱ ἀνέρας ἑκατὸν καὶ κάλλιμα δῶρα
Δῶκε δὲ γράμματ' ἄγειν Ἀργείων ἐν βασιλεῦσιν,
Ὄφρα γένοιτο φίλος καὶ ἐκτελέσῃ ἑκατόμβας.
Δείδιε γὰρ ἀΐων Γανυμήδης οἷα πεπόνθει
Ταντάλου ὑπὸ ἄνακτος, ἐΰγενέος βασιλῆος·
Τοὔνεκα τὸν προέηκε σὺν ἀνδράσι, γράμμασι, δώροις.
Αὐτὰρ ὅγ' ἁλμυρὸν ὕδωρ πλεύσας Ἐννοσιγαίου,
Ἐς Σπάρτην ὑπαγαλλόμενος Διὸς ἤλυθεν οὔροις,
Δέκτο δ' ἐπ' Ἀτρειδάο δόμοις ξανθοῦ Μενελάου·
Ὃς Μενέλαος τοῖο δεδεγμένος ἄγλαα δῶρα
Ἔπλεεν ἐς Κρήτην Διῒ εἷο προπάτορι ῥέζων·
Ἀστερίῳ βασιλῆϊ Κρηιάων περ ἐόντι.
Οἱ πρὶν γάρ τε δίας πάντας κάλεον βασιλῆας,
Οὕνεκά μιν καλὸς Διὸς ἀστὴρ σκῆπτρον ὀπάζει·
Ἔξοχα δ' αὖ μοίρῃσι παραὶ Νεμεοῖο λέοντος,
Ἐν πέμπτῃ δὲ μάλιστα· τὸ γὰρ βασιλεύτατον ἄλλων,
Ἠελίοις Ζῆνα παρ' ἀκτίνεσσι φαείνειν.

Ἤτοι ὅγ' ἐς Κρήτην πλέεν εἷο προπάτορι ῥέξων,
Δώμασι δ' οἷσιν ἔλειπεν Ἀλέξανδρον σὺν ἑταίροις.
Ὅς δή τοι ἐπὶ δείελα ἰδὼν τοῖο δάμαρτα
Δούλαις ἀμφιπόλοισι κατερχομένην περὶ κῆπου,
Κάλλει ἱμερόεντι περιπρεπεῖ γανόωσαν,
Ἔρωτος βελέεσσι πυριφλεγέεσσιν ἐπλήγη.
Οὐδὲ μὲν οὐκ ἀντέπληξε· πλῆξε δὲ καὶ αὐτήν·
Ἀμφοτέροις ἐρατὸν γὰρ ἐπ' εἴδεϊ κάλλος ἔκειτο.
Ἡ γὰρ ἔην λευκὴ, τερενόχροος, εὔοφρυς, εὔριν,
Λευκοδηριόωσα καὶ ἀργενὴς χιόνεσσιν.
Στηθέα δ' ἱμερόεντα καὶ ἄγλαον εἶδος ἔχουσα,
Ὑγρῶπις, μελιγήρυς, εὔχαρις ἠδὲ βοῶπις.
Θριξὶν ἑλισσομένῃσι χρυσοχρόοις κομόωσα,
Εὔστολος ἠδὲ τελείη, πάντα φέρουσα τέλεια
Τύσσον δ' αὖ προφέρεσκε γυναικῶν κάλλεϊ πασῶν,
Ἀστράσιν ἐννυχίοισιν ὅσον προφέρῃσι σελήνη.
Ἦμος δ' αὖ χρόνον εἶχεν ἐεικοστόν τε καὶ ἕκτον.
Τοῖα μὲν ἦεν κάλλεϊ κούρη Τυνδαρεώνη.
Αὐτὸς δ' αὖτε Πάρις χαρίτων ἄπο κάλλεος ἔσχεν·
Λευκὸς ἔην, εὐῆλιξ, εὔχαρις, ἠϋγένειος,
Θριξὶν ἑλιχρύσοισι καρηκομόων ὑπὲρ πάντας.
Τοῖος ἐὼν ἐράσατο, πόθει δὲ καὶ αὐτός.
Αὐτὰρ ἐπεὶ σήμηναν ἐπ' ἀλλήλοισιν ἔρωτα,
Αἴθρης ἐννεσίῃσι καὶ ἄλλων θηλυτεράων
Νηῒ ἐνὶ θέμενοι δμωὰς κόσμον τ' ἐράτεινον,
Ἠδ' αὐτὴν Αἴθρην δολοέσσαν πρὸς δὲ καὶ αὐτοὺς,
Φεῦγον ἐπ' ἀτρυγέτοιο θαλάσσης Τύριον οἶδμα,
Δειδιότες περάαν πλόον ὃν Τροίηθεν ἔπεπλον.
Αὐτίκα δ' ἐς Κρήτην Μενελάου οἴκιες ἦλθον,

Ἀγγελίην ἐρέοντες· ὁ δ᾽ ἔπλεεν ὦκα μάλιστα
Εὐρυπόρου Σεισίχθονος οἴδματα πάντα ματεύων.
Πολλὰ δ᾽ ἀπρὴγξ μογέεσκε, μάτην ἀκιχήτα διώκων
Κεῖνοι γάρ τε μέγα πέλαγος Τύρων περόωντες
Ἄστυ Τρώϊον ἴδον, ὅλον λυκάβαντα μογεῦντες.
Τρωϊάδες δ᾽ Ἑλένην ἰδὲ Τρῶες πάντες ἰδόντες
Θάμβεον, ὡς μάρμαιρεν ἀριπρεπέεσσιν ὀπώπαις.
Τὴν δ᾽ Ἑκάβη φιλέεσκε καὶ ἐν μεγάροισιν ἐτίμα.
Ὡς πολέες φάσκουσιν Ἀλέξανδρον βασιλῆα,
Ἔλθεμεν ἐς Σπάρτην ἀπό γε Τροίηνδε κίοντα,
Ὡς δ᾽ Ἑλένην ἐκ Σπάρτης ἐς Τροίηνδε κομίσαι.
Ἄλλοι δ᾽ ἄλλ᾽ ἐρέουσιν, ὅσα φίλον ἔπλετο θυμῷ,
Οὐδ᾽ Ἑλένην φάσκουσι μετὰ Τρώεσσι παρεῖναι·
Ἀλλ᾽ ἄρα Πρώτηος ποτὶ δῶμα στροφάασθαι.
Αὔτως δὲ στρατὸν Ἀργείων Τρώεσσι μάχεσθαι.
Ὡς ἄρα πολλοὶ πλάζονθ᾽ ἱστορίην στροβέοντες·
Αὐτὰρ ἐγὼν ἐρέεινα πανατρεκέως ἀγορεύων
Ὡς ἕκαστα γένοντο, τάδ᾽ ἄλλ᾽ ἀνεμώλια πάντα.
Ἀργείην δ᾽ Ἑλένην παρέμεν Τρώεσσι μαθόντες
Ἀτρείδην Μενέλαον, Ὀδυσσέα καὶ Παλαμήδην,
Θησείδην τ᾽ Ἀκάμαντα καὶ Διομήδεα δῖον
Πρεσβεῖς Τρωσὶν ἔπεμπον, ἀπήτεον ἄρτι γυναῖκα.
Καί νύ κεν Ἀντιμάχοιο κακόφρονος ἔκπαθεν ἔργοις
Ἀργείων οἱ ἄριστοι πρεσβείης ἀλεγεινῆς,
Χρυσὸν Ἀλεξάνδροιο δεδεγμένου εἵνεκα τοίου.
Ἀλλ᾽ Ἀντήνωρ ξείνισεν ἐκ θανάτοιο σαώσας·
Ὧι πότε περθομένης Τροίης ἀπέδωκαν ἀμοιβάς.
Πάντα γάρ οἱ ἐσάωσαν, δῶκάν τ᾽ ὄλβια δῶρα·
Τῆμος δ᾽ Ἀντιμάχοιο ἀτάσθαλα ἔργα φυγόντες

Ἀργείοις ἐρέεινον ὅσ᾽ ἂν πάθον ἄγεα Τροίη.
Καὶ τότε δὴ στρατὸς ἐξ ἠπείρων ἠδ᾽ ἀπὸ νήσων
Εἰς ἓν ἀολλίζοντο κατὰ Τρώων ἐρεθέντες·
Οἷς δέκα δὴ λυκαβάντες ἀγειρομένοις παρέδραμον,
Ἐξ οὗ ἔβη ποτὶ Τροίην κούρη Τυνδαρεώνη.
Καὶ τότ᾽ ἐπεσσυμένως ἐς νῆας ἔβαινον Ἀχαιοί·
Δέδμηντο γὰρ ἅπαντες Τυνδαρέοιο ἐν ὅρκοις,
Αὐλίδα δ᾽ εἰς ἔπλεον, κακὰ Τρωσὶ μητιόωντες.
Οὐδὲ μὲν οὐδ᾽ Ἀχιλῆος κυδαλίμοιο λάθοντο,
Ἀρτιγάμου ἔτ᾽ ἔοντος ἑῆς ἀλόχου μεγάροισιν,
Ἐς Σκῦρον, Δολόπων νῆσον, Λυκομήδεος ἄστυ·
Οὕνεκα μυθεύοντο πέπλους θηλυτεράων.
Ἀλλ᾽ ἄρ᾽ Ὀδυσσέα, Νέστορα καὶ Παλαμήδεα δῖον
Ἐς Πηλῆα, Θέτιν τε καὶ ἐς Χείρωνα ἔπεμπον,
Ὃς σοφίῃ ἐκέκαστο καὶ ἐν μερόπεσσι θεοῦτο.
Ὃς Ἀχιλῆος μόρον ᾗ ἐπεφράσατο θυγατρί.
Ὃν τότε λισσόμενοι οὗτοι πρέσβυες ἀγαυοὶ
Κῆρ᾽ Ἀχιλῆος ἄγον παρ᾽ Ἀτρείδαις καὶ Ἀχαιοῖς,
Πεντήκοντα νέας σὺν Μυρμιδόνεσσι φορεῦντες,
Πεντήκοντα δ᾽ ἔβαινον ἐπ᾽ ἄνδρες νηῒ ἑκάστῃ·
Πὰρ δέ γε Πάτροκλος ἦεν Ἀμυντορίδης τε Φοῖνιξ·
Ἤτοι ὁ λαοῦ, ὃ δ᾽ αὐτ᾽ Ἀχιλῆος μύθῳ ἀνάσσων.
Τοὺς δὲ ἰδόντες γήθεον Ἀργεῖοι Παναχαιοὶ,
Τερπόμενοι λαοῖσι καὶ ἡγεμόσι πινύτοισι,
Κάλλεϊ καὶ ἔργοις τε ἀελλοδρόμου Ἀχιλῆος·
Ἔργοις γὰρ καὶ κάλλεϊ ποσσί θ᾽ ὑπείρεχε πάντων.
Αὐτὰρ ἐπεὶ Παναχαιοὶ ἐς Αὐλίδα ἠγερέθοντο,
Νηυσὶν ἐν ὀγδοήκοντα καὶ ἓξ χιλίαις ἑκατόν τε,
Χειμερίοις ἀνέμοισι παραυτόθι εἰρύκοντο.

Νηῶν ἐξεχέοντο καὶ ἀλλήλους ἐνάριζον·
Αὐτὰς δ' αὖ κατέδησαν πρυμναίῃσι κάλωσιν.
Αὐτὰρ ἐπεὶ ἐρύθῃνε πελώριον οἶδμα θαλάσσης
Αἱματόεις χείμαῤῥος ἀπ' ἀμφοτέρων κελαρύζων,
Νύκτα φυλαξάμενοι Τρῶες περὶ ἄστυ ἐχώρουν.
Ἀντιβίην τρείοντες ἐν Ἀργείοισι μάχεσθαι.
Κύκνος δ' ἐκ Τενέδοιο μέσῳ ἐνὶ νυκτὸς ἀμολγῷ
Τρωσὶ χαριζόμενος ἤγειρε μάχην ἐπ' Ἀχαιοῖς.
Τὸν δ' Ἀχιλεὺς κατέπεφνε καὶ ἀνέρας οἵ οἱ ἕποντο.
Ἔκτοτε Ἀργείοισιν ἐείσατο κέρδιον εἶναι
Τρώων κώμας πέρθεμεν ἠδέ τε ἄστεα πάντα.
Τεῦξαν δὲ κλισίας πλεκτὰς, σταβάραις ἀραρυίας.
Καί ῥ' οἱ μὲν παρέμιμνον, ἐνὶ κλισίῃσι μένοντες,
Ἄλλοι δ' ἄστε' ἔπερθον, Ἀχιλλεὺς δ' αὖτε μάλιστα,
Δίῳ σὺν Παλαμήδει, ἀνέρι πολλὸν ἀρίστῳ,
Ὃς σοφίῃ ἐκέκαστο, γράμματα δ' εὗρε βροτοῖσιν,
Πεσσὸν, ἀριθμούς τε, ζυγοστασίην τε καὶ ἄλλα.
Σὺν τῷ πρῶτον Ἀχιλλεὺς καὶ ἄλλοις παναχαιῶν
Ἐς Μύσους ἐνέβαλλεν, ἐπ' ἄστεα Ἡρακλείδου
Τηλέφου, εὐρυμέδοντος, ἐϋγενέος βασιλῆος.
Ἔνθα μάχη δριμεῖα, πολύς τε φόνος παναχαιῶν,
Αὐτῶν τε Μυσῶν, πολλοὶ δὲ τροπῶντο Ἀχαιοί.
Τήλεφος αὐτὸς γὰρ καὶ Λἶμος, ἄναξ Ἀρεΐδης
Πρὸς δέ τ' Ἕλωρός τ' Ἀκταῖός τ' Ἴστροιο γενέθλη.
Ἐν δὲ γυναῖκες Μυσῶν ἅρμασιν οἷσι μάχοντο.
Καί νύ κεν ἐς κλισίας τε καὶ ἐς νέας ἦλθον Ἀχαιοὶ,
Εἰ μὴ Τήλεφον αὐτὸν μηρῷ πλῆξεν Ἀχιλλεὺς,
Εἴ κε Νιρεὺς μὴ ἔπεφνεν ἀμαιμάκετον βασίλειαν
Ἅρματι μαρναμένην, Ἱερὴν, δόρατι περονήσας.

Ἡ γάρ τε προθέεσκε καὶ Ἀργείους ἐνάριζε,
Μαινομένη ἐπ᾽ ἀκοίτῃ, τὸν περίτρωσεν Ἀχιλλεύς.
Τὴν Μυσοί τε καὶ Ἀργεῖοι στενάχοντο πεσοῦσαν.
Τόσσος δὲ θρῆνος περὶ κάλλεϊ ὤρετο ταύτης,
Τηλέφῳ ὡς σπείσασθαι Ἀχιλλῆα πτολίπορθον.
Ἡ γὰρ καὶ Ἑλένην ἐπεκαίνυτο κάλλεϊ πολλόν.
Αὐτὰρ ἐπεὶ σπείσαντο καὶ ἐς κλισίας κατέβησαν,
Πάντες ἄρ᾽ Ἀργεῖοι φίλεον Παλαμηδέα δῖον,
Οὕνεκ᾽ ἀνὴρ πολύϊδρις ἔην καὶ ἤπια ᾔδει·
Τοὺς δέ τε ἀσχαλόωντας ἔρωτι πάτρης ἐρατεινῆς,
Εὑρὼν πεσσὸν, ἔτερπε, καὶ ἐξελάασκεν ἀνίην,
Ἠδέ τε νούσους προὔλεγε καὶ νούσων ἀπερωὴν,
Ἀλθεστήρια φάρμακα, βρώσεις τ᾽ ἐξερεείνων·
Οὕνεκα σήματα ἠδὲ τεράατα προὔλεγε πάντα,
Οὕνεκά τε ξύμπασι φίλος μερόπεσσι τέτυκτο,
Οὐδ᾽ ἀγέρωχος ἔην ἢ ἀτάσθαλα ἔργα ἔρεξε·
Τοὔνεκα τὸν φιλέεσκον Ἀχαιῶν ἔθνεα πάντων.
Αὐτὰρ Ὀδυσσεὺς, ἡρώων φθόρος, ἔχθος ἀρίστων,
(Ὅς ῥα Φιλοκτήτην Λήμνῳ λίπε, νῆας ἐλάσας,
Ὅς τ᾽ Αἴαντα πελώριον ὕστερον ἔκτα χολώσας,
Λοκρὸν ὅς ἔρσε θαλάσσῃ· Φεῦγε γὰρ εἵνεκα τοῖο
Μοῦνος ἁπάντων Ἀργείων·) στυγέεσκε τὸν ἄνδρα,
Οὕνεκέν οἱ ἀρετῇ ἐριδαίνων οὐδὲν ἰσοῦτο.
Τῷ καὶ ὄλεθρον ἔτευξε δολοφροσύνῃσι νόοιο,
Ἀργείοις δ᾽ ἐχόλωσεν Ἀχιλλῆα πτολίπορθον,
Λοιμὸν δὲ στονόεντα κατὰ στρατὸν ὦρσε φέρεσθαι.
Ἀρχὴν δ᾽ αὐτῶν ἔχθεος εἴπω, τίς τοι ἐτύχθη.
Οὐ μὲν Ὀδυσσέος εἰκῇ μνήσομαι αὐτὸς ἀρότρου,
Οὔτ᾽ ἄρα Τηλεμάχοιο· ψεύδεα πάντα τέτυκται.

Αὐτὸς γὰρ συνάγειρεν Ἀχαιῶν πάντας ἀρίστους.
Ταῦτα δέ τοι ἐρέω νημερτέα, ὥσπερ ἐτύχθη·
Ἀργείοις περόωσιν ἀπ' Ἄργεος οἶδμα θαλάσσης,
Ἐς Τροίην ὅτ' ἔπλωον, φαίνετο σήματα πολλὰ,
Σκηπτοὶ ἐριφλεγέες, μεγαλοσμάραγοι βρονταί τε,
Ἴριδες, ἠδὲ κομῆται, λεῖψις τ' ἠελίοιο·
Καὶ τά γε θυμῷ τρείεσκον πάντες Παναχαιοί.
Αὐτὸς δ' αὖ Παλαμήδης ἐκ δέος εἵλετο πάντων,
Φήσας οὐκ Ἀργείοις Τρωσὶ δὲ σῆμα κακοῖο·
Πάντα γὰρ αὐτολίηθεν ἐφαίνετο σήματα ταῦτα·
Πρὸς δέ τε μάντις ἔειπεν, ἀληθέα πάντα πιφαύσκων.
Πεσσὸν δ' αὖ καὶ γράμματα δεύτερον εὗρεν Ἀχαιοῖς·
Καὶ τότε τὸν κυδαίνεσκον δῖοι Παναχαιοί.
Καὶ τάγε θυμὸν ἔκναιεν ἀριστοφόνου Ὀδυσῆος.
Αὐτὰρ ἐπεὶ ἀπὸ Μυσῶν ἐς κλισίας κατέβησαν,
Τηλέφῳ ἠδὲ καὶ ἄλλοις σπεισάμενοι βασιλεῦσιν,
Ἐξ ὀρέων λύκοι ἐς κλισίας κατέβαινον Ἀχαιῶν,
Δμῶας ἀναρπάζοντες ἰδ' οὐρέας· αὐτὰρ Ὀδυσσεὺς,
Ὧι θυμῷ ποθέων Παλαμήδεϊ ἀντιφερίζειν,
Μακρὰ βοῶν ἀνέβαινε παρ' οὔρεα, θῆρας ἐρύξων,
Τοξοφόρους πολέας κούρους φορέων Παναχαιῶν,
Νήπιος, οὐδ' ἐνόησε τὸ σῆμα πέλον λοιμοῖο.
Τοὺς δὲ ἰδὼν Παλαμήδης μειδιόων προσέειπεν·
Ὦ Ὀδυσεῦ πολύβουλε, σὺν ἀνδράσι τοξοφόροισι
Τίπτε λύκοισι μάχην παναφραδέα τήνδε φορεῖτε;
Οὔ νυ λύκοι, σχέτλιοι, παρὰ οὔρεσι καὶ πάρος ἦσαν,
Ἀλλά τίς αὐτῶν Ἀργείους δηλήσατο πρόσθε;
Λοιμοῦ σῆμα τόδ' ἐστιν· ἐᾶτε δὲ τόξα καὶ ἰούς.
Ἓν λαχάνων βελέεσσιν ἐρύκατε λοιμοῦ ἐρωήν,

Μηδὲ κρεῶν γεύεσθε, καὶ εἰς ἅλα βαίνετε πάντες.
῞Ως ἔφαθ᾽· οἱ δέ τε πάντες ἐποίεον, ὡς ἐκέλευεν.
Μοῦνος δ᾽ αὖ Ὀδυσεὺς ἐν ἐπεσβολίῃσιν ἄτιζεν.
Λοιμοῦ δ᾽ αὐτίκ᾽ ἐπεισφρήσαντος ἐπ᾽ ἄστεα Τρώων,
Αὐτοὶ ἀσινέες ἐκ κακοῦ ἔκφυγον οἷοι ἀπ᾽ ἄλλων.
Καὶ τότε δὴ Παλαμήδην ὡς θεὸν ἦσαν ἄγοντες.
Αὐτὰρ ὁ ἐχθρὸς ἀνήρ οἱ ἐμήδετο κῆρα μέλαιναν,
Καὶ κτάνεν, οὐδ᾽ ἀφάμαρτε δολοφροσύνῃσι νόοιο.
Ἤτοι γὰρ Παλαμήδης πόρθεεν ἄστεα Τρώων
Σὺν Ἀχιλῆι, ἕλον δὲ ἐείκοσι τρεῖς τε πόληας,
Ἐκ τάων κειμήλια πολλὰ φέρον Παναχαιοῖς,
Ἠδὲ γυναῖκας πολλὰς, Χρύσου τ᾽ Ἀστυνόμειαν·
Αὐτὰρ Ἀχιλλεὺς Ἱπποδάμειαν ἕλε Βρισῆος,
Οἷος ἀπ᾽ ἄλλων Ἀργείων καὶ ἔχεσκε παρ᾽ αὐτῷ·
Ἀλλ᾽ ἄρα τῶν ἀΐοιτε κοράων εἶδος ἐρατόν·
Χρυσηῒς μὲν ἔην τυτθὴ, λεπτὴ, γλαγεόχροος,
Ξανθοκόμη, μικρόμαστος, ἐτῶν δέκα ἐννέαδός τε,
Παρθένος ὡραίη· Βρισηῒς δ᾽ Ἱπποδάμεια
Μακρὰ ἔην, λευκὴ, μελανόθριξ, οὐλοέθειρος,
Καλλίμαστος, ἰδ᾽ εὔστολος, εὔρις, καλλιπάρῃος,
Φαιδρὸν μειδιόωσα, σύνοφρυς δ᾽ εἴδετο ἔμπης.
Ἐν δὲ Μένητος ἔην γυνὴ, ὃς βασίλευε Λελέγγων.
Εἰκοσέτου προάτου δὲ χρόνου τότε τήνδε ἐοῦσαν
Αἰακίδης ἀπάτερθεν Ἀχαιῶν κάσχεθεν οἴκοι·
Οἱ δὲ βαρυφρονέοντες Ἀχιλλεῖ ἀγριάασκον.
Καὶ τότ᾽ Ὀδυσσεὺς Ἀτρείδην προσέειπεν ἄνακτα·
Ἀγνώσσεις, τάδε δὴ Παλαμήδεος ἔμμεναι ἔργα,
Ὃς σὰ σκῆπτρα παρείρεται ἠδ᾽ Ἀχιλῆϊ διδίσκει;
Ἀλλ᾽ ἄγε σὺ βασίλευε, ἀτὰρ Παλαμήδεα πέφνον.

Ὣς φάτο οὔλιος ἀνὴρ, τῷδ' ἐφεήνδανε βουλή.
Καὶ δὴ Τρῶα κατέσχεθον, ᾧπερ ἔειπον γράψαι,
Ὅσσα κεν ἂν Πρίαμος Παλαμήδεϊ γράψε φιλοῦντι
Αὐτὰρ ἐπεὶ γράψαν, Παλαμήδεος εὐνῇ ἔθεντο,
Δμῶα δολώσαντες δώροις Παλαμήδεος ἐσθλοῦ·
Καὶ τότε τόνδε ἄγουσι παρὰ κλισίας, ἀπὸ Λέσβου,
Μῆχαρ ἑλεπτολέων δῆθεν καλέοντες ῥέξαι,
Χωρίζουσι δ' ὡς ἀπ' Ἀχιλλῆος μεγαθύμου.
Οὗτος δ' αὖ προσέειπε παρ' Ἀτρείδαισι μολήσας·
Εἰ μὲν μῆχαρ ἑλέπτολι δίζησθ', Ἀτρείωνε,
Εἰσί τοι Αἴαντες δοιοὶ, πολέων ὀλετῆρες·
Εἰ δ' ἀπ' ἐμοῖο χερῶν ἄλλο πυθεέσκετε μῆχαρ,
Αὐτίκα Τροίη ἕτοιμος ἐμῷ ἐνὶ μήχει κεῖσθαι·
Ὣς φάτο, οὐδ' ἐγίνωσκε τὰ δὴ προέτευξαν ἐκεῖνοι
Αὐτίκα γὰρ δὴ ψεύδεα γράμματα ἐξαγαγόντες
Ἰλλάσιν αὐτὸν ἔδησαν, Ἑλλάδος ὡς προδοτῆρα,
Καδδὲ Μυκηναῖοι κτείνουσι Κεφαλλῆνές τε,
Βάλλοντες λιθάδεσσιν· ὁ δ' ἔστενε ταῦτα πιφαύσκων·
Χαῖρε, Ἀλήθεια κυδρή· πρόθανες γὰρ ἐμοῖο.
Ὣς ὁ μὲν ἔκθανεν, ἄλλοι δ' αὖ μύροντο Ἀχαιοὶ
Σιγῇ, πάντες δειδιότες χόλον Ἀτρείδαο,
Οὐ γὰρ θάπτειν εἴα ἓ, οὔτ' ἄρα δάκρυα λείβειν,
Φὰς θανέειν τὸν θάψαντα καὶ ἄκλαυστον ἔσεσθαι.
Αἴας δ' ὡς ἐνόησεν ἑταῖρον τόνδε πεσόντα·
Ἐγγύθι γὰρ Σαλαμίς τε καὶ Εὔβοια, τῶν πάτραι·
Οἰμώξας μέγα καὶ ἄορ ἑλκύσας παρὰ μηροῦ,
Βαῖνε μέσον Πιναχαιῶν, ἐν δὲ κέδασσε βολῆας,
Αὐτὸς δὲ κλαίεσκεν ἀδινὰ, πεσὼν παρὰ νεκρῷ,

Ἐν δὲ κόμην προθέλυμνον τίλλεν, ἀπὸ κρατὸς ἕλκων,
Θάψε δὲ τὸν φιλέων, κλαύσας ἀέκητι ἀνάκτων.
Ἀλλ' ἤτοι μορφὴν τοῦδ' ἄνερος ἐξερεείνω.
Μακρὸς, λευκὸς ἔην, ξανθόθριξ, πιναροχαίτης,
Μακρόψις, ῥαδινὸς, σοφίης ἴδ' Ἄρηος ὑποδμώς.
Ξανθοκόμης δ' ἄρ' ἐὼν καταείδετο πιναροχαίτης,
Οὕνεκεν οὐκ ἀλέγιζε κομάων οὐδὲ βλακείης,
Ἀλλ' ἄρ' ἐνὶ κονίῃσιν ἀρήϊον ὕπνον ἴαυεν,
Μελδόμενος πολέμοιο, λόχων τε φαλάγγων τε,
Λαῶν θ', οἵ οἱ ἕποντο, ὅπως σώοιτο ἕκαστος.
Ταῦτα γὰρ οἱ ψυχῆς δόκεε κρείσσω κομέων τε.
Τόνδ' Ὀδυσεὺς ἔκτεινε δόλοις, κτερέϊξε δ' ἄρ' Αἴας.

---

# ἸΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ
# ΤΑ ΚΑΘ᾽ ὍΜΗΡΟΝ

## ΤΑ ὉΜΗΡΟΥ.

*Ἀρχὴ τῶν Ὁμήρου παρὰ τοῦ Ἰωάννου ἐν συντόμῳ ἐκδοθέντων.*

Αὐτὰρ ἐπεὶ τόγ᾽ ἄκουσεν Ἀχιλλεὺς ὀβριμόθυμος,
Ὡς Βρισηΐδος εἵνεκα τοιάδε ἔργα γένοντο,
Δάκρυε μὲν Παλαμήδεα, τὴν δ᾽ ἐφέηκεν Ἀχαιοῖς,
Αὐτὸς δ᾽ αὖτ᾽ ἀπέπαυσε μάχης πολέμοιό τε πάμπαν.
Πρὸς δέ γε λοιμὸν Ἀπόλλων, ἠέλιος μέγας, ἧκεν.
Θνῆσκον δ᾽ Ἀργεῖοι, Παλαμήδεος οὐκ ἔτ᾽ ἐόντος,
Ὃς λοιμοὺς [τε] πρόφασκε καὶ ἀλθεστήρια τούτων.
Τρῶες δ᾽ ὡς ἔμαθον λοιμόν τε χόλον τ᾽ Ἀχιλῆος
Οὐκ ἔτι πύργων ἔνδοθι, οὐδὲ πόληος ἔμιμνον,
Ἀλλ᾽ ἄρα προφρονέως, πυλέων πετάσαντες ὀχῆας,
Ἄχρι νεῶν κατέβαινον, ἴδ᾽ Ἀργείους ἐδάϊζον·
Οἱ δ᾽ ἄρα δαμνάμενοι λοιμῷ καὶ χείρεσι Τρώων,
Ἐξαπάταισιν ὀνείρου πανσυδίῃ ἐχέοντο,
Τρωσὶν ἐναντίβιον πολεμίζειν ἱμείροντες.
Σπεισαμένοισι δ᾽ ἔδοξε δύο προμάχεσθαι ἁπάντων,

*Ὃς δ' ἂν νικήσῃ, ʽΕλένην φορέειν σὺν ἑταίροις·
Ἐκ δ' ἔθορ' ἐκ Τρώων Πάρις, Ἀργείων Μενέλαος·
Ὡς Πάρις ἡττήθη δὲ Τρῶες ὅρκια χεῦον.
Αὐτίκα γὰρ Μενέλαον Πάνδαρος ἔμβαλεν ἰῷ,
Οὐδ' ἔλαβεν κῦδος, δόξης δ' ἀπόεργξεν ἑαυτόν·
Τὸν μὲν γὰρ Μαχάων ἰήσατο, φάρμακα πάσσων,
Τρωσὶ δὲ καὶ Τροίῃ καὶ Πανδάρῳ ἔπλετο πῆμα.
Τόξα γάρ οἱ ἐρύοντι κακάγγελος ἤλυθεν αἶσα,
Ἀστὴρ παμφανόων, σῆμα πολέμοιο, κομήτης,
Ἀθηναίη ʽΟμήρου, τήν ῥα Ζεὺς προΐαλλεν.
Ἐν δὲ Θεοὶ ἀλλήλους ὥρων ἤματι κείνῳ,
Ὀκρυόεις Κρόνος ἠδέ τε Ἄρης ὀβριμόθυμος,
Οἵ ῥά τε δόξης αἰζηοὺς πολέμου ἀπόεργξαν,
Αὐτοὺς δ' αὖ κατέπεφνον, σφῶν δὲ πόληας πέρσαν,
Εἵκεν ἐπ' ἤματι τοίῳ ἀριστεύειν ποθέουσιν
Ὅτε Χρονοκράτορα θάτερος θάτερον ποιήσει,
Ἣν ἀρχὴν ὀπάσας, ἢ οἴκοις ἀντιάσειεν
Ἢ θάτερος θατέρου ἠὲ Κρόνος Ἠελίοιο,
Ὡς τότε εἰσορόωντες Τροίῃ κήδεα τεῦχον.
Αὐτίκα γὰρ ὦρουσιν Ἀχαιοί τε Τρῶές τε
Ἀλλήλοισι μάχεσθαι, πυκνὰ δὲ πίπτε κάρηνα.
Ἀντίλοχος γὰρ ἔπεφνε Θαλυσιάδην Ἐχέπωλον,
Ἀγήνωρ δ' Ἐλεφήνορα Τρώϊος ἔκτανεν ἀνήρ·
Αἴας δ' αὖ Σιμοείσιον Ἀνθεμίδην ἐνάριξε·
Λεῦκον δὲ Πριάμοιο πάϊς νόθος Ἄντιφος εἷλε.
Δημοκόωντα δ' ἐνήρατ' Ὀδυσσεὺς Δαρδανίωνα·
Ἐκ δὲ βίου Δαναὸν ἀπόερσε Διώρεα Πείρως.
Τοῦ δὲ Θόας Αἰτωλὸς ἐν ἄορι θυμὸν ἀπηύρα.
ʽΩς τῶν μαρναμένων Διομήδης ἔνθορε μέσσον*

Τεύχεσι λαμπόμενος πυρὶ τεχνήεντι ἀφλέκτῳ·
Οὐχ οἷον φλογέεσκε Συρηκοσίοιο κατόπτρου,
Τῷ ῥ' Ἀρχιμήδης φλόγα εἵλκυσεν ἠελίοιο,
Πρῆσε δὲ Μάρκου Μαρκέλλου νέας Αἰνειάδαο
Οὐ τοῖον Διομήδεος ἔφλεγε πῦρ ἀπὸ ὅπλων,
Ἀφλεγέως ἀμάρυσσεν ἀπαστράπτον σελάεσσιν·
Οἷά τε Σείριος ἀστὴρ σκύλακος Ὠαρίωνος,
Τοῖον τεύχεσι λαμπόμενος μέσον ἔνθορε χάρμης.
Φηγέα δ' αὖτε πρῶτον ἐνήρατο, υἷα Δάρητος,
Ὅς ῥα τέχνης πυριεργέος ᾔδεε δαίδαλα ἔργα.
Τοὺς ἱερῆας Ὅμηρος Ἡφαίστοιο κικλήσκει·
Οὗτος μέντοι ἐνήρατο· αὐτὰρ οἱ ἄλλοι Ἀχαιοί,
Ἀτρείδης Ὀδίον πέφνεν, Ἰδομενεὺς δ' ἄρα Φαῖστον,
Πὰρ δὲ Σκαμάνδριον εἷλεν ἀκειρεκόμης Μενέλαος.
Μηριόνης Φέρεκλον, Πηδαῖον δ' αὖτε Φυλείδης,
Εὐρύπυλος δ' Ἀγήνορα τὸν Δολοπίονος ἔκτα,
Τὸν ἱερῆα Σκαμάνδρου κάλεον, ἰχθυόωντα
Ἀργυρέης δίνῃσιν ἐπ' εὐρύτου ποταμοῖο.
Πάνδαρος αὖ Διομήδεος ὦμον χραῦσεν ἐν ἰῷ.
Καὶ τότε Τυδείδης Τρώεσσιν ὄλεθρον ἐφίει·
Κτεῖνε γὰρ Ἀστύνοον καὶ Ὑπήνορα, ποιμένα λαῶν,
Παῖδας δ' Εὐρυδάμαντος, Ἄβαντά τε καὶ Πολύειδον.
Ἔκτα δὲ Φαίνοπος υἱοὺς, Ξάνθον τ' ἠδὲ Θόωνα,
Πὰρ δ' ἄρ Ἐχέμονα καὶ Χρόμιον, Πριάμου πέφνεν υἷας,
Σὺν ἄρα Πάνδαρον ὁρκοσφάλτην, ἠπεροπῆα,
Πρὸς δ' ἔτι κεῖνον, τὸν τέκε Βουκολέων Ἀγχίσης,
Αἰνείαν, ἀπάραξε βαλὼν λίθῳ ὀκριόεντι.

Τὸν δὲ φυγῆς ἐπιθυμίη ἐξεσάωσε φυγόντα
Νηῷ ἐν ἠγαθέῳ πανδερκέος ἠελίοιο·
Ἔνθα ὁ Τυδείδης κατυπάζων ἐκβοάασκεν·
Εἶκε γυναιμανὲς, οὐκ ἔτι ἀντιάσειας χάρμης·
Οὐτάσαι οὗ ἕνεκα φήμιξαν χεῖρ' Ἀφροδίτης,
Ὅττι μιν ἐσσύμενον πολέμου ἀπέπαυσεν ἐρωῆς.
Καὶ τότε Σαρπηδὼν Τρῶας μαχέεσθαι ἔγειρεν.
Πρῶτος δ' αὖτ' Ἀγαμέμνων Δηϊκόωντα ἔπεφνεν,
Αἰνείας δὲ Κρήθων' Ὀρσίλοχόν τε κατέκτα,
Τραύματ' ἀκεσσάμενος, τάτε Τυδείδης προΐαψεν,
Καί νύ κε καὶ Μενέλαον ἀντιόωντα κατέκτα,
Εἰ μὴ Νέστορος υἱὸς, ἀρήϊος ὦκα παρέστη·
Αἰνείας δ' ὑποέτρεσε, τοὶ δ' ἕλον ἄνδρας ἀρίστους.
Ἀτρείδης μὲν πρῶτα Πυλαιμένεα βασιλῆα,
Ἀντίλοχος δὲ Μύδωνα κατέκτανε, λᾶϊ τυχήσας·
Ἕκτωρ δ' αὖ, σὺν ἄρηϊ, ἑῷ πολεμήτορι θυμῷ,
Πρῶτα Μενέσθην τε καὶ Ἀγχίαλον σφαράγισεν·
Αἴας δ' Ἄμφιον, υἱὸν ἐξενάριξε Σελάγου,
Ἀντία μαρνάμενος Τρώων καὶ Ἕκτορος οἶος.
Σαρπηδὼν δὲ Τληπόλεμον κατενήρατ' Ἀχαιῶν,
Ἠνορέη κομόωντα, υἱὸν φιλὸν Ἡρακλῆος.
Καί νύ κε σὺν δ' αὐτῷ ψυχὴν ἐκάπυσσε καὶ αὐτὸς,
Τοῖο ἀπὸ ζώοντος βληθεὶς ἔγχεϊ μακρῷ,
Ἀλλ' οὐ μόρσιμον ἦν· τῷ ὀλέθριον ἔκφυγεν ἦμαρ.
Ἔνθ' Ὀδυσεὺς Λυκίοισι κακὰς πότι κῆρας ἴαλλεν,
Κοίρανον αὐτὰρ Ἀλάστορα καὶ Χρόμιον καταπέφνας,
Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
Ἕκτωρ δὲ Τρῆχόν τε καὶ Οἰνόμαον καὶ Ὀρέστην,

Τεύθραντ' ἠδ' Ἕλενον καὶ Ὀρέσβιον ἐξενάριξεν.
Ἀλλ' ὅτε καὶ Περίφαντα ἑῷ θυμῷ ἄρεϊ πέφνεν,
Τυδείδης, ἵππους ἐλάσας, πέλας ἤλυθε τοῖο,
Τρῶσε δ' ἄρ' ἐς κενεῶνα ἀρήϊα μαιμώωντα.
Τρῶες δ' ὡς οὖν εἶδον πληγὴν καίριον οὖσαν,
Σμερδαλέον σμαράγησαν, ἐπέβραχε δ' οὔρεα Ἴδης,
Τοῖος γάρ τε ἔμελλεν ἀνὴρ θανέειν παρὰ μοῖραν.

Αὐτὰρ ἐπεὶ Τυδείδου Ἀθηναίη τε καὶ Ἥρη
Ἕκτορος Ἄρεα θυμὸν ἔπαυσαν δηϊότητος,
Νόσφι θεῶν Τρῶές τε καὶ Ἀργεῖοι ἐμάχοντο.
Οὐ γὰρ ἔχον μένος Ἕκτορος, οὐδὲ δόλους Διομήδεος,
Ἀλλ' ἀδόλως ἐμάχοντο· πέφνον δὲ Τρῶας Ἀχαιοί.
Αἴας μὲν Τελαμώνιος Εὐσώρου Ἀκάμαντα·
Ἄξυλον ἠδὲ Καλήσιον εἷλε πάϊς Τυδῆος.
Δρῆσον δ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν,
Αἴσηπόν τ' ἰδὲ Πήδασον, υἱέε Βουκολίωνος.
Πιδύτην δ' Ὀδυσεύς τε καὶ Ἀστύαλον Πολυποίτης,
Ἀντίλοχος δ' Αὔληρον, Τεῦκρος δ' αὖτ' Ἀρετάονα,
Λήϊτος αὖ Φύλακον Βοιώτιος ἔκτανεν ἥρως,
Εὐρύπυλος δὲ Μελάνθιον, Ἀτρείδης δ' Ἔλατον πέφνε
Ἠδ' ὅνπερ Μενέλαος ἕλε ζώοντα Ἄδρηστον.

Ἕκτωρ δ' αὖθ' Ἑλένοιο φραδαῖς πότε Ἴλιον ἦλθε,
Πόρτιας ἐξερέων δύο καὶ δέκα ῥέξαι Ἀθήνῃ.
Τυδείδης δ' ἐσπείσατο Γλαύκῳ Ἱππολόχοιο,
Χάλκεα δ' ὅπλα ἄμειψε καὶ εἵλετο χρύσεα τοῖο.
Ζεὺς γάρ τε φρένας ὀλβιοδώρου κύδανε Γλαύκου,
Ὥς κεν ἀεὶ κλέος ἄφθιτον ἔσται ξεινοσυνάων.

Ἕκτωρ δ' ὡς ἐπέτειλε Τρωάσι ῥέξαι Ἀθήνῃ,
Βῆ ῥ' ἴμεν ὀτρυνέων καὶ Ἀλέξανδρον πολεμίζειν.
Αὐτὸς δ' Ἀνδρομάχην τε καὶ υἱέα Ἀστυάνακτα
Ἀρτιφρόνων πραπίδων ἀγανοῖς βουλεύμασι θέλξας
Ῥώετ' ἀπὸ πτόλιος σὺν Ἀλεξάνδρῳ ποτὶ χάρμην.
  Ἔνθ' ἄρ' Ἀλέξανδρος μὲν ἔπεφνε Μενέσθιον ἔγχει,
Ἕκτωρ δ' Ἠιονῆα, Ἰφίνοον δὲ Γλαῦκος·
Αἴας δ' ἐκ προκλήσιος Ἕκτορι δῆριν ὀρίνας
Νικήσας νίκης ἐριγήθεος εἵλετο δῶρα,
Νῶτα βόος μεγάλοιο, τά οἱ τότε δῶκεν Ἀτρείδης.
  Ὦ σχέτλιοι μέροπες, κακοφραδέες ἀγριόθυμοι,
Οἳ νείκους μὲν τίετε εἴδωλ' Ἐμπεδοκλείου,
Χωλούς τε ῥυσσούς τε παραβλῶπάς τ' ὀφθαλμὼ
Ἀνέρας ἡμιθέους δὲ τοίοις τίετε δώροις,
Ἢ βόος ἢ οἴος ἢ ὄρνιθος μελέεσσιν,
Οἷσι κἀμὲ καὶ ἄκων δειδίσκετο οὔλιος ἀνὴρ,
Ὧι πρὶν ἐγὼ θήτευσαι κατηφῶν Ἰσαάκιος,
Ἡ δ' ἄλοχος κείνου περικερδὴς, ἀγκυλόβουλος
Δειδιότες ἀκὴν ἀγέρωχον, καλλιέπειαν
Τίμων δ' ἀφρονέοντες, ὅσοι τοῖς αἴσχεα ἦσαν,
Λεπροὶ, ψεδνοκάρηνες, ἄϊδριες, ἄχθεα γαίης,
Οὕνεκα τῇ πείθοντο παρὰ κρυφίοις λεχέεσσιν,
Οὐδ' ὡς ἄλλοι ἀνήνανθ' οἱ περιώσιον ἄσθεν,
Καὶ ἐσθλοί περ ἐόντες, σωφροσύνῃ δ' οὐ χραῖσμεν.
Ἀλλά νυ τοῖσι Δίκη καὶ ὑστάτιόν περ ἀρήξει,
Αὐτὰς δ' αὖ ὀλέσει, πολυεύνους, κλεψιγαμούσας,
Χρυσόκερώς τε πόσεις, οἳ λώϊα οὐχ ὁρόωντες,
Πειθόμενοι δολίῃσιν ἑαῖς ἐχίδναις ὁμολέκτροις,

*Τούτων μὲν κυδαίνουσι κρυφίους ὀαριστὰς,*
*Καὶ λεπροὺς περ ἐόντας, ἀΐδριας, ἄχθεα γαίης·*
*Ἀνέρας ἡμιθέους δὲ, ἀριπρεπέας περὶ πάντας*
*Καὶ γενέῃ καὶ εἴδεϊ ἠδὲ λόγοισι καὶ ἔργοις,*
*Οὕνεκεν οὐ κακοί εἰσιν ἀτίουσ' ἀφρονέοντες.*
*Ὡς τότ' Ἀτρείδης, οὐδὲ νόσῳ ῥᾳστίων ἄλλους,*
*Αἴαντα ταύροιο βοὸς νώτοισιν ἐτίμα,*
*Ἕκτορα, μέρμερον ἐχθρὸν, νικήσαντ' ἐνὶ χάρμῃ.*
*Ἀντήνωρ δ' Ἑλένην φάτο δοῦναι Τρῶας Ἀχαιοῖς*
*Μὴ δ' εἰκαῖα μάχεσθαι, ὅρκια δηλήσαντες,*
*Δῶρα δ' Ἀλέξανδρος φάτο, οὐχ' Ἑλένην ἀποδοῦναι.*
*Ἰδαῖον δὲ Τρῶες ἐπ' Ἀργείους ἐφέηκαν,*
*Εἰπέμεναι τάδε, ὥς τε νεκροὺς ἐάσειαν θάψαι.*
*Οἱ δὲ τάδ' οὐκ ἔθελον, ἄμφω δὲ νεκροὺς κτερέϊξαν.*
*Καὶ νηῶν ἔρυμα, πυργοὺς, ποίησαν Ἀχαιοί,*
*Νέστορος ἐν βούλαισιν· ὁ γὰρ περὶ οἶδε νοῆσαι.*
*Ζεὺς δὲ τότ' οὐρανὸς, ἀργυφέας νεφέλας στυφελίζων,*
*Βρόντα χωόμενος, κακὰ δ' Ἀργείοισιν ἐδείκνυ.*
*Κυδιόων δ' ἀγόρευε θεοῖς κρατερώτατος εἶναι,*
*Οὕνεκεν οὐρανοῦ ἐν κινήσει πάντα φορεῖται.*
*Ἀργεῖοι δὲ Τρωσὶν ὑπέτρεσαν ἡττηθέντες.*
*Νέστορα δ' Ἕκτορος ἐξεσάωσεν ἄναξ Διομήδης,*
*Κτεῖνε γὰρ Ἕκτορος ἡνίοχον ταχὺν, Ἠνιοπῆα.*
*Αὖθις δ' αὖτ' Ἀγέλαον ἔπεφνε τάφροιο ὀρούσας,*
*Αἰετὸν ὡς ἐνόησε νεβρὸν ῥίψαντα ἔραζε.*
*Πέφνον δ' ἄλλοι ἄλλους Ἀργείων βασιλῆες·*
*Τεῦκρος δ' αὖτε δέκα κτείνας τόξοιο βαλὼν . . . .*
*Ὑστάτιον βλήθη λίθῳ Ἕκτορος, ἤχθη δ' ἐς νέας.*

Τρῶες δ' Ἀργείους ἔλασαν παρὰ τάφρον Ἀχαιῶν.
Ἀλλ' ὅτε τοὺς ἀπέπαυσε νὺξ ἀνδροκτασιάων,
Καίοντες πυρὰ φεύγειν ἀπόεργον Ἀχαιούς.
Χίλια ἦν πυρὰ, πεντήκοντα δὲ ἄνδρες ἑκάστῃ.
Ὣς ἐφύλασσον Τρῶες· Ἀχαιοὶ δ' αὖτε δαμέντες
Πρέσβεσι Πηλείδην λιτάνευον· ὁ δ' αὖτ' ἀπέειπεν.
Τυδείδης δ' Ὀδυσεύς τε κατάσκοποι ἦκον Τρώων,
Κτείναντες δὲ Δόλωνα, δυώδεκα Θρῆκας, Ῥῆσον,
Αὖτις ὑπέστρεφον, ἵππους Ῥήσου τοῖο λαβόντες.
Αὐτὰρ ἐπεὶ ἁγνὸν ἐξεφάνη φῶς Ἠριγενείας,
Πολλοὺς κρείων Ἀτρείδης καταέκτανε Τρώων.
Καὶ τότε τὸν ἀπέπαυσε Κόων, δορὶ χεῖρα τορήσας,
Σῶκος δ' αὖτ' Ὀδυσῆα, τὸν Αἴας ἐξεσάωσεν.
Αὐτὰρ Ἀλέξανδρος κεραελκὲς τόξον ἐρύων
Τυδείδην βάλεν ἠδὲ Μαχάονα Εὐρύπυλόν τε.
Νέστωρ δ' ὡς φορέεσκε Μαχάονα ἰητῆρα,
Πάτροκλον ἧκεν Ἀχιλλεὺς ἐξερέοντα, τίς εἴη.
Ὃς δὴ Νέστορος ἐκ κλισίης παλίνορσος ὀρούων,
Εὐρυπύλου βεβολημένου ἄγριον ἕλκος ἀκεῖτο.
Τεῖχος δὲ Τρῶες Δαναῶν ἕλον, οἱ δὲ φέβοντο.
Τοὺς δ' Ἐνοσίχθων Ἀργείους ἐσάωσε Ποσειδῶν,
Πολλὰ δ' ἀπ' ἀμφοτέρωθε καρήατα πίπτεν ἔραζε.
Καὶ τότ' Ἀτρείδης καὶ Νέστωρ σὺν τραυματίαισιν
Ἐς πόλεμον κατέβαινον· ἐρίβρομος ἦν γὰρ ἰωή.
Ἥρη, λεπταλέος δ' ἀὴρ πυρόεις, ἀνορούσας,
Κράσιος, Ἀφροδίτης, παντερπέα κεστὸν ἑλοῦσα,
Ὀμβροφόρων νεφελῶν ἀνεμώδεας ἤλασεν ὁρμὰς,
Εἶδαρ δ' ἀνθεμόεν ποιητρόφον ἐξεφαάνθη,
Πάμπαν δ' οὐ κατάεσχε, μετάτροπος ἤθελε δ' εἶναι,

Τοὔνεκα λάθριον Ἥρῃ κοίτην φημίξαντο,
Ὕπνον δὲ Ζηνός. Νίκων δὲ Τρῶας Ἀχαιοί,
Αἴας δ᾽ Ἕκτορα χάρμης παῦσε λίθου ὑπ᾽ ἐρωῆς.
Κραιπνοσύνῃ δὲ ποδῶν Λοκρὸς ἔκτανε νήριθμον ὄχλον.
Αὐτὰρ ἄρα Ζεὺς ἐγρόμενος κακὰ τεῦξεν Ἀχαιοῖς.
Ἕκτορα γάρ τ᾽ ἀνέγειρε βεβλημένον, αἷμ᾽ ἐμέοντα,
Ὃς πολέας ὀλέσας νέα πρῆσε Πρωτεσιλάου.
Καὶ τότ᾽ Ἀχιλλεὺς Πάτροκλον ἧκεν ἀμῦναι Ἀχαιοῖς
Ὃς πολέας ὀλέσας, Σαρπηδόνα τε Διὸς υἱὸν
Ὕστατον αὐτὸς ὑφ᾽ Ἕκτορος ἔκθανεν ἀνδροφόνοιο.
Αὐτὰρ δὴ Μενέλαος χρυσοκόμην κατέπεφνεν
Βουκολίδην Εὔφορβον, Ἀβαρβαρέης φίλον υἱόν.
Ἀργαλέου πολέμου γεγαῶτος δ᾽ ἀμφὶ Πατρόκλῳ,
Ἀντίλοχον πέμπουσιν Ἀχιλλῆϊ ἐρέοντα.
Ὃς δέ γε λυγρὴν ἀγγελίην τοίην ἐπακούσας,
Ἤϊεν ἐς πόλεμον καὶ ἤγαγε νεκρὸν ἑταῖρον.
Ταῦτ᾽ ἄρα μῆνις ἔτευξε βαρύφονος Αἰακίδαο,
Ἣν Παλαμήδεος εἵνεκα μήνιεν Ἀργείοισιν·
Τήνπερ Ὅμηρος ἔφησεν οὗ εἵνεκα εἶπε γενέσθαι,
Οὐκ ἐθέλων Δαναοῖς κακὸν αἶσχος τοῖον ἰάψαι,
Οὗ χάριν οὐδ᾽ ἐπέεσσιν ἑοῖς ὕμνησε τὸν ἄνδρα.
Ταῦτ᾽ ἄρα μῆνις ἔτευξε μέχρι καὶ Πάτροκλον εἷλεν.
Αὐτὰρ ἐπεὶ βαρύμηνιν ἔπαυσε χόλον Πηλείδης,
Ἀτρείδης ἐσπείσατο· σὺν δ᾽ ὅπλα χρύσεα τεύξας,
Ἤϊεν εἰς πόλεμον, πολέας δὲ Τρώων πέφνεν,
Αἰνείᾳ δὲ καὶ Ἕκτορι φύζαν ἀναλκίδα ἧκε.
Τοὺς δ᾽ ἄλλους ἐδάϊξε παρὰ Ξάνθοιο ῥέεθρα,
Ποινὴν δ᾽ ἄρ᾽ Πατρόκλου ζῶντας δυοκαίδεκα εἷλεν.

Ὡς ὅγε τοὺς ἐδάϊξε παρὰ Ξάνθοιο ῥέεθρα.
Οἱ δ' ἄλλοι ἐδύοντο ποτὶ πτόλιν ἔνδοθι τείχους,
Ἕκτορα δ' οἶον μοῖρα πυλάων ἐκτὸς ἔερξε·
Τὸν δ' Ἀχιλεὺς κατέπεφνε καὶ ἅρματι εἵλετο δήσας.
Ἄνδιχα δ' ἐξερέουσιν, ὅπως θάνεν ἄρεϊ Ἕκτωρ.
Οἱ μὲν γὰρ προπάροιθε πυλάων φασὶν ὀλέσθαι,
Ἀντία Πηλείδαο δαΐφρονος ὁρμήσαντα,
Πληγὴν ὀβριμόεσσαν ἐπ' ἀσφαράγοιο λαβόντα.
Τῶν δ' ἄρα θυμὸς ἀγήνωρ οὐκ ἐπέεσσιν ὑπείκει,
Ὡς αὐτοσταδίῃ Πηλείδης Ἕκτορα πέφνεν.
Ἀλλ' ἄρα καρτερόθυμον ἀμαζόνα Πενθεσίλειαν
Ἐρχομένην φάσκουσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι.
Νυκτὸς ἀνὰ κνέφας ἐξελθὼν Ἕκτωρ [οἱ] ὑπήντα·
Ἀνδράσι σὺν ὀλίγοις δὲ πόρον περόωντα Σκαμάνδρου
Ἔκτανε Πηλείδης, ὀπιπτεύσας ἐν ξυλόχοισιν,
Ἠοῦς δ' αὖτε πρὸ ἄστεος ἐκ δίφρου ἕλκε ποδοῖιν,
Πηῶν ἠδὲ φίλων προπάροιθε κεδνῶν τε τοκήων,
Τρώων Τρωϊάδων τε ἰδὲ κλειτῶν ἐπικούρων,
Οἳ μέγα δὴ γοάασκον ἀπὸ πύργων ὁρόωντες.
Τόσσον δ' αὖτε πολύθροος ὤρετο τοῖσιν ἰωή,
Ὡς οἰωνοὺς ἠέρι ἐν ταναῇ δονέεσθαι
Φρικαλέην δεισάντας ἐρίβρομον ἄγριον οἴμην·
Ῥίγια δὲ κλάγγαζον ἐνηερίοις στομάτεσσιν,
Ῥιπῇ ἐνὶ πτερύγων φρικώδεα δοῦπον ἱέντες.
Γηθόσυνοι δ' ἑτέρωθεν Ἀχαιοὶ ἀντεπίηχον.
Καὶ τότε Τρῶες κλήϊσαν Ἴλιον ἠνεμόεσσαν.
Ἀλλ' ἄρα καὶ μορφὴν κλυτοῦ Ἕκτορος ἐξερεείνω·
Ψελλὸς ἔην, ἠΰς τε, μέγας, μέλας, ὀμβριμόφωνος,

Εὖριν, ἠϋγένειος, ὀλόθριξ, κυανέθειρος.
Τοῖος ἐὼν πέσεν, ἤκαχε δ' αὖτε Τρῶας ἅπαντα.
Πηλείδης δὲ Πάτροκλον ἑὸν κτερέϊζεν ἑταῖρον·
Ἄθλους αὖτε ἔθηκεν, ἀεθλοῦσι καὶ ἄεθλα,
Ἔξοχα Πριαμίδαο κεχαρμένος Ἕκτορος οἴτῳ,
Ὃν ἔχε παρ' κλισίῃσι δυωδεκάτην ἐπὶ ἠῶ,
Νεκρὸν ἀεικίζων· ὣς γὰρ Διὸς ἤθελεν αἶσα.
Ἀλλ' ὅτε δὴ τρὶς καὶ δεκάτη θέλεν ἔλθεμεν ἠώς,
Αὐτίκ' ἄρα μέγαν οὐρανὸν ὦρσε φερέσβιος Ἥρη,
Ἔκμονος ἀκαμάτοιο ἑὸν γόνον ἐμπεδόμοχθον,
Ὑψοῦ ὑπὲρ γαίης ἐξ ὠκεανοῖο φορεῖσθαι·
Νὺξ δ' ἀέκουσα θεὰ κρονιῒς ἀπέβαινε κελεύθου,
Ὀψομένη Τιτῆνας ἀμειδέας ἠερόεντας·
Ἠὼς δ' αὖτ' ἀνέβαινεν ἀπὸ Κρόνου ἐς Διὸς οὖδας.
Ἔχθρα γὰρ ἀλλήλοισιν ἀνάρσιος ἔπλετο τῇσιν,
Οὐδέποτ' εἰσορόωσιν, ἀποστροφέουσι δ' ὀπωπάς,
Οὐδέποθ' ἓν μέγαρον κατέρυξεν εἰς ἓν ἰούσας.
Οὕνεκα Νὺξ κροκόπεπλον ἐγείνατο Ἠριγένειαν,
Ἡ δὲ χαλιφρονέουσα ἀείρεται εἴδεϊ καλῷ.
Οὐδ' ἄρα θρέπτρα δίδωσιν ἀμείλιχα ὥσπερ ἐῴκει·
Ὀργὴ δ' ἀμφοτέρῃσι πανάγριος ἔμπεσε τοῖα.
Τοὕνεκα Νὺξ κατέβαινε ποτὶ Κρόνον ἠερόεντα,
Κούρη δ' Ἠριγένεια Διὸς ἐπέβαινε μελάθροις.
Σὺν δ' ἄρα Ἠελίοιο ἁλιτρεφέος σθένος ἠῢ
Ἤλυθε κυδιόων πᾶσι μακάρεσσι φαείνων.
Δαίνυντο γὰρ κατὰ δῶμα Ποσειδάωνος ἄνακτος.
Γήθησαν δὲ θεοὶ καὶ ἴανθεν τόνδε ἰδόντες.
Καὶ τότε μὲν Πρίαμος, θνητῶν πανάποτμος ἁπάντων,

Ἐκ κονίης ἀνεγείρεθ᾽, ὅπη κατὰ ὕπνος ἔπεσχεν,
Ἕκτορα μυρόμενος ἠΰν γόνον Ἀστυάνακτα.
Ἤιτεε δ᾽ ἐλθέμεναι μετὰ υἱέος ἀνδροφόνοιο·
Ὧδε γάρ οἱ θυμὸς περὶ οἷς μελέεσσιν ἐτόλμα,
Ἠὲ κάρη ῥύσασθαι Ἕκτορος ἀνδροφόνοιο,
Ἠὲ καὶ αὐτὸν χερσὶν ὑπ᾽ Αἰακίδαο δαμῆναι.
Παῖδες δὲ καὶ Τρῶες ἐρήτυον ἔνδοθι πύργων.
Ὡς δ᾽ εἶδον ὀφθαλμοῖς δεξιὸν αἰετὸν ὄρνιν,
Εἴασαν ἐλθέμεν, ἡμιόνους ζεῦξάν τ᾽ ἀπήνῃ.
Τῇδ᾽ ἐπὶ Ἑκτορέης κεφαλῆς λύτρα θῆκαν, ἑλόντες
Κόσμον ἀπειρέσιον, δέκα δὲ χρυσοῖο τάλαντα.
Καὶ τότε Τρωϊάδων πυλέων πετάσαντες ὀχῆας,
Πανσυδίῃ γοόωντες πρὸ Πριάμοιο ἔβαινον.
Αὐτὰρ ἐπεὶ γοόωντες ἕρκεα τάφρου ἔβησαν,
Λαοὺς μὲν ποτὶ πύργους τρέψε βίη Πριάμοιο,
Μοῦνον δ᾽ Ἰδαῖον λάβεν ἡμιόνων ἐλατῆρα.
Ὃς δὲ γυιοτρομέων τὲ καρηβαρέων τὲ κάρηνον
Ἐν κονίῃ κεφαλὴν μεμορυγμένος εἵνεκα πένθους,
Οἴκτρ᾽ ὀλοφυρόμενος πεζῇ κατὰ οἶμον ἔβαινε.
Τοῦδε Πολυξείνη παῖς, ἀγλαὸν εἶδος ἔχουσα,
Χεῖρ᾽ ἔχε δεξιτερὴν καὶ ἐπορθεύεσκε πορείην.
Σὺν δέ οἱ Ἀνδρομάχη ἐπιέσπετο δακρυχέουσα,
Νηπιάχους ἐρύουσα γοῶντας Ἕκτορος υἷας,
Δοιὼ ἀδελφεὼ, Ἀστυάνακτά τε Λαοδάμαντα.
Οἱ δ᾽ ὅτε δὴ κλισίῃσιν Ἀχαιῶν μίχθεν ἰόντες,
Ἀργείους λιτάνευον ἐνὶ κονίῃσι πεσόντες,
Πεισέμεν Αἰακίδην, ὄφρ᾽ Ἕκτορα λύσῃ ἀποινῶν.
Καὶ τότε γηραλέοι βασιλῆες ἔρυξαν Ἀχαιῶν
Ὄμματα, πὰρ Πηλείδου ἀολλέας εἰσαγάγοντες.

Τοὺς ᾤκτειρεν ἰδὼν, εἰ καὶ μάλα χαλκεόθυμος,
Οἰκτρὰ κυλινδομένους γε παραὶ ποσὶ μυρομένους τε.
Πρῶτα γάρ οἱ Πρίαμος κυλινδόμενος προσέειπε.
Ὄβριμε Πηλείδη μεγαλήτορα θυμὸν ἐπίσχες,
Αἴδεο δ' οὐρανίωνας οἳ περὶ πάνθ' δρόωσι·
Φείδεο μοὶ γήρως, λευκόχροά τ' αἴδεο χαίτην.
Οἴκτειρον μὲ γέροντα βροτῶν βαρύποτμον ἁπάντων.
Πεντήκοντα μοὶ υἱέας εἷλες καρτεροθύμους,
Ἀλλ' οὐ τόσσον φίλεον οἷά περ Ἕκτορα δῖον.
Γουνοῦμαι νεκρὸν ὄντα τὸν Ἕκτορα λῦσον ἀποίνων,
Μὴ δὲ ῥέθη δροσόεντα παραὶ κυσὶν ὠμὰ βάλησθα.
Δὸς δὲ Τρωιάσι Τρωσί τε ὄφρα ἑ πένθον ἐνείκω.
Τοῖα μέν οἱ Πρίαμος προσεφώνεε Δαρδανίδης
Αὐτὰρ ἔπειτα δάμαρ κλυτοῦ Ἕκτορος ἱπποδάμοιο,
Πυκνὰ μάλα στενάχουσα καὶ ἄσπετα μυρομένη γε,
Ἦκα παρακλίνασα κάρη χαριέν τε πρόσωπον,
Λεπταλέοις μύθοισιν ἐλίσσετο ἀνδροφονῆα,
Καί μιν λισσομένη προσεφώνεε ἄγριον ἄνδρα·
Αἰακίδη μεγάθυμε, θεῶν ἐπιειμένος εἶδος,
Οἴκτειρόν με, ἄναξ, καὶ ὄρφανα τέκνα τοκῆος,
Ὅς κλέος ἦν Τρώεσσι, τὸν ἔκτανες ἔγχεϊ θύων.
Οἴκτειρον πασῶν βαρυδαίμονα θηλυτεράων,
Ἥι πόρεν ἄλγεα λυγρὰ θεῶν νόος οὐρανιώνων,
Λυγρὰ καὶ στονόεντα καὶ ἐσσομένοισιν ἀκοῦσαι·
Ἀλλὰ τίη σοὶ ταῦτα ἀκηχεμένη ἐρεείνω;
Οἴκτειρόν με, ἄναξ, καὶ ἀνάρσιος εἰ τελέθεις περ.
Δὸς νέκυν Ἕκτορα, δός μοι, ὅπως τάφου ἀντιβολήσῃ
Ἑπτὰ πρίν μοι ἀδελφειοὺς ἐσθλόν τε τοκῆα
Κτείνας, οὐ δ' ἐνάριξας, σὺν δ' ἄρα τεύχεσι θάψας,

Οὐ μὲν λύτρα λαβὼν, σὺν δ' αὐτῇ ἀρετὴν ἀναφαίνων.
Ἣν καὶ νῦν, Ἥρως, ἐπὶ Ἕκτορι δείκνυσο ἄμμι,
Παισὶ δὲ τοῖο δέμας ἐπὶ δώροισι χαρίζευ,
Ὄφρα ἓ τυμβεύσωσι, μέγα περὶ σῆμα βαλόντες,
Σῆς ἀρετῆς τόδε τεύξαντες κλέος ὑστατίοισιν.
Ὣς φάτο λισσομένη ἐσθλὴ πάϊς Ἠετίωνος.
Ἑκτορίδαι δ' ἑτέρωθεν δάκρυον ἀγλαόμορφοι,
Μητέρα δακρυόεσσαν λισσομένην ὁρόωντες,
Μνησάμενοί τε τοκῆος, ὅθ' Ἕκτορος οὔνομ' ἄκουον,
Νηπιάχων βλεφάρων δὲ περίφρονα δάκρυα χεῖτο.
Δάμνα δ' ἄρ Αἰακίδαο νόον καὶ ἀμείλιχον ἦτορ.
Τοὺς γὰρ ὁρῶν ἐλέαιρε καὶ ἔνδοθι τείρετο θυμῷ,
Εὐγενέων γὰρ δάκρυον ἄγριον ἄνδρα δαμάζει.
Χροτὶ δ' ἐρευθιόωντι καὶ ἄχροος ἔμπεσεν ὦχρος,
Δάκρυα δ' αὖ κατέκρυπτε καὶ ἐν βλεφάροισιν ἐδάμνα.

* * *

Ἠέρι ἐμπελάσειε νεφῶν πυκνότης ἀπρούπτων,
Τόνδε τε ὦκ' ἀπέκρυψε καὶ ἔσβεσεν εἴδεος αὐγὴν,
Ὠχριόων δ' ὁράαται ὑπαὶ νεφέων ἐριδούπων,
Ὄμβρον ἄγων ἀλίαστον ἐπὶ χθόνα χαλκοθέμεθλον·
Ἲς δ' ἀνέμου βρομέοντος ἀπήλασεν ἄγριον ὄμβρον·
Ὣς τότε ὠχριόον κατεφαίνετο κῆρ Ἀχιλῆος,
Στυγνὰ δὲ λειριόεντα ἐείδετο ὄμματα τοῖο,
Πένθεϊ τειρομένου περὶ πένθεϊ Ἑκτοριδάων·
Δάκρυα δ' αὖ βλεφάρων καὶ ἐπεσσύμενα προχέεσθαι
Θυμὸς ἀπεσκεδέασκε καὶ αἰόλα μήδεα φωτός.

Ὡς ὁ μὲν ἐν βλεφάροισιν ἑοῖς ἐπὶ δάκρυα κεῦθε.
Παρθένος ἁβροχίτων δὲ Πολυξένη ἔννεπε τῶδε,
Ποσσὶν ἐπ' εὐτραφέεσσιν ἑλισσομένη περιπλέγδην·
Ὦ Ἀχιλεῦ, ἐλέαιρε καὶ ἄγριον ἦτορ ἐπίσχες·
Αἴδεο τόνδε γέροντα, ἐμὸν γενέτην βαρυπένθεα,
Οἰκτρὰ παραὶ προπόδεσσι κυλίνδεται, ἔστι δὲ ἄναξ,
Γυῖα ὑποτρομέοντα παλαίχρονα, τοῦδ' ἐλεαίρων
Υἱέα καρτερόθυμον ἀφ' Ἕκτορα λῦσον ἀποίνων,
Λῦσον ἀποίνων Ἕκτορα, πρὸς δέ με λάμβανε δούλην,
Σῇσιν ἐνὶ κλισίῃσι παρ' ἄλλαις δμωϊάδεσσιν.
Ὣς φάτο μειλιχίοισιν ὀδυρομένη περὶ κῆρι.
Τοὺς δ' Ἀχιλεὺς ἐλέαιρε, γέροντα δ' ἐλάζετο χειρὸς,
Καί μιν ἐφεδριάασκεν, ἐπ' ἠρέμα δάκρυον εἴβων.
Πολλὰ παρηγορέων δὲ καὶ εἴδατα πεῖσε πάσασθαι·
Ὃς δὲ ἐπείθετο, δαῖτα δ' ἐλάμβανε, εἴτε καὶ ἄκων.
Ἀλλ' ὅτε δὴ δαίσαντο περὶ ξενίαισι τραπέζαις,
Ἐξέθορε κλισίης Ἀχιλεὺς, Πριάμου δ' ἀπ' ἀπήνης
Χρυσὸν ἄρ' εἷλε καὶ ἄργυρον Ἑκτορέων ἀπὸ λύτρων.
Ἄλλα δὲ δῶρον ἔδωκε Πολυξένῃ οἴκαδ' ἀγέσθαι,
Μνῆμα γάμοιο ἑοῦ καὶ Ἀχιλῆος μεγαθύμου.
Οὐ γάρ οἱ ἔλπετο θυμὸς ἀπὸ πρὸ γάμοιο δαμῆναι,
Τήνδε τε σήματι τοῖο ὑπ' ἄορι θυμὸν ὀλέσθαι.
Ἀλλ' ὅτε πάντα ἔρεξε καὶ Ἕκτορα θῆκεν ἀπήνῃ,
Ἤρετο Δαρδανίωνα· Ποσῆμαρ φύλοπιν ἴσχω;
Ἕκτορ' ὅπως γοάοιεν ἀταρβέα δακρυχέοντες.
Αὐτὰρ ἐπεὶ ἐσάκουσε καί οἱ ὑπέσχετο πάντα,
Αὐτὸς μὲν κλισίην εἰς ἔνθορε δῖος Ἀχιλλεύς.
Τοὶ δὲ ποτὶ Τροίην ἀδινὰ στενάχοντες ἔβαινον.
Ἀλλ' ὅτε δὴ Τροίηθεν ἐφαίνετο κύδιμος Ἕκτωρ,

Νεκρὸς ἐπ᾽ ἀπήνης περόων Ξάνθοιο ῥέεθρα,
Πρώτη Τρωϊάδων Κασσάνδρη φοιβὰς ἰδοῦσα
Κόσμον ἅπαντ᾽ ἀπὸ κρατὸς ἔχευεν, ἔλυσε δὲ χαίτας.
Πάντη δ᾽ ἔνθα καὶ ἔνθα ἑλισσομένη περὶ πύργους,
Πυκνὰ κόμην τίλλουσα τοῖον ἐπήρχετο μῦθον·
Τρωϊάδες βαθύκολποι Τρώων τ᾽ ἄσπετα φῦλα,
Γλῶσσα πολυσπερέων τε δουρικλυτῶν ἐπικούρων,
Δεῦτέ μοι ἐκ πυλέων τε καὶ ἐκ πύργων ὁρόωντες,
Πένθος ἄλαστον τοῖον ἐνὶ φρεσὶ θέσθε ἑῇσιν.
Ἕκτωρ, ὃς πρὶν ἐρύετο Ἴλιον ἀγλαόπυργον,
Ἠδ᾽ ἀλόχους Τρώων κεδνὰς καὶ νήπια τέκνα,
Ὃς κῦδος Τρώεσσιν ἔην κλυτοῖς τ᾽ ἐπικούροις,
Αἵματος ἐξ Ἀργείου Τρώων γαῖαν ἐρεύθων,
Οὗ κλέος δ᾽ ἀνθρώποις οὐδ᾽ ὑστατίοισιν ὀλεῖται,
Νεκρὸς ἐπὶ Τροίην ἐπ᾽ ἀπήνης ἔρχεται, οἴμοι.
Ὣς ἡ μὲν στενάχιζε θεοπρόπος ἐκβοόωσα·
Λαοὶ δ᾽ οἱ μὲν ἔβαινον ἐπ᾽ ἀκροπόλει περὶ πύργους,
Τλησίπονοί τε γέροντες, γραῖαι δ᾽ αὖτ᾽ ἐπὶ τοῖσι,
Καὶ κοῦραι καὶ νύμφαι, παιδογόνοι τε γυναῖκες.
Ἀλλ᾽ ὅτε πλῆθος ἔβαινον ἐπεστείνοντο δὲ πύργοι·
Μητράσι δ᾽ ἅμ᾽ ἀνέβαινε κατηφέα νήπια τέκνα
Ἀρτίπυδος βάσεως τρομερὸν γόνυ δινεύοντα·
Ἄλλα δ᾽ ὕπαὶ μαζοῖσιν, ἐμύρετο δὲ καὶ ταῦτα.
Ὣς οἱ μὲν περὶ πύργους βαῖνον δακρυχέοντες.
Οἱ δ᾽ ἄλλοι ἐχέοντο πανιλαδὸν ἔξω τείχους.
Καὶ τότε Τρωϊάδων βασιλήϊα φῦλα γυναικῶν
Ἀμφ᾽ Ἑκάβην ἀγέροντο καὶ ἔστενον ἄλλοθεν ἄλλη.
Ἀγχίσου Ἀγαμήδη, ἀδελφεὴ Αἰνείαο,
Φρόντις, Ἀβαρβαρέη, Θεανώ, Κλυτίοιό τ᾽ ἄκοιτις

Λαοθόη, Οἰνώη, ἄλλαι Τρωϊάδες τε.
Νύμφαι τὲ Πριάμοιο εὐγενέες πάρα πᾶσαι,
Σὺν δ' Ἑλένη τανύπεπλος ἐφέσπετο δακρυχέουσα,
Τέτρασι σὺν τεκέεσσιν, Ἀλεξάνδροιο γενέθλης·
Βουνίκῳ, Κορίθῳ τε καὶ Ἀγάνῳ Ἰδαίῳ τε.
Κασσάνδρη δ' ἑκάτερθ' Ἑκάβης καὶ Λαοδίκεια
Τήνδε ποδοσφαλέουσαν ἀειροῦσαι κατὰ κόσμον,
Ἡδὲ μὲν οἷα νέκυς κάρη ἤμυεν ἔνθα καὶ ἔνθα.
Τῆς δ' αὖτε προπάροιθεν υἱέες ἕνδεκα βαῖνον·
Αἴσακος ἠδ' Ἕλενος, Πάμμων, Πάρις, Ἀντίφονός τε
Ἱππόθοος, Ἀγάθων τε Πολίτης Δηΐφοβός τε,
Σὺν δ' ἄρ' ἀγανὸς Τρωΐλος αὖτ' ἐπὶ τοῖσιν ἐπῆεν,
Οἳ φύγον Αἰακίδαο βίην, ζῶον δ' ἄχρι καὶ τότε.
Οἶος ἀπῆν Πολύδωρος νήπιος, ὢν ἐνὶ Θρήκῃ.
Οἱ δ' ὅτε δὴ πέλας ἦσαν ἀπήνης Ἑκτορέοιο,
Πάντες ἐπ' ἀσκεπέες καὶ ἀκρήδεμνοι κατέπιπτον,
Μυρόμενοι γοόωντες, ἀνέρες ἠδὲ γυναῖκες.
Ὣς Τρώων βασιλῆες μυρόμενοι στονάχιζον,
Ἐς πεδίον καταβάντες, ὅθι νέκυς Ἕκτορος ἦεν.
Σὺν δὲ μέγας ἀπὸ πύργων ὦρτο γέρων ἀλαλητός,
Νηπίαχος δ' ἑτέρωθεν ἐπέβρεμεν ἄπλετος αὐδή,
Τοῖς δ' ἐπὶ θῆλυς ὁμαρτῇ ἄλλοθεν ἴαχε κραυγή.
Στέναξαν δὲ πολύθροα ἔθνεα πάντ' ἐπικούρων.
Ἵπποι δὲ χρεμέθοντο πανείκελα δακρυχέουσιν.
Ἥμερα δ' αὖτε κτήνεα, ὅσσα βροτῶν ὑποεργὰ
Πάντῃ ἐπεστροβέοντο, ἀτυζόμενα γόῳ ἀνδρῶν.
Βόμβος δ' ἦν αὐτῶν ὡς μυρομένοισιν ὁμοίων.
Ἴαχε καὶ Σκάμανδρος, Νύμφαι τ' ἔβραχον Ἴδης.

Ἕλλη δ' αὖτ' ἐβόησεν· ἐπέγρετο βόμβος ἁπάντη.
Πένθεϊ δ' ἐν νεφέεσσιν ἐδύσατο Φοῖβος Ἀπόλλων
Ἠρέμα δάκρυσε καὶ Ζεὺς, μῦρε δὲ γαῖα πελώρη.
Δεῖσαν δ' ὅσσοι ἔσαν ἀπάτερθεν ἀγάστονον ἠχὴν,
Τόσσος δοῦπος ἔην, ὁ Μέτων ὁπόσον γε ἀείδει
Ὑστατίοις γεγάμεν ἐνὶ ἤμασι τέρματι κόσμου·
Ἑπτὰ θεοὶ μεγάθυμοι ὅταν Κρόνου οἶκον ἵκωνται,
Ὑδροχόον, σκοτόεντα· δονήσει δὲ Κρόνος αὐτοὺς,
Δινήσει δ' ἄρα πάντα, Διὸς βασίλειαν ἀείρων,
Πάντα κατακρύψῃ δ' ἐνὶ ἄχλυϊ εὐρυβερέθρῳ·
Τόσσος μυρομένοισι Τρωσὶ δοῦπος ἐπῆεν,
Τόσση δ' αὖ μακάρων ἰαχὴ γένετ' ἤματι κείνῳ.
Καί νύ κε νὺξ κατέμαρψε Τρῶας δακρυχέοντας,
Καί νύ κε δὴ πυλέων ἐκτὸς κατὰ ὕπνον ἕλοντο,
Τιλλόμενοι ἀμφ' Ἕκτορα, τοῖον γὰρ ποθέεσκον.
Ἀλλ' ἄρα μιν Πρίαμος ποτὶ Τροίην ὦρσε νέεσθαι.
Αὐτὰρ ἐπεὶ ἐσέχυθεν ἐπὶ πτόλιν ἀμφί τε πύργους,
Κοσμήσαντες εὖ Ἕκτορα ἐν λεχέεσσι τιθέντες,
Ἐννῆμαρ γοάασκον, τοὶ δ' ἄρ' ἀγίνεον ὕλην.
Ἀλλ' ὅτε δὴ δεκάτην ἐτέλεσσαν πάντα παρ' ἠῶ,
Πολλοῖς ἐν φυλάκεσσιν ἀτειρέα χαλκὸν ἔχουσιν
Ἐκτὸς τείχους καὶ πτόλιος μέγα σῶμα κέαντες
Ἐς κάπετον κατέθεντο πελώριον Ἕκτορα δῖον.
Γαῖαν δ' αὖτε χέαντες πολλὴν ὕψόσ' ἄειραν,
Καλὰ δὲ λαΐνεα ποτὶ τύμβον ἀγάλματα θῆκαν.

Τέλος τῶν Ὁμηρικῶν.

# ἸΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ
## ὙΠΟΘΕΣΙΣ
## ΤΩΝ
# ΜΕΘΟΜΗΡΙΚΩΝ.

Αὐτὰρ ἐπεὶ ποίησαν ὑφ᾽ Ἕκτορι ὅσσα ἐῴκει,
Αὖτις ὑπὸ πτόλιν εἰσβάντες δαίσαντο ἀνάγκῃ.
Κλεῖθρα δ᾽ ἐπὶ πύλων βάλον, εὖ δ᾽ ἐπέθεντο ὀχῆας,
Ἠρτύνοντο δὲ πύργους ἐν κρατερῇσιν ἀνάγκαις,
Ἐλπόμενοι χείρεσσιν ὑπ᾽ Ἀργείων ὀλέεσθαι.
Τοῖσι δὲ μυρομένοισιν ἀγαστόνου εἵνεκα πάτρης,
Ἠοῖ ἐνὶ τριτάτῃ ἀπὸ Θερμώδοντος ἰοῦσα
Ἦλυθε Πενθεσίλεια, κόρη μεγάθυμος Ὀτρήρης,
Ἠΰγενὴς τελέθουσα Ἀμαζονίδων βασίλεια.
Ἤλυθε δ᾽ ὡς ὁ Κόϊντος ἑοῖς ἐπέεσσιν ἀείδει
Οὕνεκα ἣν κάσιν ἔκτανεν Ἱππολύτην ἐνὶ θήρῃ,
Μῦσος ἀλευομένη, δυοκαίδεκα δ᾽ ἄλλαι ἕποντο.
Ταῦτα μὲν ὧδ᾽ ὁ Κόϊντος ἑοῖς ἐπέεσσιν ἀείδει.
Ἑλλάνικος, Λύσιας δὲ καὶ ἄλλοι ἄνδρες ἀγαυοὶ

Φὰν, ἕνεκα σφετέρης ἀρετῆς ἐπιήλυθε Τροίῃ,
Κῦδος ἀεξήσασα, ὅπως τε γάμοισι μιγείη.
Ταῖς γὰρ ἀπαίσιόν ἐστι παρ' ἀνδράσι βημέναι εὐνῇ,
Εἰ μὴ μὲν πολέμοισιν ἀριστήσωσιν ὑπ' ἄνδρας.
Τὼς μὲν Πενθεσίλειαν ἔλθεμεν οἵγ' ἐρέουσιν.
Τοὶ δ' ὑπὸ δώρων Ἑκτορέων ἐρέουσιν ἰοῦσαν.
Πυθομένην μόρον Ἕκτορος ἄψ ἐθέλειν ὑποείκειν.
Τήνδ' ὁ γέρων Πρίαμος κατέρυξεν ἐνὶ δώροις,
Πολλοὺς ἄνδρας ἔχουσαν ἀπὸ Σκυθέων κλυτοτόξων,
Πεζοὺς ἱππῆάς τε ἀρηϊφίλους τε γυναῖκας.
Ἤγαγεν ὀτραλέως καὶ ἐνδυκέως φιλέεσκεν.
'Αλλ' ὅτε δὴ ἐπέφαινε γυνὴ κατὰ Τρώϊον ἄστυ
Πάντες ὁμῶς [Τροίης] ἐξέχυθεν ἄλλοθεν ἄλλος.
Θαῦμα γὰρ εἷλεν ἅπαντας ἀρηϊφίλοιο γυναικὸς,
Τήνδ' ὁ γέρων φιλέεσκεν ἐνὶ μεγάροισιν ἑοῖσιν.
Αὐτὰρ ἐπὴν πολλοῖς ἐνὶ ἤμασι θυμὸν ἔτερψε,
Ῥῶσε δὲ ἵππων γούνατα καὶ μένος οἵ οἱ ἕποντο,
Δὴ τότ' ἐθώρηξε λαοὺς Τρώων τε καὶ αὐτῆς.
Ἵστατο δ' ἐν μέσσοισιν ἀλίγκιος ἄντα θεοῖσιν.
Τρωΐαδες δ' ἄρα πᾶσαι εὐχετόωντο γυναῖκες,
Ἕκτορος ἐσθλοῦ ποινητεῖραν τήνδε γενέσθαι
Ἀργείους ὀλέσασαν ἐπὶ δίνησι θαλάσσης.
Καὶ νύ κεν ἐξαπέφηνε τελέσφορον εὖγμα γυναικῶν·
Πολλάκι γὰρ πάρελσεν Ἀχαιοὺς κύμασι πόντου.
Ἀλλὰ Κρόνος χαλέπηνεν ἀάσχετος ἀγκυλομήτης,
Ὅς ὑπ' Ἀχαιῶν Τροίῃ ἐμήδετο λυγρὸν ὄλεθρον,
Ὅς καὶ τὴν ἀπόερσεν ἐν ἔγχεϊ Αἰακίδαο,
Καὶ κρατερήν περ ἐοῦσαν, ἀμαιμακέτην τε γυναῖκα.
Ἤτοι γὰρ τότε θωρήξασα λεών τε καὶ αὐτὴν

Τρωϊάδων πυλέων ἐξέσσυτο· χαῖρε δὲ λαὸς,
Ὡς εἶδον κατὰ κόσμον ἐπὶ στίχας ὁπλίζουσαν.
Καὶ γὰρ ὀϊστοφόρους παρὰ δεξιὸν ἕρκος ἔηκεν,
Ὁπλίτας δ' ἑκάτερθε, σιδήρεον ἔμμεναι ἕρκος.
Ἦρξε δὲ τοξοφόρων ἀνδρῶν Πάρις ἠδὲ Λυκάων,
Πρὸς δ' Ἕλενος καὶ Πάμμων, Ἱππόθοός τε ἀγήνωρ.
Δηΐφοβος δ' ὁπλίτας ἄγε Πουλύδαμας, Ἀγάθων τε,
Αἴσακος, Ἀντίφονος, Πολυήτης, πρὸς δ' ἄρ' ἀγαυὸς
Τρώϊλος, Αἰνείας δ' ἱππήϊα τάγματα εἶχεν.
Ἄσπιδες δ' αὖ ἄραρον καὶ ἔγχεα καὶ τρυφάλειαι,
Αὐγὴ δὲ σελάγιζε, σιδήρεος ἔστενε γαῖα,
Ὅπλων ὑπ' ἀράβοις καὶ ἵππων καρτερογούνων.
Ἡ δ' ἄρ' ἐν ἱππήοισι μετέπρεπε τάγμασι μέσσον
Καλὴ Πενθεσίλεια, κόρη μεγάθυμος Ὀτρήρης,
Ἀργύρεον θώρηκα πανάστερον ἐνδεδυκυῖα·
Κἀπὶ δὲ τῆς ἐπέκειτο κόρυς λιθάδεσσι φαεινὴ,
Μαρμαίρουσα λύχνῃσι καὶ ἀμεθύσοις ἐρατεινοῖς.
Αὐτὰρ γωρυτοὶ ὀσφυῖ καλοὶ, φαρέτρη τε,
Χρύσεα λαμπετόωντα ἐπάρμενα τῇδε γυναικί.
Πρὸς δὲ σάκος βριαρὸν ἐπέην λαιὴν κατὰ χεῖρα·
Ἐν δ' ἄρ' ἔην Ἄρης καὶ Ἔρως καὶ Πενθεσίλεια.
Μάρνατο δ' αὖτε Ἔρως ἴδ' Ἄρης περὶ τῆσδε γυναικὸς,
Καὶ γραπτοί περ ἐόντες ζώοις δ' αὖτε ἐΐκτην.
Ἤτοι γὰρ μὲν Ἔρως κούρην φάτο εἶναι ἑεῖο,
Ἄρης δ' αὖ ἑτέρωθε· μέση δ' ἐπείσατο κούρη,
Κάλλεϊ καὶ ἔντεσσι διακριδὸν ἀστράπτουσα.
Τῆς δ' ἄρ' Ἔρως κόρυν ἁρπάζων φιλέεσκεν ὀπωπὴν,
Ἄρης δ' αὖ ἑτέρωθεν ἐκίνεε κρᾶτα πυκάζων.

Τοίη οἱ ἐπέην ἄσπις λαιὴν κατὰ χεῖρα,
Δεξιτερῇ δ' ἔχε φάσγανον εἴκελον ἀστεροπῇσιν.
Ἕζετο δ' ἐν ἵππῳ κυανόχροϊ ἀγκυλοδείρῳ·
Τοῦ δ' ἀπὸ χαιτάων κυανόχροος εἴδετο αἴγλη.
Ὃς κούρην φορέων εὐειδέα καρτερόθυμον,
Κυδιόων ἀφρίασκεν, ἀπ' ὄμμασι πῦρ ἀμαρύσσων,
Οὐδὲ πατεῖν ἐθέλεσκεν ἐπὶ χθονὶ ἀτραπτητὸν,
Ἀλλ' ἄρ' ἐπ' αἰθερίην ἐβιάζετο οἶμον ὀρούειν.
Χαῖρε δὲ Τρώϊος ἑσμὸς ταύτην εἰσορόωντες·
Ἀργεῖοι δὲ φίλον κῆρ παχνώθησαν ἰδόντες.
Τριχθὰ δὲ κόσμηθεν καὶ οὐκ ἐθέλοντες ἀνάγκῃ.
Ἤτοι μὲν [γὰρ] Μενέλαος, Τεῦκρος, Μηριόνης τε,
Σὺν τοῖς καὶ Ἀρκεισιάδεω παῖς ἀγκυλόβουλος.
Ἔνθ' ἄρα πάντ' ἔχεσκον ὀϊστοφόρων αἰζήων.
Αἴας δ' αὖτ' ἐκόρυσσεν λαοὺς ἀσπιδιώτας,
Νέστωρ τ' Ἰδομενεὺς καὶ Ἰάλμενος ἠδ' Ἀγαμέμνων.
Ἱππῆας δὲ Μενεσθεὺς Αἰακιδάο βίη τε,
Τυδείδης δὲ καὶ ἄλλοι ἐπίδμονες ἱπποσυνάων.
Τὼς δ' ἄρα κοσμηθέντες ἐπυκνώσαντο φάλαγγας
Εὖ ἐναρηράμενοι· τὴν δ' οὐ κατέσχεθον ἔμπης.
Ταὶ μὲν γὰρ νεοτευχέες ἀδμῆτές τε ἐόντες,
Ἵπποις καρτερογούνασιν ἑζόμεναι μεγάλαισιν,
Πρὸς δέ γε Πενθεσίλειαν, ἑὴν βασίλειαν, ὁρῶντες,
Εὐσθενέως ἐλάουσαν ἐπὶ στόμα καὶ στίχας ἄνδρων,
Ἀργείους πολυτειρέας ἐν δεκάτῳ ἐνιαυτῷ,
Ἀργαλέῃ ἰαχῇ καὶ ἱππείῃ ἐν ἐρωῇ,
Δουρατέῃ τε πυκνώσει καὶ βελέῃσι χαλάζῃ
Ὦσαν, ἀπὸ δὲ λόχους κέρσαν, ἀπὸ θ' ἵππεον ἴλην.
Καὶ τότε τοὺς ἐδάϊζεν ἀάσχετα Πενθεσίλεια,

Καὶ ὅσοι οἱ ἐφέποντο γυναῖκες ἠδὲ καὶ ἄνδρες.
Πᾶν δ' ἄρα νεκρῶν ἔπλησθεν τότε Τρώϊον οὖδας.
Τίς δ' ἄρα γλῶσσ' ἐρέησιν, ὅσοι τότε πέσον Ἀχαιῶν.
Ὡς δ' ὁπότ' ἴς ἀνέμοιο ἐριβρεμετοῦ βορέαο
Ἐμπνεύσας ἀδόκητα ἐφέσπερα, χείματος ὥρῃ,
Πήγνυσιν ὕδατα λευκὰ καὶ εἰς χίονα μεταβάλλει,
Πάντῃ δ' ἔνθα καὶ ἔνθ' ἐπύκασσεν γαῖαν ἅπασαν.
Ὡς τότε Πενθεσίλεια γυνὴ, ἐπάελπτα φανεῖσα,
Ὁρμὴν ψύξεν Ἀχαιῶν, ἔσβεσεν δ' ἔνδοθι θυμόν.
Στρῶσε δὲ πᾶν πεδίον νεκρῶν, μερόπων τε καὶ ἵππων.
Τοὺς δέ γε νὺξ ἐσάωσε Ποσειδῶνός τ' ἐπαρωγή·
Ἡ δὲ παρὰ Τρώεσσιν ἀφίκετο, χάρμα κίουσα,
Πολλοὺς Ἀργείων φυρέουσα καὶ ἔντεα νεκρῶν.
Ὡς δ' ἄρα τοὺς ἐδάϊξεν ἐπὶ τρίσιν ἤμασι κούρη,
Νυκτὶ σκυζομένους ποτὶ ῥηγμῖνεσσι θαλάσσης
Ἀλλ' ὅτε Νὺξ σκοτόεσσα τετάρτου ἤματος ἦεν,
Εὗδε δὲ ἐν λεχέεσσιν, ἀγαλλομένη περὶ νίκης,
Αὔριον οἰομένη Ἀργείους πάμπαν ὀλέσσαι.
Δὴ τότ' ἄρα Πριάμῳ καὶ αὐτῇ Πενθεσιλείῃ
Ἥρη ὄνειρον ἔηκεν ἀτερπέα δακρυόεντα,
Πότμον ἐπεσσύμενον μεγαθύμου Πενθεσιλείης.
Ἤτοι γὰρ Πριάμῳ ζώειν δοκέεσκεν ἔθ' Ἕκτωρ,
Κούρης δ' εἶδος ἔχων καὶ ἀρήϊος, ὡς πάρος, ἦεν.
Χαῖρε δὲ Πρίαμος καὶ ἄλλων ἔθνεα Τρώων.
Τόνδ' ἄρα Πηλείδης κατέκτανεν ἠΰτε πρόσθεν.
Πενθεσιλείῃ δ' αὖτε ἐείσατο τοῖος ὄνειρος·
Μητέρα τῆς δοκέεσκεν ὁρᾶν, μεγάθυμον Ὀτρήρην,
Αἰζηῷ μάλα καλῷ τήνδε δοκοῦσαν ἕπεσθαι,

Νυμφίῳ ἠϋκόμῳ κάλλει χαρίτεσσιν ὁμοίῳ.
Ἠδ' ἐθέλεσκεν ἕπεσθαι· ἀνὴρ δέ τις ἄγριος ἄλλος
Πίσσῃ ἐειδόμενος χροίην, δεινός τε μέγας τε,
Κρᾶτα φέρων ἑκατὸν, παγχάλκεον ἔγχος ἀείρων,
Ἵππῳ ἐφεζόμενος παναμείλιχα φυσιόωντι,
Ἁρπάσας προβέβηκε βερεθριόωσι μελάθροις.
Τοῖα τοῖσι φάνει ἐπινύκτερα φάσματ' ὀνείρων.
  Εὖτ' ἂν δ' ὠκεανοῦ ἄπο ἔσσυτο Ἠριγένεια,
Δίφρῳ ἐφεζομένη, τήνδ' ὠκέες εἴρυον ἵπποι,
Λάμπος καὶ Φαέθων, οἵ οἱ ζύγιοι τελέθουσιν,
Πήγασος αὖτε νεώνητος παρήορος ἦεν.
Καὶ τότε δὴ κούρη θωρήσσατο Πενθεσίλεια.
Τῆσδε κορυσσαμένης ἀπὸ κρατὸς κάππεσε πήληξ,
Σὺν δ' ἵππος χρεμέτισε πανείκελος μυρομένοισιν.
Ταῦτα κορυσσαμένῃ οἱ ἐφαίνετο σήματα λυγρά.
Εὖτε δὲ Ἀργείοισιν ἐείσατο ἄντα μάχεσθαι,
Αἰετὸς ἐν νεφέεσσι πέλειαν τίλλε μεμαρπὼς,
Ὡς Ἀχιλεὺς τὴν μέλλε δαΐζεμεν ὀξέϊ μακρῷ.
Ἤτοι γὰρ πολέμοιο συνεστῶτος κρατεροῖο,
Ἔμπεσεν Ἀργείοισι παρὰ Ξάνθοιο ῥέεθρα.
Τῇδε γυναῖκες ἕποντο ἀρήϊοι ἀγκυλότοξοι,
Βάλλουσαι βελέεσσι· πολὺς δ' ἐπέην ἀλαλητός.
Ἡ γὰρ ἐπ' ἄνδρας ἔλα τευχήτορας ἀσπιδιώτας,
Ἱππῆας δὲ παρέδραμεν ἔγχεσι κῦδος ἔχοντας.
Καὶ τοὶ μὲν μάρναντο σὺν ἡγεμόνεσσιν ἑοῖσιν.
Ἡ δὲ γυναιξὶ καθιππεῦσαι ἐθέλεσκεν Ἀχαιοὺς,
Ὥς κεν ἀποκτείνειε μέσον περὶ πάντας ἑλοῦσα.
Καί νύ κε πάντα τέλεσσεν, ὅσα φρεσὶν ἔλπετο ᾗσιν·
Ἔνθεν γὰρ Αἰνείας εἶχεν ἵππιον ἴλην.

Δηΐφοβος δ' ἑτέρωθεν λαὸν ἀσπιδιώτην.
Σὺν δὲ Πάρις κλονέεσκεν ὀϊστοφόροις αἰζηοῖς.
Οἱ δὲ καὶ οὐκ ἐθέλοντες ὑπερθύμως ἐμάχοντο
Ἀργεῖοι Τρώεσσι· παλαμναίη γὰρ ἀνάγκη·
Ἄνδρων δ' ἰφθίμων κεφαλαὶ ποτέοντ' ἐπὶ γαίῃ,
Πολλῶν μὲν Δαναῶν ἰδὲ καὶ Τρώων μεγαθύμων.
Ἡ δὲ γυναῖκας ἔχουσα ἀρηϊφίλους ἐλάασκεν,
Ὥς κεν ἐνικλείσειε, μέσῳ δ' ἐνὶ πάντας ὀλέσσῃ.
Ἀλλ' Ἀχιλεὺς ἐφράσσατο, κείνης δ' ἔσβεσεν ὁρμήν·
Ὡς γάρ μιν ἐλάουσαν ἐπερχομένην τ' ἐνόησεν,
Ἔστη ἑλιχθεὶς ἐν πυμάτοισι λόχοις ἀπὸ πρώτων,
Βαιοῖς σὺν ἱππεῦσιν ἀρηρόσιν ἐν σακέεσσιν,
Ἤλασεν ἀντιβίως κατενάντιον ἀπροτιόπτως.
Καί ῥα προεξελάων τοξαζομένην βασίλειαν,
Δεξιτερὴν κατὰ πλευρὰν δόχμιον οὔτασε δουρί.
Αἶψα δ' ἀφ' ἵππου κάππεσεν εἰσέτι δ' ἐμπνείεσκεν.
Καὶ τὴν μὲν λίπεν αὖθι, ἐπ' ἄλλας δ' ᾤχετο κούρας,
Ταί ῥά μιν ἱππῆες ἕποντο καρτερόθυμοι.
Ἔνθ' ἤτοι πέσεν Ἱπποθόη καὶ Ἀντιάνειρα,
Τοξοφόνη δ' ἐπὶ τοῖσι θάνεν καὶ Τοξοάνασσα,
Καλὴ Γωρυτόεσσα καὶ Ἰοδόκη, Φαρέτρη τε,
Ἀνδρὼ, Ἰοξεῖα, Ὀϊστροφὴ, Ἀνδροδάϊξα.
Πρὸς ταῖς Ἀσπιδοχάρμη * * καὶ Ἐγχεσίμαργος,
Κνῆμις καὶ Θωρήκη, Χαλκάορ, Εὐρυλόφη τε,
Ἑκάτη, Ἀγχιμάχη τε καὶ Ἀνδρομάχη βασίλεια.
Ταὶ μὲν Ἀμαζονίδων κοῦραι πέσον ἔξοχαι ἄλλων,
Ἡγέμονες, βασίλειαι· πληθὺς δ' ἄσπετος ἦεν.
Τρῶες δ' ὡς οὖν εἶδον Ἀμαζονίδων βασίλειας
Χερσὶν ὑπ' Ἀργείων δαϊζόμενας μεγαθύμων,

Οὐκέτι θυμὸν ἔχεσκον ἐνὶ μελέεσσιν ἑοῖσιν,
Ἀλλ' ἵππων ἐν γούνασι καρπαλίμοις τε πόδεσσι
Φεῦγον ἄλλῃ ἄλλος, τοὶ δὲ δίωκον ὄπισθεν
Ἀργεῖοι μεγάθυμοι· βαῖνον δ' ἐν νεκύεσσιν,
Εἴσοκεν ἄλλους μὲν συνέελσαν τείχεϊ Τρώων,
Τοὺς δέ τοι ἔξω τείχεος εἷλον ζωγρείῃσιν.
Δάσσατο δ' αὖτε ἕκαστος Ἀμάζονας ἠδὲ καὶ αὐτῶν.
Αὐτὰρ ἐπεὶ τετέλεστο μάχη πολέμοιο δαφοινοῦ,
Αὖτις ὑποστρεφθέντες Πενθεσίλειαν ἑώρων.
Ἡ δ' ἔτι ἀσπαίρεσκεν ἐνὶ θανάτοιο φορῇσιν,
Μαρμαίρεσκε δὲ κάλλεϊ ὕστατα φυσιόωσα.
Οὐδ' ἔτι μαστὸν ἔφαινε, κόρη γὰρ ἔην ἔτι ἀδμής.
Μύρετο δ' Αἰακίδης καὶ ἐλίσσετο πάντας ἑταίρους,
Τύμβον ὅπως τεύξαντες ἐπικτερίωσι γυναῖκα·
Σῆμα δὲ πρῶτον Θερσίτου γένετ' ἤπερ αὐτῆς.
Ἤτοι γὰρ Πηλείδης μύρετο, ὡς ἐπεῴκει,
Ἥβην, ἠνορέην τε καὶ ἔξοχα κάλλεα κούρης.
Θερσίτης δ' ἐτέρωθε λέγ' αἴσχεα εἵνεκα τῆσδε.
Τόνδ' Ἀχιλεὺς κροτάφοισι βαλὼν ἐξείλετο θυμόν.
Καὶ τότε δὴ Τυδείδης, Θερσίταο χολωθεὶς,
Ῥίψε ποτὶ Σκάμανδρον Ἀμάζονα Πενθεσίλειαν.
Ἔνθαδε τὴν λίπε θυμὸς ἐνὶ ῥοθίοισι Σκαμάνδρου.
Οὐδ' ἄρα Τρυφιοδώρῳ ἐφανδάνει οἷα καὶ ἄλλοις,
Ξάνθου ἐπὶ ῥεέθροις ῥιφῆναι Πενθεσίλειαν,
Αἰακίδα δ' ἐρέει κτανέειν ἅμα καὶ κτερεΐξαι.
Ὣς ἄρα πῆμα Τρωσὶν ἐπήλυθε δεύτερον ἄλλο.
Ἀργεῖοι δ' ἔπνευσαν ὀϊζυρῆς ἀπὸ χάρμης·
Ἀλλ' ἄρα βαιὸν ἐπὶ χρόνον ἐκτὸς ἀπέσσαν ἰωκῆς.
Μέμνων γὰρ πάλιν ἤλυθεν Αἰθιόπων ἀπὸ γαίης.

Φοῖνιξ, Πουλύδαμάς τε, λεὼς δ' ἐφέσπετ' ἀπείρων,
Πεζοί θ' ἱππηές τε, ὅσος ψάμαθός τε κόνις τε,
ψιλοὶ ὁπλῖται, πελτοφόροι καὶ σφενδονέοντες,
Φρακτοὶ, ἄφρακτοι ἠδὲ Ταραντῖνοι μεγάθυμοι,
Δουρί τε μαρνάμενοι καὶ τοξοδάμαντες ἔπησαν.
Τοὶ μὲν ἔσαν μάχιμοι, πολλοὶ δ' ἄρα χρειοδοτῆρες.
Νυκτὶ ἐπήλυθον Ἴνδοι ἁλμυρὸν οἶδμα πλέοντες,
Νηυσὶν ὁμοῦ χρῦσόν τε καὶ ἀργυρὸν εἰσφορέοντες.
Τοῖς δ' ἐπὶ νῆες ἕποντο ἀπείριτοι· ἐν δ' ἄρα ἦσαν
Μακραὶ, φορτίδες, ἱππηγοὶ, πρὸς δ' αὖτε πορεῖα,
Ἄλλα τε εἴδεα ναῶν· τοὶ δ' ἀπέβαινον ὦκα.
Τοὺς δ' οὐ Τροία χάνδανε, οὔτ' ἄρα Τρώϊον οὖδας.
Καὶ τότε μὲν φυλάκεσσιν ἐεργμένοι ἔνθα καὶ ἔνθα,
Δορπήσαντες ἴαυον πάννυχον νήδυμον ὕπνον.
Ἀλλ' ὅτε δὴ λευκόχροος ἤρχετο Ἠριγένεια,
Ἀνστάντες φορέοντο· πολύθροος ὦρτο ἰωή.
Ἵπποι δ' αὖτ' Ἀράβων ἐριαύχενες ἀγριοθύμων
ψηχόμενοι χρεμέθοντο, πελώρια γαυριόωντες.
Αὐτὰρ ἐπεὶ Τροίηθεν ἀπὸ Πριάμοιο μελάθρων
Ἔκθορε Μέμνων ὄμβριμος υἱὸς Ἠριγενείης,
Φοῖνιξ, Πουλύδαμάς τε καὶ ἄλλοι κοίρανοι Ἴνδων,
Δάρδανοι Τρῶές τ' ἠδ' ὅσσα Τρώϊα φῦλα,
Ἐς πέδιον κατέβαινον· στείνετο δ' ἔθνεα λαῶν.
Ἥρως δ' ὀμβριμόθυμος ἐφ' ἅρματι ἵστατο Μέμνων,
Πουλύδαμάς θ' ἑκάτερθε καὶ ἄλλοι κοίρανοι Ἴνδων·
Καὶ τότε χειρὸς πύγματι λαὸν ἐκέκλετο Μέμνων,
Ἐς πόλεμον θωρήσσεσθαι, ἀράβιζε δὲ τεύχη,
Ἴνδων εἰλομένων θωρησσομένων τε τάχιστα
Ὅπλοις νηγατέοισι καὶ ἀσπίσι τεσσαραπλεύροις.

Ἀλλ᾽ ὅτε δὴ θωρήχθησαν Τρῶές τε καὶ αὐτοὶ,
Ἔστασαν ἐν τελέεσσι παρ᾽ ἡγεμόνεσσιν ἕκαστος.
Ἀργεῖοι δ᾽ ἑτέρωθεν ἐθωρήχθησαν ἀνάγκῃ.
Εὖτ᾽ ἄρα ἠελίοιο μένος ἐσκίασεν ἀρούρας,
Σύμβαλον ἀλλήλοισι, πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει
Μαρναμένων ἀνέρων· νέκυες δ᾽ ἄρα πλῆθον ἅπαντα
Φύρδην ἀμφοτέρωθεν, ἐπ᾽ Ἀργείων μάλλιστα.
Ἔθνεα δ᾽ ἔῤῥεον Ἴνδων κ᾽ Ἀῤῥάβων μεγαθύμων,
Πάντοθεν ἐκχύμενα, τοὶ δ᾽ ἐν μέσῳ ἄλγεα πάσχον
Ἀργεῖοι, πολυτειρέα δ᾽ αὐτῶν λύετο γοῦνα.
Ἔμπης δ᾽, οὐκ ἐθέλοντες, ὑπὲρ ψυχῆς ἐμάχοντο.
Εἴσοκε γειαρότης μὲν ἀνὴρ ἐπαύσατο πόνων,
Ἐκ δὲ βόας ἀρότροιο ἐλύσσατο πολλὰ καμόντας.
Καὶ τότε Τρώϊας ἠδ᾽ Ἀραβίσσα χαίρετ᾽ Ἐνυὼ,
Πᾶν γὰρ Τρώϊον οὖδας Ἀχαιῶν πλήθετο νεκρῶν.
Κάππεσε γὰρ πρώτιστος ἀπ᾽ Ἀργείων βασιλήων
* * νεης χείρεσσι, κατεναντίον οἷος ἐπελθὼν,
Ἀντίλοχος μεγάθυμος, Νέστορος ὄβριμὸς υἱὸς,
Τὸν πάντες φιλέεσκον, Ἀχιλλεὺς δ᾽ ἔξοχα ἄλλων·
Οὕνεκα κραιπνὸς ἔην, νέος, ἄλκιμος, εἶδος ἀγητὸς,
Ἐν πινυτῇ δ᾽ ἄρα καὶ μύθοις προφέρεσκε γερόντων.
Τῷδ᾽ ἐπὶ ἄλλοι πέσον ἡγεμονῆες Ἀχαιῶν.
Καὶ τότε δὴ πάντες νῶτα Τρώεσσι βαλόντες,
Φύρδην συγκλονέοντο καὶ αἵματι γαῖαν ἔδευον.
Ὡς δ᾽ ὅτε μιλτοχρόου ἀπὸ οὔρεος ἠνεμόεντος
Ταυρόθροος χειμάῤῥους ἀσπέτῳ ἔρχεται ὄμβρῳ·
Ἐσφορέει πέτρους μεγάλους καὶ κάγκανον ὕλην,
Βριθὺ δ᾽ ἄρα κτυπέων λιθόχροος ἔμπεσεν ἄγροις,
Πάντα δ᾽ ἐναρπάζων φύρδην φορέασι θαλάσσῃ,

Ζεύγεα, βοῦς καὶ δώματα πρὸς δ' ἄρα γειαροτῆρας,
Ἄλλα τε ὅσσα κίχησεν· ἀμηχανίη δ' ἀγροίκοις.
Ὡς τότ' Ἀχαιοὶ φύρδην ἀπ' Ἀῤῥαβίων κλονέοντο.
Κυανέη δ' ἄρ' ἐν αἵματι πάντη πόρφυρε γαῖα.
Οἱ δ' Ἄραβες κατόπιν μεγάλῳ σεύοντ' ἀλαλητῷ,
Οὐδ' ἔτι μῆχος ἔην, πάντες γὰρ φεῦγον Ἀχαιοί.
Μοῦνος ἀπ' ἄλλων Νέστωρ Μέμνονος ἤλυθεν ἄντα,
Υἱέος ἀχνύμενος· μέγα δ' ἔστενεν ἔνδοθι ἦτορ.
Σὺν δ' ἄρα οἱ ὁ Κόϊντος ἔην πέλας, ὃς ἐπάκουσε
Μέμνων ὅσσα ἔειπε γέροντ' ἀραβήϊδι φωνῇ.
Πεζός ἐγω τελέθων δὲ, [Ἰσαακίοιο φράδαισιν,
Ὅς μ' ἀπὸ Βεῤῥοίας ἐριβώλακος ἠδὲ Σελάων
Πεζὸν ἔπεμπε γένεσθαι, ἐμεῦ ἵπποιο ἀμέρσας,
Ἧς ἀλόχου βουλῇσι σαόφρονος, ἢ οἱ ἅπαντας
Κύδηνε λεπροὺς τε καὶ ὅσσοι νείκεος υἷες.
Οὕνεκα οἱ καλῶς καταθύμια πάντα ἔρεζον.]
Φεῦγον οὐδ' ἐσάκουσα ἃ Μέμνων ἐξερέεινεν.
Ἀλλ' ὅτε Νὺξ δνοφερὴ γαῖαν περιδέδρομε πάντη,
Δῆριν αἱματόεσσαν ἀμαιμακέτου πολέμοιο
Παῦσαν, οὐκ ἐθέλοντες Ἀράβιοι ὄμβριμοι υἷες,
Ὠκύαλοι δὲ νέες φύγον Ἡφαίστοιο ὁμοκλήν.
Αὐτοὶ δ' Ἀργεῖοι δεινὰς ὑπὸ κῆρας ἄλυξαν.
Νυκτὶ δ' ἀολλέες εἵατο τεύχεα πάντες ἔχοντες,
Εἵατο τεύχε' ἔχοντες, ὕπνος ἀπὸ τοῖσιν ὄλωλεν,
Ἀλλ' ὅτε δὴ χρυσόθρονος ἤλυθεν Ἠριγένεια,
Ἀνστάντες ἀέκοντες ἔριν ῥήγνυντο βαρεῖαν.
Μέμνων γὰρ ἐπόρουσεν, ἀλίγκιος υἱεῖ γαίης,
Τυφῶνι ὀλοόφρονι· ἔλπετο δ' οἷα ἐώλπει,
Ἀργείους ἀπὸ πάντας ὀλέσσαι ἤματι κεινῷ.

Ὣδε μὲν ἐφρόνεεν, ἐπὶ δ' ἅρματι ὀξέα κλάζων
Κυδιόων θόρεσκεν, ὄπισθεν δ' ἴαχε λαός.
Τόνδ' ἄρα Πηλείδης καὶ ἀμαιμάκετόν περ ἐόντα
Στέρνῳ ἐνὶ στιβαρῷ κατεναντίον οὔτασεν ἔγχει.
Ψυχὴ δ' ἐκ μελέων ἀποέσσυτο ἠΰτε καπνός.
Τοῖον Μεμνονέης κεφαλῆς μόρον ἐξερέουσιν.
Οἱ δ' υἱὸν Τελαμῶνος ἀείδουσ' ὀμβριμόθυμον
Δῆριν ἀμαιμάκετον καὶ σχέτλια ἔργα ἰδόντα
Εἴπεμεν Ἀτρείδῃ καὶ ἀριστήεσσιν Ἀχαιῶν·
Ὑμεῖς μὲν πάντες μετὰ ἔθνεα βαίνετε Ἰνδῶν,
Αὐτὰρ ἐγὼ κατεναντία Μέμνονος οἶος ἐπέλθω.
Ὣς εἰπὼν ἀνάειρε πελώριον ὕψοσε σάκος,
Τοῖο δ' ἐν ὤμοις καλὸν φάσγανον ἠώρητο·
Δεξιτερῇ δὲ φέρων δόρυ Μέμνονος ἤλυθεν ἄντα.
Μέμνων δ' ὡς ἐνόησεν, ἀφ' ἅρματος ἆλτο χαμᾶζε.
Συμπεσέτην δ' ἀλλήλοισι μέγα δ' εἴδετο ἔργον,
Οὐταζόντων ἀλλήλους, ἀράβιζε δὲ τεύχη.
Ὡς δὲ δύο ταῦροι, παρ' ὀρεσκῴησι κολώναις,
Ἄγριοι ἀμφ' ἀγέλαις ἑκάτερθεν δηριόωντες,
Πρῶτα μὲν ἐκσταδὸν ἄμφις ἕκαστος ὀρούων,
Ἐς στυφελὰς πέτρως τε καὶ οὔρεα ὑψικάρηνα,
Ἀλλήλους ποτὶ ταύρειον μόθον ἐκκαλέονται,
Μυκτῆρα πλατὺν οἴξαντες, βαρύδουπα βοῶντες·
Αὐτὰρ ἔπειτ' ἀλλήλους βάλλουσιν κεράεσσιν,
Ἤχη δ' αὖτε πελώριος οὔρεος ἔρχεται ἄκρας.
Ὣς τῶν μαρναμένων σάκεος ἀπὸ δοῦπος ὄρωρεν.
Ὣς δὲ λέων Αἴας ἐπάλμενος ἀσπίδα νύξεν.
Οὐδ' ἔτορεν κρατερὸν σάκος, ἀλλ' ἄρα Μέμνονα
κλῖνεν.

Αὐτὰρ ἔπειτα ἑὸν σάκος ὕψοσ᾽ ἀείρας,
Πλῆξεν ἀνασχόμενος, ἐπέβρισε δ᾽ ὄβριμον ἄνδρα.
Τοῦ δὲ πόδων κατόπισθεν ἐφέσπετο δῖος Ἀχιλλεὺς
Κρύβδην δ᾽ αὐχένα Μέμνονος ἤλασε χάλκεον ἔγχος.
Τὸν δὲ λίπεν ψυχή· Αἴας δ᾽ ἕλε Πουλυδάμαντα
Ἡγέμονα Φοινίκων· τρέσσαν δ᾽ ἔθνεα Ἰνδῶν,
Ὡς δοιοὺς βασιλῆας ἑοὺς νεκύεσσιν ἐσεῖδον.
Πίπτον δ᾽ αὖ πολέες σωρηδὸν ἄλλος ἐπ᾽ ἄλλῳ,
Αὐτοὶ δ᾽ ὑφ᾽ αὐτῶν καὶ Ἀχαιῶν χαλκοχιτώνων.
Φῦζα γὰρ εἶχεν ἅπαντας ἰωχμοῖο κρατεροῖο.
Ζῶντες δ᾽ ἐν νεκύεσσιν ἐρητύοντο φέβεσθαι.
Ἀργεῖοι δ᾽ ἄρ᾽ ὄπισθεν ἐπ᾽ ἔντεα καλὰ λέγοντο,
Ἐμμενέως κτείνοντες, ἕως νὺξ ἄμβροτος ἦλθεν.
Ὄρφνῃ δ᾽ αὖτε ἑοὺς ἑκάτερθεν αἴαντο νεκρούς.
Μέμνονα δὲ σμύρνῃ τε καὶ Ἀσσυρίῃ Φρυγανίδι
Αἰθίοπες ταρχύσαντες θέσαν ἀμφιφορῆϊ.
Ὡς ἄρα Πουλυδάμαντα καὶ ὕστερον αὐτὸν ἔνεικαν.
Τροίῃ δὲ στοναχή τε καὶ οἰμωγὴ πελέεσκε.
Τρῶες γὰρ μεγάθυμοι, ἐελμένοι ἔνδοθι πύργων,
Δυσπονέως στενάχοντες ἑοὺς γοάασκον ἑταίρους.
Οὔποτε δακρυχέοντες ἐπ᾽ ὄμμασι δάκρυα τέρσαν,
Ἐκ δ᾽ ἦλθον αὖθις πυλέων πετάσαντες ὀχῆας
Δηΐφοβος, Πάρις ἠδὲ Τρώϊλος ἱπποχάρμης,
Ἔθνεσι σὺν πολέεσσιν, Ἀχαιοῖς ἄντα μάχεσθαι.
Τοὺς δ᾽ Ἀχιλεὺς ἐνέηκε ποτὶ Ξάνθοιο ῥέεθρα,
Κτείνων ἐμμενέως· ὣς δ᾽ αὔτως ἄλλοι Ἀχαιοί.
Καί ῥ᾽ οἱ μὲν φύγον ὄβριμον ἔγχος Πηλείδαο
Δηΐφοβος καὶ Δύσπαρις· αἶσα δ᾽ εἷλε Τρώϊλον.
Ὃς πένθος Τρώεσσιν ἐπ᾽ ἶσον Ἕκτορι θῆκεν,

Ἠνορέῃ καὶ κάλλεϊ ἠδὲ καὶ ἄνθεϊ ἥβης.
Ἀλλ᾽ ἄρα καὶ Τρώων βασιλήων φράζεο μορφὴν,
Σὺν τοῖς καὶ τοῖο Τρωΐλου ἱπποδάμοιο.
Ἤτοι μὲν Πρίαμος σύνοφρυς ἠδὲ μακρόῤῥιν,
Γλαυκιόων, πυῤῥόχρους, εἴδει δ᾽ ἦεν ἀγητὸς,
Εὔστολος, εὐόφθαλμος, πυκνὰς δ᾽ εἶχεν ἔθειρας.
Ἡ δ᾽ Ἑκάβη· μελίχροιος ἔην, εὖριν, ὡραίη,
Ἡλικίῃ τελέῃ, φιλότιμος, ἥσυχος αὔτως.
Ἀνδρομάχη ὡσαύτως, γοργὴ δ᾽ ἦν, μεσόηλιξ,
Μάκροψις, χαρίεσσα, παρῇδα εἶχε γελῶντα.
Κασσάνδρη δ᾽ ἄρ᾽ ἔην βαιὴ δέμας ἀνδροόμοιος,
Λευκοτέρη γλάγεος, περιηγέας εἶχεν ὄπωπας,
Ὀγκώδεις δ᾽ ἔχε μαστοὺς, μικρόπος, ἥσυχος ἦεν.
Τῆς Ἕλενος κάσις εὔθετος ἦν, μακρὸς, ἀρτιγένειος,
Λευκὸς, ξανθοκόμης, μακρόῤῥιν, εἴδεϊ λευκός.
Νῶτα δὲ τοῖο ἔαγεν ὑπήρεμα, λῆθε δὲ πολλούς.
Δηΐφοβος δ᾽ ἄρ᾽ ἔην ἥβῃ μέσος, εὐρυμέτωπος,
Σίμαλος ἠδὲ μελάγχρους, εὔωψ, ἠϋγένειος.
Αἰνείας δ᾽ ἄρα βαιὸς, ἄταρ παχὺς, εὔστηθος ἔπλε.
Γλαυκὸς, λευκόχροος, ἀνάφαλος, εὐρυμέτωπος.
Ἀντήνωρ δὲ μακρὸς, ῥαδινὸς πέλεν, ἠδὲ γλαγόχρως,
Γλαυκὸς, ῥῖνα φέρων κάμπυλον, ξανθοέθειρος,
Τρώϊλος δ᾽ αὖτε μέγας, ὠκὺς ἦν, μελανόχρως,
Εἴδεϊ δ᾽ αὖ χαριεὶς, δασυπώγων, ταναέθειρος.
Τόνδ᾽ Ἀχιλεὺς κατέπεφνε παραὶ Σκαμάνδροιο
ῥοῇσιν.
Αὐτὰρ ἐπεὶ καὶ ἀρήϊον εἷλεν μοῖρα Τρώϊλον
Ἐγγὺς ἔην θάνατος Πηληϊάδῃ Ἀχιλῆϊ,
Ὕστατα γαμβρεύοντι παραιφασίῃσι Πριάμου.

Ἤτοι γὰρ Πριάμου ποτὶ δώματα δῖος Ἀχιλλεὺς
Ἤρχετο πολλάκι Πολυξένης εἵνεκα νύμφης.
Τήν οἱ ὑπέσχετο δώσεμεν ὄφρα μόθον ἀπολήξῃ·
Ἀλλ᾽ ὅτε δὴ Τρῶες παρὰ Θύμβρον θῦον Ἀπόλλῳ,
Ἴδαιον προέηκαν ἐπ᾽ Αἰακίδην Ἀχιλῆα,
Ἐς νηὸν καλέοντα· ὃ δ᾽ αἶψα μάλα πιθήσας,
Γυμνὸς ἐὼν καὶ ἄοπλος ἐπήλυθεν ἔνδοθι νηοῦ.
Δηΐφοβος δ᾽ ἄρα χερσὶ περίβαλε οἷά τε γαμβρὸν,
Δύσπαρις αὖτε μάχαιραν ἐπήλασεν ἔγκατα φωτός.
Αὐτὰρ ὃ, τοῖος ἐὼν ἥρως πέσεν ἀφραδίῃσιν.
Ὥστε λέων πέσεν εἰς βόθρον ὑπ᾽ αὐτῆς ἐρίφοιο,
Εὖτ᾽ ἄρα μιν παραπλάζουσιν θηρήτορες ἄνδρες,
Ὣς πέσεν ἀφραδίῃσι πελώριος ὄβριμος ἥρως.
Αἶψα δ᾽ ἄρ᾽ εἰς πόλιν ἐκ νηοῦ φεύγοντο φονῆες.
Τοὺς δ᾽ Ὀδυσεὺς ἐνόησε ποτὶ πτόλιν αἶψα θέοντας
Τυδείδῃ δὲ καὶ Αἴαντι ποτὶ μῦθον ἔειπεν·
Ἡρώων ὄχ᾽ ἄριστοι, τέκνα κλειτῶν γενετήρων,
Δεῦτε ποτὶ Θύμβρην καὶ σχέτλια ἔργα ἴδωμεν·
Οἴμοι Πηλείδης παρὰ νηὸν κάτθανε Φοίβου.
Πόλλον ἄπεστι χρόνον, φεύγουσι δὲ Τρῶες ἐπ᾽ ἄστυ.
Ὣς ὁ μὲν εἶπεν Ὀδυσσεὺς, τοὶ δὲ θέοντες ἔβαινον
Ἀλλ᾽ ὅτε δὴ κατὰ νηὸν Θυμβραίοιο γένοντο,
Εὗρον ἔπειτ᾽ Ἀχιλῆα πελώριον ἐν κονίῃσι,
Λοίσθια φυσιόωντα παραὶ θανάτοιο πύλῃσι.
Τοὺς δὲ ἰδὼν δάκρυσε καὶ ὕστατον ἔννεπε μῦθον·
Ὦ φίλοι, οὔτι τόσον στενάχω θανάτοιο τελευτὴν
Ἥβην δ᾽ ἀνθεμόεσσαν ἰδ᾽ ἠνορέην ἐρατεινὴν,
Οὔτι τόσον ταῦτα στενάχω, φίλοι, οὐδ᾽ ἀκάχημαι
Κοιναὶ γὰρ μοῖραι πᾶσιν θανάτοιο τελευτῆς,

Πολλοὶ δ' αὖ θάνον, οἳ μὲν τοῖοι, οἳ δέ τε τοῖοι.
Ἄλλο τό μοι ἄχος, ὅττι με τοῖος Δύσπαρις ἔκτα.
Ἀλλ' ὑμεῖς Πατρόκλῳ με καὶ Ἀντιλόχῳ μεγαθύμῳ,
Εὖ μάλα κοσμήσαντες, ἐπὴν κατὰ μοῖρα λάβῃσι,
Χρύσεον ἐς μητρώϊον ἔνθεσθ' ἀμφιφορῆα,
Ὡς ἂν μηδὲ θανών γε φίλων ἀπάτερθεν ἐσοίμην.
Ὡς εἰπὼν ἀπέπνευσε μέγα στέρνοιο φυσήσας.
Αἴας δακρυχέων νεκὺν ὤμοις ἀναείρας,
Ἔφερεν ἐς κλισίας, μετόπισθε δὲ Τρῶες ἔβαινον,
Τὸν νεκὺν ἐξ Αἴαντος ἀφαρπάσαι ἐμμεμαῶτες.
Ἀλλ' ὁ μὲν ἐν κλισίῃσι φέρων λεχέεσσιν ἔθηκε,
Κοσμήσας σὺν ἅπασιν Ἀχαιῶν ἡγεμόνεσσιν.
Ἄλλοι δ' ὧδ' ἐρέουσι· θανόντα Τρῶες ἔπεσχον,
Ἀργείοις δὲ δόσαν, λύτρα Ἕκτορος αὖθις ἑλόντες.
Καὶ τότε τὸν κοσμήσαντες δῖοι Παναχαιοὶ
Ἔκφερον ἐν λεχέεσσι κεκασμένον εὖ κατὰ μοῖραν.
Ἀργεῖοι δ' ἐν ὅπλοισι κεκασμένοι ἐστιχόωντο
Φαλαγγηδὸν, πεζοί, πάντες δακρυχέοντες.
Μοῦσαι δὲ στονόεσσαν ἐπέβρεμον ἄπλετον ἠχὴν,
Αὐλοῖς ἢ φόρμιγξιν· ὁ δ' ἐν λεχέεσσιν ἔκειτο,
Ἀστράπτων ἐν ὅπλοισι· τὰ γὰρ περὶ φέρτρον ἔκειτο.
Στρωμνῆς δ' αὖτε πέλας βασιλῆες ἦσαν Ἀχαιῶν,
Ἵπποι δὲ πρυλέων προπάροιθεν ἐστιχόωντο
Ἀργείων βασιλήων, αὐτοῦ δ' αὖτ' Ἀχιλῆος,
Κόσμον ὑπαυχένιον τετμημένοι, ἐγγὺς ἕποντο.
Ἅρμα δὲ τοῖο φέρεσκεν χρυσοῦν ἀμφιφορῆα,
Ὄστεα Πατρόκλοιο καὶ Ἀντιλόχοιο φέροντα,
Τῷ ἐνὶ Πηλείδην θήσειν ἐθέλεσκον Ἀχαιοί.
Μυρμίδονες δ' ἑκάτερθε μελάμπεπλοι ἐφέποντο,

Πάντες ἐπ᾽ ἀσκέπεδες περὶ κόρσαις τέφρας ἔχοντες.
Ληΐαδες δὲ γυναῖκες ὅσαι Τρώων καὶ Ἀχαιῶν
Φέρτρου ἴσαν μετόπισθε, Βρισηῒς θ᾽ Ἱπποδάμεια
Κλαίουσα λιγέως δουρικτήτη περ ἐοῦσα.
Ἀλλ᾽ ὅτε νισσόμενοι ποτὶ πυρκαΐην ἀφίκοντο,
Ἐν δὲ μέσῃ νεκὺν ἥρωες θέσαν εἷο ἑταῖροι,
Αὐτίκα Νηρῆος κοῦραι μέγα κῦμα θαλάσσης
Ἐξ ἁλὸς ἤϊξαν, μόρμυρε δὲ πόντος ἀπείρων.
Ἥρωες δὲ φόβηθεν Ἀχαιοὶ τάσδε ἰδόντες,
Τρέσσαν δ᾽ ἄλλῃ ἄλλος, ὅπῃ νόος ὦρσεν ἕκαστον,
Ἐλπόμενοι Κρονίδην σεισίχθονα κυανοχαίτην
Ἐς γαῖαν ἐλάαν περίδουπον ἅρμα καὶ ἵππους.
Νέστωρ δ᾽ αὖ κατέρυκεν, ἔπεσχε .. φῦζαν ἁπάντων.
Ταὶ δ᾽ ἄρα σὺν Θέτιδι παρὰ Σιγεῖον παριοῦσαι,
Κοψάμεναι μέγα τὸν νεκὺν ἐς βύθον αὖθις ἵκοντο.
Τῶν δ᾽ ἄρ᾽ ἀναξύριδες καὶ ἡρώων περ ἐόντων
Θείην ἐκ θεέων εὐώδεα πνεῦσαν ἀυτμήν.
Πηλείδῃ δ᾽ ἐπεὶ ἂν κατέδαψε σιδήρειον πῦρ
Θῆκαν σὺν Πατρόκλῳ τε καὶ Ἀντιλόχῳ μεγαθύμῳ
Ἀργείων οἱ ἄριστοι Σιγείοιο παρ᾽ ἄκρας
Χρύσεον ἐς φιάλην, καθύπερθε δὲ τύμβον ἔτευξαν.
Ἔνθ᾽ ἄρα Πατρόκλοιο τετεύχατο σῆμα πάροιθεν.
Ἀλλ᾽ ἤτοι ἀΐων καὶ μορφὴν φράζεο τῶνδε.
Ἤτοι μὲν Πηλῆος ἀγαυοῦ φαίδιμος υἱὸς
Εὐμήκης, εὔστηθος ἔην, χαριεὶς περὶ πάντων,
Λευκός, ξανθοκόμης, οὐλόθριξ, πυκνοέθειρος,
Μακρόῤῥις, μελίγηρυς, κούρης δ᾽ εἶχεν ὄπωπας.
Γοργὸς ἔην ἐν ὀφθαλμοῖς, ἐν δρόμοισι ποδάρκης,
Μακρὰ δ᾽ ἔχε σκέλεα, ὑπὸ δ᾽ ἔσπανε * * ὑπήνην

Πάτροκλος δὲ προγάστωρ, εὐπώγων, μεσοήλιξ,
Ξανθόκομος πυῤῥόχροος, εἴδεϊ δ' ἦεν ἀγητός,
Ἀντίλοχος δὲ νεώτερος ἄλλων ἦεν Ἀχαιῶν,
Εὐήλιξ, εὐαύχην, λευκὸς ἔην, μακρόῤῥις,
Γοργὸς ἐν ὀφθαλμοῖσιν, ἀελλόπος, ἀρτιγένειος,
Ξανθοκόμης, εὐχαίτης, γλαυκαὶ δ' ἦσαν ὄπωπαι.
    Αὐτὰρ ἐπεὶ κτερέϊξαν τοὺς δῖοι Παναχαιοὶ,
Ὅπλ' Ἀχιλῆος ἔθεντο * * τὸν ἄριστον ἕλεσθαι.
Ἀνστάντες Ὀδυσεύς τε καὶ Αἴας δηριόωντο.
Χρησμοὶ δ' ἐκτελέοντο, κακὸν δ' ἀμφαίνετο Τροίῃ.
Παῖδες δὲ Τρώων δουριθήρατοι ἦσαν Ἀχαίοις,
Οἱ βουλῇ Δανάων τούτοις κρίναντες ἅμ' ἄμφω,
Υἱέϊ Λαέρταο ἐπήρατα ὤπασαν ὅπλα.
Φάντες ὑπὲρ, Αἴαντα λυγρὰ Τρώεσσιν ἐφάψαι.
Αἴας δ' αὖτ' ἄχεϊ βεβαρημένος εἵνεκεν ὅπλων,
Ἦλθεν ἐπὶ κλισίας καὶ ἓ ἔκτανε χάλκεϊ θυμός.
Ὣς θάνε· τῷ δ' ἄρα Ῥοιτείῳ πάρα τύμβον ἔτευξαν.
Ἀλλ' ἤτοι καὶ τοῦδ' ἥρωος ἄκουε μορφήν·
Ἠΰς ἔην, μέγας, εὖρις, εὔθετος, οὐλοκάρηνος,
Κυάνεος χροιὴν, βλοσύρωπις, ἠϋγένειος,
Κάλλεϊ δὲ προφέρεσκεν ἁπάντων πλὴν Ἀχιλῆος.
    Τριτὸν ἔην ἦμαρ ἀπὸ Πηλεΐδαο τελευτῆς,
Αἴανθ' ὁππότε τύμβευσαν μεγάθυμοι Ἀχαιοί.
Καὶ τότε δή ῥα Πολυξείνη, κούρη Πριάμοιο,
Ἐννυχίη προμολοῦσα, φίλους προφυγοῦσα τοκῆας,
Πολλὰ κλαυσαμένη περὶ τύμβου Πηλεΐδεω,
Νυμφίῳ εὐγενέϊ καλὴ περικάππεσε νύμφη,
Εὐνῇ ἐν αὐτοκλήτῳ χάλκεον ὕπνον ἑλοῦσα,
Φλαύιος ὡς ἐρέει· τάδ' Εὐριπίδου ἄλλοια.

Ἀλλ' ἄρα καὶ τῆς μάνθανε μορφῆς εἶδος ἀγητόν·
Εὔωψ, μακρὰ ἔην, λευκὴ, πάνυ δολιχόδειρος,
Μικρόπος, ἀνθερόχειλος, καλλίμαστος, ἀρίστη,
Ὀκτὼ καὶ δέκα ἦν ἐτέων, χρόνος ἥλικος ἥβης.
Κάτθανε δ' αὖτε κόρη ἢ οὕτως εἴτε ἐκείνως.
Ἀργεῖοι δ' ἐπεὶ ἔκθανον Αἰακίδαι μεγάθυμοι,
Οἳ μέγα ἕρκος ἔησαν Ἀχαιῶν ἐν πολέμοισι,
Χρησμοῖς ὦτα πετάννυον· ὅσσα δὲ τοῖσιν ἐπῄει,
Πάλλαδος εἴ κεν ἄγοιεν ἀπὸ Τροίηθεν ἄγαλμα,
Τροίην εὐρυάγυιαν ὑπ' ἔγχεϊ τῶνδε γένεσθαι.
Καὶ τότ' Ὀδυσσεὺς νύκτωρ ἠδὲ πάϊς Τυδῆος
Αὐτονυχὶ κόμισαν Ἀντήνορος ὦκα λαβόντες·
Τοῖς γὰρ ἔην φίλος, ἠδὲ δάμαρ, ἱερεῖα θεοῖο.
Ὣς οἱ μὲν Δαναοὶ Τροίην δοκέεσκον πέρσαι.
Εὐρύπυλος δ' ἐπίκουρος Τρωσὶν ἐπήλυθεν αὖθις,
Τηλεφίδης μεγάθυμος, Μυσὸς, ἐπήρατος ἄναξ.
Κτεῖνε δὲ πολλοὺς Ἀργείων, Ἀσκληπιάδη τε
Ἥρω' ἰητῆρα, Μαχάονα, κάλλιμον ἄνδρα.
Ὣς ῥα Κόϊντος ἔφη, ὃ δ' ἄρ' Ὀρφεὺς ἄλλ' ἐπαείδει.
Καὶ τότ' ἀπὸ Σκύροιο Νεοπτόλεμος θεοειδὴς
Ἤλυθεν Ἀργείοισι, μέγα δ' ἐχάροντο ἰδόντες.
Ἀλλ' ἤτοι καὶ μορφὴν μείρακος ἄϊε τοῦδε·
Πυῤῥὸς ἔην, πολλοί τ' ἄρα ἑ Πύῤῥον καλέεσκον.
Εὐῆλιξ, ὑπόγλαυκος, λευκὸς, γλαγεόχροιος,
Εὔριν, εὐθώραξ, τολμηεὶς, οὐλοκάρηνος,
Ἄσκυλτος, πικρὸς, προπετὴς, μέγα ἀγριόθυμος,
Λάχνη δ' οἱ χαρίεσσα ἐφύετο ἀνθερεῶνι.
Ἤϊε δ' ἐκ Θέτιδος πατρώϊον αἷμα διώκων.
Οἱ δ' Ὀδυσῆ ἐρέουσιν ἀπὸ Σκύροιο κομίσσαι,

*Χρησμοῖς, μαντοσύναισιν ἢ αὐτομόλῃσιν ἀνάγκῃ.*
*Τῷ δ' ἄρα καὶ πατρώϊα χρύσεα ὤπασεν ὅπλα.*
*Θῦσε δ' ἄρα πρῶτα πατρώϊον ἐς τάφον ἐλθών.*
*Κειράμενος δ' ἀνέθηκεν ἑὴν χρυσότριχα χαίτην,*
*Ηδ' οὓς ἐκ πάτρης ἔφερεν πλοκάμους γενετῆρων,*
*Μητρὸς Δηϊδαμείας ἠδέ τε πρωτοτοκήων.*
*Αὐτὰρ δάκρυσιν ἔθυσεν τῷ ὅσσα ἐῴκει.*
*Τὸν μὲν ἔπειτα Ἀτρείδης ἐν κλισίῃσι κάτεσχε,*
*Δῶρα δὲ δοὺς ἀπέπεμψε ποτὶ κλισίας Ἀχιλῆος.*
*Ἐν δὲ Βρισηῒς πάντα πατρώϊα χρήματα δεῖξε,*
*Χρήματα δ' ὅσσα ἔνησε καὶ ἔδρακεν ὡς φίλον υἷα,*
*Ὁ δ' ὡς μητέρα τίεσκεν καὶ ἔχεσκε παρ' αὐτῷ.*
*Αὐτὰρ ἐπεὶ καμάτῳ ἀνεπαύσατο αἴολα γυῖα,*
*Ἑσσάμενος ῥεθέεσσι πατρώϊα χρύσεα τεύχη,*
*Ἐς δίφρον τ' ἀναβὰς σὺν γ' Αὐτομέδοντι ἑταίρῳ*
*Ἄρεϊ χαλκοχίτωνι ἀλίγκιος ἐς μέσον ἔστη·*
*Μυρμίδονες δ' ἑκάτερθε καὶ Ἀργεῖοι στιχόωντο.*
*Τρωσὶ δὲ πρῶτος ἔδειξε πατρώϊον ἅρμα καὶ ἵππους·*
*Οἱ δ' ὡς εἶδον ὑπέτρεσαν, ἀμφασίη γὰρ ἔπεσχεν,*
*Οἰομένους Ἀχιλῆα πελώριον αὖθις ὁράαν.*
*Μυρμίδονές τε καὶ Ἀργεῖοι κεράϊζον ὄπισθεν.*
*Αὐτὸς δ' αὖ Μελάνιππον Μυσῶν ἡγεμονῆα*
*Ἠῢν πέφνε, φίλον γόνον Ἱστριάδαο Ἑλώρου.*
*Ἀλκιδάμαντα δ' ἔπειτα ἀνέψιον ἔκτανε τοῖο,*
*Υἱὸν ὑπερθύμοιο ποδώκεος Ἀκταίοιο.*
*Κτεῖνε δὲ Τηλεφίδην, Ἱέρης γόνον ἐγχεσίμαργον,*
*Ὃς μέγα κυδιάασκεν, ἄναξ δ' ἄρα ἦεν ἐκείνων.*
*Ὡς γάρ μιν ὀλέκοντα ἑοὺς ἐνόησεν ἑταίρους*
*Τηλεφίδης μεγάθυμος, ἀτάσθαλος ὄβριμος ἥρως.*

*Ἦλθε Νεοπτολέμοιο καταντίον ἔγχεος αἰχμῆς.*
*Τοῦ δ' ἄρα παῖς Ἀχιλῆος ἀτάσθαλον ἦτορ ἀπηύρα,*
*Στέρνῳ ἐν ὀβριμόεντι πελώριον ἔγχος ἐλάσας.*
*Ὣς πέσεν· οἱ δὲ φέβοντο λεὼ κείνου πεσόντος.*
*Οἱ δὲ Νεοπτολέμῳ Μυσῶν πέσον ἡγεμονῆες,*
*Αὐτὰρ οἱ ἄλλοι ὥστε κόνις ἀνέμοιο θυέλλῃ,*
*Ἥντε Τυφὼς ἀνάειρε, κεδάννυτο ἄλλοθεν ἄλλος.*
*Τρῶες δ' ὡς ἐνόησαν ἀήσυλα μέρμερα ἔργα,*
*Κειάμενοι νεκύας ποτὶ πύργους ἔνδον τ' ἵκοντο.*
*Καὶ τότε μὴν Ἕλενος θεόφοιτος μάντις ἀμύμων,*
*Ἢ ῥ' Ὀδυσῆος ἔργμασιν Ἀργείοισιν ἐπελθὼν,*
*Ἢ μόνος αὐτομόλῃσιν ἐπηλυσίῃσι βαδίσσας,*
*Ἐκ σιδηρίταο, κατ' Ὀρφέα, μαντιπόλοιο*
*Λίθου ἀνδρολόγοιο μαθὼν, ὅσα τεύχετο Τροίῃ,*
*Εἶπε Φιλοκτήταο βίην κομίσαι ἀπὸ Λήμνου,*
*Ὀστέα τὰ Πέλοπος ἐξ Ἤλιδος οἴσεμεν ὦκα·*
*Αἶσα γὰρ ὧδε πέσειν ὑπ' Ἀχαιῶν Τρώϊον ἄστυ.*
*Ὣς Ἕλενος ἐρέεινε θεόπροπος, οἷδ' ἐτέλειον.*
*Αὐτίκα δ' ἐκ Λήμνου Ποιάντιος ἤλυθεν ἥρως,*
*Εὐμήκης μελανόχροος, εὔθετος ἠδὲ σύνοφρυς,*
*Τόξα φέρων στονόεντα, πόδας δέ οἱ ἕλκος ἔτειρε.*
*Πέτρῃ δ' ἀρτεμέα ἐχιήτιδι τεῦξε Μαχάων.*
*Τὸν δ' ὁ Κόϊντος ἔπεφνεν ὑπ' Εὐρυπύλοιο βολῇσιν.*
*Αὐτίκα δὲ Ποιάντιος ὄβριμος υἱὸς ἐκεῖνος*
*Ἐς μόθον ἐκκαλέεσκε Τρώων, ὅς κε θέλῃσιν,*
*Ἀντία τοξάζεσθαι· μοῖρα δὲ Δύσπαριν ἦγεν,*
*Ὅς ῥά τε νηπιέῃσι καταντίον ἤλυθε τοῖο.*
*Ἤτοι γὰρ βέλος ἧκε, Φιλοκτήταο ἅμαρτε.*
*Αὐτὰρ ὁ δεύτερον ἐσσυμένως προέηκεν ὀϊστὸν*

Καὶ βάλε μιν πρώτιστα ἰεὶς λαιὴν κατὰ χεῖρα.
Δεύτερον αὖ ἐφέηκε καὶ ὄμματος ἔκβαλε γλήνην
Δεξιτερὴν, γοόωντος δὲ τρίτον ἧκεν ὀϊστὸν,
Καὶ βάλεν οὐδ' ἀφάμαρτεν ἐπὶ σφυρίοισι τιτῆνας.
Τὸν δὲ Τρῶες ἄειραν, νυκτὶ δὲ κάτθανε μέσσῃ.
Σὺν δ' ἄρα τοῖο γυνὴ προτέρη θάνε φίλτρῳ ἐκείνου,
Ἢ πυρὶ, ὡς ὁ Κόϊντος, ἢ ὡς Λυκόφρων ἀπὸ πύργου,
Ἢ βρόχον ἁψαμένη, ὡς Δίκτυϊ εἴδεϊ ἄριστον.
Κάτθανε οὖν αὐτὴ, εἴθ' οὕτως εἴτ' ἐκείνως.
Δηΐφοβος δ' Ἑλένης πόσις ἔπλετο Τυνδαρεώνης·
Ἤ ῥ' ἀέκουσαν ἑλὼν εἴτε Πριάμοιο φράδαισιν.
Ἀργεῖοι δ' ὡς χάρμης οὐκέτι δέρκετο τέρμα,
Αὖθις Ὀδυσσῆα Τρωσὶν ἐπίσκοπον ἧκαν ἐν ὄρφνῃ.
Ἕσπετο καὶ Τυδείδης· Τρωσὶ δὲ μίχθεν ἰόντες.
Οἱ δὲ θεοῖσιν ἔρεξον, πῦρ δ' οὐ καίετο ἱρῶν,
Βωμῶν δ' αὖ κατέπιπτε βοῶν τε κρέα καὶ αἰγῶν.
Τρῶες δ' ὡς ἐνόησαν ἀπαίσια σήματα ἱρῶν,
Ἀργείοις Ἀντήνορα πρεσβέα δῖον ἕηκαν,
Εἴπεμεν Ἀτρείδαις καὶ ἄλλοισιν Δαναοῖσιν,
Ἀργείην Ἑλένην καὶ χρήματα πολλὰ λαβόντες
Παύσασθαι πολέμοιο· ἅλις τετίηνται Τρῶες.
Ὡς ὁ μὲν εἶπεν ἐπελθὼν, οἱ δ' ἐθέλεσκον Ἀχαιοί.
Ἀλλ' Ὀδυσεὺς Τυδείδης τε κατέρυξαν ἰόντες,
Φάντες ὅσα Τρώεσσι μεμιγμένοι ἔννυχον εἶδον.
Τῷ πάντες κατέρυξαν * * *
* * * ἐτώσια πρεσβεῖς ἰόντας.
Αὐτοὶ δ' αὖτ' ἑλεεῖν φράζοντο Τρώϊον ἄστυ.
Οὐδὲ Ὀδυσσέα οἶδα σάφ' εἴποτε Τρῶες ἔπεσχον

Ἢ ἐνὶ κείνῃ νυκτὶ ἐπίσκοπον εἴτε τοὶ ἄλλῃ.
Κεῖνον γὰρ Ἑκάβη κατέχεσθαι, λῦσαι δ' ὦκα.
Αὐτὰρ ἐμὲ δολόεσσα γυνὴ Ἰσαακείοιο
Θλίψεν ἐπικρατέως, λεπροῖς δ' ἐχαρίζετο πολλά,
Οὕνεκα οἱ καλῶς καταθύμια πάντα ἔρεζον.
Ἀλλ' ἐγὼ οὐ πιθόμην, ἥτ' ἂν πολὺ κέρδιον ἦεν.
Τοὔνεκα ἧς ἀνίης μεμνημένος οὐκ ἀλέγισσα,
Ὁππότε Τρῶες Ὀδυσσέα Τρώϊον εἷλον ἐς ἄστυ.
Ἓν τόδ' ἐπισταμένως τε καὶ ἀτρεκέως καταλέξω,
Ὡς ἄρ' ἔην ἀγνώμων ἠδὲ δόλων ὑπόεργος,
Ὅς καὶ δειλὸς ἐὼν ἀνὴρ πολέμοισι γεγήθει.
Ὣς δ' ἄρα καὶ τότε πρεσβείην Τρώων ἀπέπεμψαν·
Μήδετο δ' ἀγκυλόβουλος Τρώϊον ἤμυσαι ἄστυ.
Καὶ δὴ δουράτεον μέγαν ἵππον ἐκέκλετο τεῦξαι.
Αὐτίκα δ' Αἰακίδης περιδέξιος εἶπεν Ἐπειός·
Οὗτος ἐμός γε ἄεθλος, ὑμεῖς δέ μοι ἄξετε ὕλην.
Ὡς ἐρέεινεν ἀνήρ· οἱ δὲ ῥώοντο πρὸς ἔργον
Ἀλλ' ὅτε δὴ πάντα χρειώδεα δοῦρ' ἐκόμισσαν,
Δαιμονίαισι χέρεσσι πελώριον ἤδρασεν ἵππον,
Χρῶσι δ' ἐπὶ χρυσῷ τε καὶ ἀργύρῳ, εὖ κατὰ κόσμον,
Μαρμάρυγας δὲ λίθων τοῖο περὶ δέργματι θῆκεν.
Γαστὴρ δ' ἦν, εὐρεῖα, χάνδανε δ' ἔνδοθι πολλούς.
Γαστέρι δὲ κρυφίη θύρη, ἐν δὲ πόδεσσι τροχισκοί.
Αὐτὰρ ἐπεὶ ποίησε πελώριον ἄρεος ἔργον,
Εἴκοσι τρεῖς ἐσέβαινον ἐπίδμονες ἄνδρες ἄρηος.
Πρῶτα Νεοπτόλεμος, Διομήδης καὶ Κυάνιππος,
Ἰδομενεύς, Μενέλαος, Ὀϊλέος ἄλκιμος υἱός,
Κάλχας, Τευκρός τε καὶ Νεστορίδης Θρασυμήδης

Εὔμηλός τε, Λεοντεὺς, Εὐρυπύλοιο βίη τε,
Δημοφόων, Ἄκαμας τε καὶ Ἄντικλος, ὃς θάνεν ἵππῳ,
Πηνελέως τε, Μέγης τε καὶ Ἀντιφάτης ἐπὶ τοῖσιν,
Ἰφίδαμας, πρὸς δ᾽ ἄρ᾽ Εὐρύδαμας καὶ Ἀμφίδαμας τις,
Πὰρ δ᾽ ἄρα τοῖσιν Ἐπειὸς καὶ Ὀδυσεὺς πολύβουλος.
Ἀλλ᾽ ἄρ᾽ Ἀτρείδων βαιῶν τ᾽ ἄλλων εἶδος ἐνίσπω.
Αὐτὰρ ἔπειτ᾽ ἐρέω πάντα πάλιν, εὖ κατὰ κόσμον.
Ἤτοι μὲν κρατέων Ἀγαμέμνων, κοίρανος ἀνδρῶν,
Λευκὸς ἔην, μέγας, εὐρυπώγων, κυανοχαίτης,
Ἠΰγένης, εὐπαίδευτος μακάρεσσιν ὁμοῖος.
Τοῖο δ᾽ ἀδελφὸς βαιὸς ἔην δέμας, εἶχε δ᾽ ἄρ᾽ εὖρος,
Πυῤῥόχροος δ᾽ ἄρ᾽ ἔην, δασυπώγων, ξανθοέθειρος.
Νέστωρ δ᾽ αὖ μέγας, ἠδὲ καταῤῥις, γλαυκιόων τε,
Μάκροψις, ὑπόπυῤῥος λευκόκομος, πολυφράδμων.
Ἰδομενεὺς δ᾽ ἄρα γόργος, κυανόχρους, μεσοήλιξ,
Κονδόθριξ, δασυπώγων, εὔριν, οὐλοκάρηνος,
Μηριόνης βαιὸς, πλατὺς, εὔθριξ, οὐλοέθειρος,
Λευκὸς, στρεβλόῤῥιν, εὐπώγων, εὐρυμέτωπος.
Λοκρὸς δ᾽ αὖτε ἔην μακρὸς, ὄσσα δὲ τοῖο φαολκά,
Μάκροψις, μελίχρους, οὐλόθριξ, κυανοχαίτης.
Κάλχας μικρὸς ἔην, λεπτὸς, λευκὸς, δασυχαίτης,
Κρᾶτα φέρων πολίην, ὁλόλευκον πρὸς δ᾽ ἄρ᾽ ὑπήνην.
Τυδείδης δ᾽ ἄρα σώματι ἦεν τεσσαράγωνος,
Εὐσχήμων, σίμος, στεναύχην, ξανθογένειος.
Δουρατίου δ᾽ ἄρα ἵππου τέκτων ἦεν Ἐπειὸς
Λευκὸς, ἐν ἡλικίῃ, μέγας, εὔχαρις, εἴδεϊ καλός.
Αὐτὰρ Ὀδυσσεὺς ἡλικίην μέσος ἦν ἰδὲ γάστωρ,
Λευκὸς, ἁπλόθριξ, ἠδὲ κατάῤῥιν, γλαυκιόων τε·

Ὕστατος αὖτ' ἄλλων ἐπιβὰς πότε δούρεον ἵππον,
Τοῦ θύρην κλήϊσσε· ῥίγια εἴδετο ἔργα.
Αὐτὰρ ἐπεὶ κεῖνοι ταλακάρδιοι ἐς λόχον ἦλθο
Ἡρώων ἄλλων ὅσοι ἔσαν ὄβριμοι υἷες
Πῦρ ζαφλεγὲς προέηκαν ὄφρα κλισίας ἀμαθύνῃ.
Τοὶ δ' ἄρ' ἐν εἰρεσίῃσι περῶντες ψευδέα νόστον
Ἐς Τένεδον κατάγοντο, Σίνωνα δὲ Τροίῃ ἔασαν
Γυμνὸν, ἐνὶ μελέεσσιν ἑκούσια τραύματ' ἔχοντα.
Τῷδ' ἄρα πᾶν ἐτέταλτο Ἀχαιῶν ἔργον ἀνύσαι
Ὄρθρῳ μὲν τὰ τελείετο ἔργα δόλοιο Ἀχαιῶν.
Αὐτὰρ ἐπεὶ καλὴ ἐφάνη φαεσίμβροτος Ἠὼς,
Τρῶες ἀνεγρόμενοι μάλα μέρμερα ἔργα θεῶντο.
Αὐτὰρ ἐπεὶ κατέβησαν ὅθι πάρος ἦσαν Ἀχαιοὶ
Εἰσορόωντες θήπεον, οὐδὲ δύναντο νοῆσαι.
Τοῖς δὲ Σίνων δολομῆτις ἐπέδραμε τραύμασι βρίθω
Μειλίχιος δ' ὁ γέρων νιν ἀνείρετο, τίς, πόθεν εἴη
Ὁ δὲ δολοφροσύνῃσιν ἀμείβετο ἄγκυλα πάντα.
Εἶμι μὲν ἐκ Δαναῶν, Δαναοὶ δέ με ἔδρασαν οὕτι
Ὑμέτερον καλέοντες ἀρήγονα, ὡς Παλαμήδην.
Τόνδ' ἄρα δούρεον ἵππον ἄγαλμ' ἀνέθεντο Ἀθήν
Φάντες ὅτι Τρώεσσιν ὀλέθριον ἦμαρ ἐσεῖται,
Εἶκεν ἐᾶτέ μιν οὐδὲ νεὼν ἀγάγητε Ἀθήνῃ.
Ὣς φάτο· τῷ δ' ὁ γέρων πόρεν εἵματα σιγαλόεντ
Τρῶες δὲ ποτὶ ἄστυ πελώριον εἴρυον ἵππον.
Νήπιοι, οὐδ' ἐνόησαν ἑὸν φθόρον ἐγκονέοντες.
Αὐλοὶ δ' αὖ καὶ φόρμιγγες βρέμον ἄπλετον ἠχήν.
Τρυφιόδωρος, οὐκ εἰδὼς, ὅτε πέρθετο Τροίῃ,
Πόλλοις σὺν ἑτέροις κἀμὲ λέγων ἀποφίσκειν,
Οὕνεκ' Ἰσαάκιός μ' ἀτίσατο αἴσχεο τίμας

Ἄνθεσιν ἐστεφάνωσε τὸν ἵππον ἐκ ποτάμοιο,
Χειμῶνος μεσάτοιο ἐόντος, ὡς ἐρεείνω.
Ὀρφεὺς γάρ μ' ἐδίδαξεν ἀπ' ἀνερὸς ἄλλου ἀκούσας,
Ψευδέα μήποτε μῦθον ἐνίσπειν ἀνθρώποισιν.
Ἀλλὰ τὰ μὲν ἐρέω καὶ οὐκ ἀτέλεστα ἐάσω.
Ἵππον δ' ὡς ἐνόησε καθελκόμενον Κασσάνδρη
Τρωσὶ τορὸν βοάασκε κατάξαι ἢ καταπρῆσαι,
Μηδὲ πόλιν φέρεμεν τυκτὸν κακὸν ὀβριμόεργον.
Ὡς ἡ μὲν βοάασκε, πατὴρ δ' ἐπὶ πύργον ἐνεῖρξεν,
Οἷά τε μαινομένην· ἡ δὲ γοάασκε πεσοῦσα.
Λαοκόων δὲ μόνος δουρὶ τὸν ἵππον οὐτήσας,
Παῖδα δρακοντείοισιν ἀπώλεσεν ἐσθλὸν ὀδοῦσι.
Οἱ δ' ἐς Ἀθηναίης πότε ἕσπερον ἤγαγον ἵππον.
Ἀλλ' ὅτε δὴ ἐπέρεξαν ἐνὶ βωμοῖς ἑκατόμβας,
Κρατῆρες θανάτοιο περὶ πτόλιν ἦσαν ἁπαντῆ.
Γυιοβαρὴς Διόνυσος ἐπέβρεμε, χαῖρε δ' Ἐνυώ.
Ἀλλ' ὅτε δὴ κατέμαρψεν ἐπ' ἄμβροτος ὕπνος ἅπαντας,
Νὺξ δ' ἄρ' ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη,
Καὶ τότε δὴ Δαναοῖσι Σίνων φλόγα δεῖξεν ἑταίροις.
Οἱ δὲ μάλ' εἰρεσίῃσιν ἐπεσσύμενοι ἐλόωντες,
Ὀτραλέως ἀφίκοντο καὶ ἔνδοθι πάντες ἔβησαν.
Καὶ τότε δὴ στοναχή τε καὶ οἰμωγὴ γένετ' ἀνδρῶν,
Ἀνδρῶν ἠδὲ γυναικῶν, ὠκυμόρων βρεφέων τε,
Κτεινομένων κατὰ νύκτα περὶ κρητῆρσι καὶ εὐνῇ.
Αἱματοὲν δὲ πέλαγος ἐπώρενε ἐς κύματα μακρὰ
Χαλκείοις ἀνέμοισιν, Ἄρης δ' ἐπενήχετο λυθρῷ.
Καὶ τότε δὴ Μενέλαος ἀριστήεσσι σὺν ἄλλοις
Δηϊφόβου μελάθροισι πέλασσεν, κτεῖνε μὲν αὐτόν,

Αὐτὸς δὲ στονόεσσαν ἀφείλετο Τυνδαρεώνην.
Αἰακίδης δὲ Νεοπτόλεμος Πρίαμον κατέπεφνε,
Εἰς Διὸς ἑρκείοιο μέγαν περικάλλεα βωμόν.
Ἑκτορίδας δ᾽ ἀπὸ πύργων ἄγριος ὦσεν Ὀδυσσεύς.
Κασσάνδρην δ᾽ ἐκ νηοῦ Λοκρὸς ἀφείλετο Αἴας.
Τὴν δ᾽ ἄρα Λαοδίκην ἐνὶ χάσματι δέξατο γαῖα.
Αἰνείας δὲ καὶ Ἀγχίσης φύγον Αὐσονίηνδε,
Ἐξ ὧν περ γενεὴ Λατίνων πέλεν ὀβριμόεθνος.
Παῦροι δ᾽ αὖτε καὶ ἄλλοι φῦγον υἷας Ἀχαιῶν.
Οἱ δ᾽ ἄλλοι κοινῷ θανάτῳ κατὰ μοῖραν ἐπίσπων.
Οἴην μὲν Ἀντήνορος εἰρύσαντο γενέθλην
Ἀργεῖοι, ξενίης μνήμην φορέοντες ἐκείνου,
Παρδαλέην προθύροις ἀρίγνωτον σῆμα βαλόντες.
Αὐτὰρ ἐπεὶ τετέλεστο μακρόχρονον ἔργον Ἄρηος,
Χρυσὸν ὁμοῦ καὶ ἄργυρον ἠδέ τε Τρώϊον ὄλβον
Τρωϊάδάς τε γυναῖκας μοιρήσαντες Ἀχαιοὶ,
Θύσαντες νεκύεσσιν ἑοῖς παρὰ θῖνι θαλάσσης,
Ὠκυάλων ἐπέβαινον νηῶν κυανοπρώρων,
Ἐς πάτραν δ᾽ ἀνάγοντο βαρύῤῥοον οἶδμα περῶντες.
Στησίχορος δ᾽ ἐρέησιν ἑοῖς ἐπέεσσιν νόστον.
Ἢ μὲν ὅσοι πελάγει φθάρεν ἠδ᾽ ὅσοι ἤλυθον ἄλλῃ.
Ἠδ᾽ ὅσοι εἰσαφίκοντο φίλην παρὰ πατρίδα γαῖαν.
Κεῖνος ταῦτ᾽ ἐρέησιν ἀνὴρ, γλῶσσα δ᾽ ἄρ᾽ ἐμεῖο
Βούλη Ἰσαακίοιο δολόφρονος ἠδὲ δάμαρτος
Ἄρτου δευομένη κατίσχεται, οὐδ᾽ ἐπαείδει,
Οὐδὲ θέλει πονέειν περὶ ἄλγεσι θυμὸν ἔχουσα.
Καὶ τάδε τίς που εἴσεται ἀνὴρ ὄρθια κρίνων,
Ὡς ἄρ᾽ ἀτὲρ καμάτοιο ὑμῖν κατὰ πάντ᾽ ἐρέεινα.
Ἀλλ᾽ ὑμεῖς τέκνα μοιρηγενέων γενετήρων,

Ἄλλοθεν Ἀργείων νόστον δίζεσθ᾽ ἐπαείδειν.
Αὐτὰρ ἐγὼν ἐρέω, περὶ τέρματι Μοῦσαν ἑλίσσων,
Τροίαν ὁππότε πέρσαν ἀρήϊοι υἷες Ἀχαιῶν.
Πρωτίστης προπάροιθεν Ὀλυμπιάδος μεγακύκλου
Μέτρον ἀπειρέσιον τετρακοσίων λυκαβάντων
Ὀγδοάτων δεκάτῳ τε Τρώϊον εἵλετο ἄστυ,
Ὡς Σικελὸς Διόδωρος ἐν Ἱστορίῃσιν ἐνείρει
Ἀλλὰ τὰ μὲν κατέλεξα κυκλὰ μεγάλων ἐνιαυτῶν.
Μῆνα δὲ ἤδη ἐρείω ἦμάρ τ᾽ ἠδέ τε ὥρην
Οἰκτροτάτου λυκάβαντος, ὅς ἄλγεα θήκατο Τροίῃ.
Δωδεκάτη μὲν ἔην μηνὸς Θαργηλιῶνος,
Τὸν ῥ᾽ Αἰωνάριον κικλήσκει μὲν Λογγῖνος,
Ἰανουάριον δ᾽ ἀνέρες πάντες καλέουσι.
Νὺξ δ᾽ ἄρ᾽ ἔην μέσση, λαμπρὴ δ᾽ ἐπέτελλε σελήνη,
Παρθένου εἰσελάασα δρόμον μεγάλοισιν ἐν ἄστροις,
Ἠελίου ἀμφ᾽ Αἰγόκερον Κρόνου οἶκον ἐόντος.
Καλλιστὼ δ᾽ ἱέρεια κλειναῖς ἦν ἐν Ἀθήναις
Οἰκτροτάτου μεγάλου λυκάβαντος. Κείνῃ ἐν ὥρῃ,
Κείνῃ νυκτὶ ὁ Λέσβιος Ἑλλάνικος ἀείδει·
Σὺν τῷ καὶ Δοῦρις Τροίην ἑλεεῖν Παναχαιοὺς,
Οἴκαδε δ᾽ ἐλθέμεναι λυγρὸν τὸν νόστον ἰδόντας.

# ΚΟΛΟΥΘΟΥ

## ΑΡΠΑΓΗ ΕΛΕΝΗΣ.

---

# ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΠΟΙΗΜΑΤΟΣ.

Κολοῦθος Λυκοπολίτης Θηβαῖος, ἐποποιός, γεγονὼς κατὰ Σούδαν ἐπὶ Ἀναστασίου τοῦ κληθέντος βραχίνου, μετὰ Ζήνωνα βασιλεύσαντος ἐν Κωνσταντινουπόλει, μεθ᾽ ὃν ἐβασίλευσεν Ἰουστῖνος ὁ Θρᾴξ, καὶ μετ᾽ ἐκεῖνον Ἰουστινιανὸς ὁ θεῖος, ὁ ἐλευθερώσας Ἰταλίαν τῆς δουλείας τῶν Γότθων διὰ Βελισαρίου, ἀνεψιὸς ὢν ἐκείνου, χίλια ἔτη εἰσὶ καὶ μικρόν τι πρός. οὗτος ἔγραψε Καλυδωνιακὰ δί ἐπῶν ἐν βιβλίοις ἓξ καὶ ἐγκώμια καὶ Περσικά. τούτῳ ἐπιγέγραπται καὶ τὸ παρὸν ποίημα, Ἑλένης ἁρπαγή, ἐν Ἀπουλίᾳ σύνηθες καὶ γνώριμον, ὅπου καὶ ἡ ποίησις τοῦ Ὁμηρικοῦ Κοΐντου πρῶτον εὕρηται ἐν τῷ ναῷ τοῦ θείου Νικολάου τῶν Κασσούλων ἔξω τοῦ Ὑδρόντου· ὃ ἀνασώσας ὁ θεῖος Βησσαρίων ὁ Νικαίας καρδινάλις Θουσκουλανοῦ, τοῖς βουλομένοις ἐκοίνωσε. καὶ τοῦτο δὲ ἀπόκρυφον γεγονὸς νῦν κοινὸν ἔσται.

Ἔστι δὲ ἰδεῖν ἐν τούτῳ τὴν ἐν τῷ γάμῳ τοῦ Πηλέως καὶ Θέτιδος συναγωγὴν τῶν θεῶν, καὶ τὴν

τῆς Ἔριδος σύγχυσιν καὶ ἔριν περὶ τοῦ μήλου, καὶ ὅτι ὁ Ζεὺς ἔπεμψεν Ἑρμῆν πρὸς Πάριν κρινοῦντα τὰς τρεῖς θεὰς καὶ τῇ εὐειδεστέρᾳ δώσοντα τὸ μῆλον. καὶ πολλῶν ῥηθέντων ὁ Πάρις δέδωκε τῇ Ἀφροδίτῃ τὸ μῆλον ἐπὶ ὑποσχέσει λαβεῖν τὴν Ἑλένην. ὃ καὶ γέγονε· πλεύσας γὰρ εἰς τὴν Ἑλλάδα καὶ εἰς Σπάρτην, καὶ λαβὼν ἐκείνην, ἀνήγαγεν εἰς Ἴλιον κακὸν ἀρχέκακον πάντων τῶν δεινῶν.

Νύμφαι Τρωϊάδες, ποταμοῦ Ξάνθοιο γενέθλη,
αἳ πλοκάμων κρήδεμνα καὶ ἱερὰ παίγνια χειρῶν
πολλάκι πατρῴῃσιν ἐπὶ ψαμάθοισι λιποῦσαι
ἐς χορὸν Ἰδαίῃσιν ἐπεντύνεσθε χορείαις,
δεῦτε, θεμιστοπόλοιο νοήματα μηλοβοτῆρος
εἴπατέ μοι, κελάδοντος ἀπορνύμεναι ποταμοῖο,
ἐξ ὀρέων πόθεν ἦλθεν ἀήθεα πόντον ἐλαύνων,
ἀγνώσσων ἁλὸς ἔργα· τί δαὶ χρέος ἔπλετο νηῶν
ἀρχεκάκων, ἵνα πόντον ὁμοῦ καὶ γαῖαν ὀρίνῃ
βουκόλος· ὠγυγίη δὲ τίς ἔπλετο νείκεος ἀρχή,
ὄφρα καὶ ἀθανάτοισι θεμιστεύσωσι νομῆες·
τίς δὲ δικασπολίη· πόθεν ἔκλυεν οὔνομα νύμφης
Ἀργείης. αὐταὶ γὰρ ἐθηήσασθε μολούσας
Ἰδαίης τρικάρηνον ὑπὸ πρηῶνα Φαλάκρης,
καὶ Πάριν οἰοπόλοισιν ἐφεδριόωντα θοώκοις,
καὶ Χαρίτων βασίλειαν ἀγαλλομένην Ἀφροδίτην.
Ὡς ὁ μὲν ὑψιλόφοισιν ἐν οὔρεσιν Αἱμονιήων,
νυμφιδίων Πηλῆος ἀειδομένων ὑμεναίων,
Ζηνὸς ἐφημοσύνῃσιν ἐῳνοχόει, Γανυμήδης·
πᾶσα δὲ κυδαίνουσα θεῶν ἔσπευδε γενέθλη
αὐτοκασιγνήτην λευκώλενον Ἀμφιτρίτης,
Ζεὺς μὲν ἀπ' Οὐλύμποιο, Ποσειδάων δὲ θαλάσσης·
ἐκ δὲ μελισσήεντος ἀπεσσυμένων Ἑλικῶνος
Μουσάων λιγύφωνον ἄγων χορὸν ἦλθεν Ἀπόλλων·
τὸν δὲ μεθ' ὡμάρτησε κασιγνήτη Διὸς Ἥρη.
οὐδ' αὐτὴ βασίλεια καὶ Ἁρμονίης Ἀφροδίτη

ἐρχομένη δήθυνεν ἐς ἄλσεα Κενταύροιο.
καὶ στέφος ἀσκήσασα γαμήλιον ἤλυθε Πειθώ,
τοξευτῆρος Ἔρωτος ἐλαφρίζουσα φαρέτρην.
καὶ βριαρὴν τριφάλειαν ἀπὸ κροτάφοιο μεθεῖσα
ἐς γάμον ὡμάρτησε γάμων ἀδίδακτος Ἀθήνη.
οὐδὲ κασιγνήτη Λητωϊὰς Ἀπόλλωνος
Ἄρτεμις ἠτίμησε, καὶ ἀγροτέρη περ ἐοῦσα.
οἷος δ᾽ οὐ κυνέην, οὐ δήϊον ἔγχος ἀείρων
ἐς δόμον Ἡφαίστοιο σιδήρεος ἔρχεται Ἄρης,
τοῖος ἄτερ θώρηκος, ἄτερ θηκτοῖο σιδήρου
μειδιόων ἐχόρευεν. Ἔριν δ᾽ ἀγέραστον ἐάσας
οὐ Χείρων ἀλέγιζε καὶ οὐκ ἐμπάζετο Πηλεύς.
χρυσείοις δ᾽ ἑκάτερθε τινασσόμενος πλοκάμοισι
βότρυς ἀκερσεκόμης Ζεφύρῳ στυφελίζετο χαίτης.
ἡ δ᾽, ἅτε βησσήεντος ἀποπλαγχθεῖσα νομοῖο
πόρτις ἐρημαίῃσιν ἐνὶ ξυλόχοισιν ἀλᾶται,
φοινήεντι μύωπι, βοῶν ἐλατῆρι, τυπεῖσα·
τοῖα βαρυζήλοισιν Ἔρις πληγῇσι δαμεῖσα
πλάζετο, μαστεύουσα θεῶν πῶς δαῖτας ὀρίνοι.
πολλάκι δ᾽ εὐλάϊγγος ἀπὸ κλισμοῖο θοροῦσα
ἵστατο καὶ παλίνορσος ἐφέζετο· χειρὶ δὲ γαίης
εὐρέα κόλπον ἄραξε, καὶ οὐκ ἐφράσσατο πέτρην.
ἤθελεν ὀρφναίων γυάλων κληῗδας ἀνεῖσα,
ἐκ χθονίων Τιτῆνας ἀναστήσασα βερέθρων,
οὐρανὸν ὑψιμέδοντος ἀϊστῶσαι Διὸς ἕδρην.
ἤθελε δ᾽ ἠχήεντα πυρὸς πρηστῆρα τινάσσειν·
Ἡφαίστῳ δ᾽ ὑπόεικεν, ἀτυζομένη περ ἐοῦσα,
καὶ πυρὸς ἀσβέστοιο καὶ ἰθυντῆρι σιδήρου.
καὶ σακέων βαρύδουπον ἐμήσατο κόμπον ἀράσσειν,

εἴ ποτε δειμαίνοντες ἀναθρώσκοιεν ἰωήν·
ἀλλὰ καὶ ὁπλοτέρης δολίης ἀνεχάσσατο βουλῆς
Ἄρεα δειμαίνουσα, σιδήρεον ἀσπιδιώτην.
ἤδη δ' Ἑσπερίδων χρυσέων ἐμνήσατο μήλων·
ἔνθεν Ἔρις πτολέμοιο προάγγελον ἔρνος ἑλοῦσα,
μῆλον, ἀριζήλων ἐφράσσατο δήνεα μόχθων.
χειρὶ δὲ κινήσασα μόθου πρωτόσπορον ἀρχὴν
ἐς θαλίην ἔῤῥιψε, χορὸν δ' ὤρινε θεάων.
Ἥρη μὲν παράκοιτις ἀγαλλομένη Διὸς εὐνῇ,
ἵστατο θαμβήσασα καὶ ἤθελε ληΐζεσθαι·
πασάων δ' ἅτε Κύπρις ἀρειοτέρη γεγαυῖα,
μῆλον ἔχειν ἐπόθησεν, ὅτι κτέρας ἐστὶν Ἐρώτων.
Ζεὺς δὲ θεῶν καὶ νεῖκος ἰδὼν καὶ παῖδα καλέσσας,
τοῖον ἐφεδρήσσοντα προσέννεπεν Ἑρμάωνα·
Εἴ τινά που Ξάνθοιο παρ' Ἰδαίοιο ῥεέθροις
παῖδα Πάριν Πριάμοιο, τὸν ἀγλαὸν ἡβητῆρα,
Τροίης βουκολέοντα κατ' οὔρεα, τέκνον, ἀκούεις,
κείνῳ μῆλον ὄπαζε· διακρίνειν δὲ θεάων
κέκλεο καὶ βλεφάρων ξυνοχὴν καὶ κύκλα προσώπων.
ἡ δὲ διακρινθεῖσα φέρειν περίπυστον ὀπώρην
κάρτος ἀρειοτέρης ἐχέτω καὶ κόσμον Ἐρώτων.
Ὣς ὁ μὲν Ἑρμάωνι πατὴρ ἐπέτελλε Κρονίων·
αὐτὰρ ὁ πατρῴῃσιν ἐφημοσύνῃσι πιθήσας
εἰς ὁδὸν ἡγεμόνευε καὶ οὐκ ἀμέλησε θεάων.
πᾶσα δὲ λωϊτέρην καὶ ἀμείνονα δίζετο μορφήν.
Κύπρις μὲν δολόμητις ἀναπτύξασα καλύπτρην,
καὶ περόνην θυόεντα διαστήσασα κομάων,
χρυσῷ μὲν πλοκάμους, χρυσῷ δ' ἐστέψατο χαίτην.
τοῖα δὲ παῖδας Ἔρωτας ἀνηΰτησεν ἰδοῦσα·

Ἐγγὺς ἀγών, φίλα τέκνα· περιπτύξασθε τιθήνην.
σήμερον ἀγλαΐαι με διακρίνουσι προσώπων.
δειμαίνω, τίνι μῆλον ὁ βουκόλος οὗτος ὀπάσσει.
Ἥρην μὲν Χαρίτων ἱερὴν ἐνέπουσι τιθήνην,
φασὶ δὲ κοιρανίην μεθέπειν καὶ σκῆπτρα φυλάσσειν·
καὶ πολέμων βασίλειαν ἀεὶ καλέουσιν Ἀθήνην·
μούνη Κύπρις ἄναλκις ἔην θεός. οὐ βασιλήων
κοιρανίην, οὐδ' ἔγχος Ἀρήϊον, οὐ βέλος ἕλκω.
ἀλλὰ τί δειμαίνω περιώσιον, ἀντὶ μὲν αἰχμῆς
ὡς θοὸν ἔγχος ἔχουσα μελίφρονα δεσμὸν ἐρώτων.
κεστὸν ἔχω, καὶ κέντρον ἄγω, καὶ τόξον ἀείρω,
κεστόν, ὅθεν φιλότητος ἐμῆς ἐμὸν οἶστρον ἑλοῦσαι
πολλάκις ὠδίνουσι καὶ οὐ θνήσκουσι γυναῖκες.
Τοῖον ἐφεσπομένη ῥοδοδάκτυλος ἔννεπε Κύπρις.
οἳ δ' ἄρα μητρῴης ἐρατῆς ἀΐοντες ἐφετμῆς,
φοιτητῆρες Ἔρωτες, ἐπεῤῥώοντο τιθήνῃ.
Ἄρτι μὲν Ἰδαίην ὑπερέδραμον οὔρεος ἄκρην,
ἔνθα λιθοκρήδεμνον ὑπὸ πρηῶνος ἐρίπνην
κουρίζων ἐνόμευε Πάρις πατρώϊα μῆλα,
ποιμαίνων θ' ἑκάτερθεν ἐπὶ προχοῇσιν Ἀναύρου
νόσφι μὲν ἀγρομένων ἀγέλην πεμπάζετο ταύρων,
νόσφι δὲ βοσκομένων διεμέτρεε πώεα μήλων.
καί τις ὀρεσσαύλοιο δορὴ μετόπισθε χιμαίρης
ἐκκρεμὲς ᾐώρητο, καὶ αὐτῶν ἅπτετο μηρῶν·
ποιμενίη δ' ὑπέκειτο, βοῶν ἐλάτειρα, καλαῦροψ.
τοῖος ἐών, σύριγγος ἐς ἤθεα βαιὸν ὁδεύων,
ἀγροτέρην καλάμων λιγυρὴν ἐδίωκεν ἀοιδήν.
πολλάκι δ' οἰοπόλοισιν ἐνὶ σταθμοῖσιν ἀείδων,
καὶ ταύρων ἀμέλησε καὶ οὐκ ἐμπάζετο μήλων.

ἔνθεν ἔχων σύριγγα κατ' ἤθεα καλὰ νομήων,
Πανὶ καὶ Ἑρμάωνι φίλην ἀνεβάλλετο μολπήν.
οὐ κύνες ὠρύοντο καὶ οὐ μυκήσατο ταῦρος·
μούνη δ' ἠνεμόεσσα, βοῆς ἀδίδακτος ἐοῦσα,
Ἰδαίων ὀρέων ἀντίθρυος ἴαχεν Ἠχώ.
ταῦροι δὲ χλοερῆς κεκορηότες ὑψόθι ποίης,
κεκλιμένοι βαρύγουνον ἐπ' ἰσχίον, εὐνάζοντο.
Ὣς ὁ μὲν ὑψορόφοιο φυτῶν ὑπένερθε καλύπτρης
τηλόθεν Ἑρμάωνα διάκτορον εἶδε λιγαίνων.
δειμαίνων δ' ἀνόρουσε, θεῶν δ' ἀλέεινεν ὀπωπήν·
καὶ χορὸν εὐκελάδων δονάκων ἐπὶ φηγὸν ἐρείσας,
μήπω πολλὰ καμοῦσαν ἑὴν ἀνέκοπτεν ἀοιδήν.
τοῖα δὲ δειμαίνοντα προσέννεπε θέσκελος Ἑρμῆς·
Γαῦλον ἀποῤῥίψας καὶ πώεα καλὰ μεθήσας
δεῦρο θεμιστεύσειας ἐπουρανίῃσι δικάζων·
δεῦρο διακρίνων προφερέστερον εἶδος ὀπωπῆς,
φαιδροτέρῃ τόδε μῆλον, ἐπήρατον ἔρνος, ὀπάσσαις.
Τοῖον ἀνηΰτησεν· ὁ δ' ἤπιον ὄμμα τανύσσας
ἦκα διακρίνειν πειρήσατο κάλλος ἑκάστης.
δέρκετο μὲν γλαυκῶν βλεφάρων σέλας, ἔδρακε δειρὴν
χρυσῷ δαιδαλέην, ἐφράσσατο κόσμον ἐθείρης,
καὶ πτέρνης μετόπισθε καὶ αὐτῶν ἴχνια ταρσῶν.
χειρῶν μειδιόωντα δίκης προπάροιθεν ἑλοῦσα,
τοῖον Ἀλεξάνδρῳ μυθήσατο μῦθον Ἀθήνη·
Δεῦρο, τέκος Πριάμοιο! Διὸς παράκοιτιν ἐάσας,
καὶ θαλάμων βασίλειαν ἀτιμήσας Ἀφροδίτην,
ἠνορέης ἐπίκουρον ἐπαινήσειας Ἀθήνην.
φασί σε κοιρανέειν καὶ Τρώϊον ἄστυ φυλάσσειν·
δεῦρό σε τειρομένοισι σαόπτολιν ἄνδρασι θήσω,

μή ποτέ σοι βαρύμηνις ἐπιβρίσειεν Ἐνυώ.
πείθεο, καὶ πτολέμους τε καὶ ἠνορέην σε διδάξω.
Ὣς ἡ μὲν πολύμητις ἀνηΰτησεν Ἀθήνη.
τοῖα δ' ὑποβλήδην λευκώλενος ἔννεπεν Ἥρη·
Εἴ με διακρίνων προφερέστερον ἔρνος ὀπάσσῃς,
πάσης ἡμετέρης Ἀσίης ἡγήτορα θήσω.
ἔργα μόθων ἀθέριζε· τί γὰρ πολέμων βασιλῆϊ;
κοίρανος ἰφθίμοισι καὶ ἀπτολέμοισι κελεύει.
οὐκ αἰεὶ θεράποντες ἀριστεύουσιν Ἀθήνης·
ὠκύμοροι θνήσκουσιν ὑποδρηστῆρες Ἐνυοῦς.
Τοίην κοιρανίην πρωτόθρονος ὤπασεν Ἥρη.
ἡ δ' ἑανὸν βαθύκολπον ἐς ἠέρα, γυμνώσασα
κόλπον, ἀνηώρησε καὶ οὐκ ᾐδέσσατο, Κύπρις.
χειρὶ δ' ἐλαφρίζουσα μελίφρονα δεσμὸν ἐρώτων,
στῆθος ἅπαν γύμνωσε, καὶ οὐκ ἐμνήσατο μαζῶν.
τοῖα δὲ μειδιόωσα προσέννεπε μηλοβοτῆρα·
Δέξο με, καὶ πολέμων ἐπιλήθεο· δέχνυσο μορφὴν
ἡμετέρην, καὶ σκῆπτρα καὶ Ἀσίδα κάλλιπε γαῖαν.
ἔργα μόθων οὐκ οἶδα· τί γὰρ σακέων Ἀφροδίτῃ;
ἀγλαΐῃ πολὺ μᾶλλον ἀριστεύουσι γυναῖκες.
ἀντὶ μὲν ἠνορέης ἐρατὴν παράκοιτιν ὀπάσσω,
ἀντὶ δὲ κοιρανίης Ἑλένης ἐπιβήσεο λέκτρων·
νυμφίον ἀθρήσει σε μετὰ Τροίην Λακεδαίμων.
Οὔπω μῦθος ἔληγεν, ὁ δ' ἀγλαὸν ὤπασε μῆλον,
ἀγλαΐης ἀνάθημα, μέγα κτέρας Ἀφρογενείῃ,
φυταλιὴν πολέμοιο, κακὴν πολέμοιο γενέθλην.
χειρὶ δὲ μῆλον ἔχουσα τόσην ἀνενείκατο φωνήν,
Ἥρην κερτομέουσα καὶ ἀντιάνειραν Ἀθήνην·
Εἴξατέ μοι, πολέμοιο συνήθεες, εἴξατε νίκης.

ἀγλαΐην ἐφίλησα, καὶ ἀγλαΐη με διώκει.
φασί σε, μῆτερ Ἄρηος, ὑπ' ὠδίνεσσιν ἀέξειν
ἠϋκόμων Χαρίτων ἱερὸν χορόν· ἀλλά σε πᾶσαι
σήμερον ἠρνήσαντο, καὶ οὐ μίαν εὗρες ἀρωγόν.
οὐ σακέων βασίλεια, καὶ εἰ πυρός ἐστι τιθήνη,
οὔ σοι Ἄρης ἐπάρηξε, καὶ εἰ δορὶ μαίνεται Ἄρης·
οὐ φλόγες Ἡφαίστοιο, καὶ εἰ φλογὸς ἆσθμα λοχεύει.
οἷά τε κυδιάεις ἀνεμώλιος, Ἀτρυτώνη!
ἣν γάμος οὐκ ἔσπειρε καὶ οὐ μαιώσατο μήτηρ,
ἀλλὰ σιδηρείη σε τομὴ καὶ ῥίζα σιδήρου
πατρῴων ἀλόχευτον ἀνεβλάστησε καρήνων.
οἷα δὲ χαλκείοισι καλυψαμένη χρόα πέπλοις!
καὶ φεύγεις φιλότητα καὶ Ἄρεος ἔργα διώκεις,
ἁρμονίης ἀδίδακτος, ὁμοφροσύνης ἀδαήμων.
ἀγνώσσεις ὅτι μᾶλλον ἀνάλκιδές εἰσιν Ἀθῆναι
τοῖαι, κυδαλίμοισιν ἀγαλλόμεναι πολέμοισι,
κεκριμένων μελέων, οὔτ' ἄρσενες οὔτε γυναῖκες;
Τοιάδ' ἐφυβρίζουσα προσέννεπε Κύπρις Ἀθήνην.
ὥς ἡ μὲν πτολίπορθον ἀέθλιον ἔλλαχε μορφῆς,
Ἥρην ἐξελάσασα καὶ ἀσχαλόωσαν Ἀθήνην.
ἱμείρων δ' ὑπ' ἔρωτι, καὶ ἣν οὐκ εἶδε διώκων
Δύςπαρις, ἀθροίσας ἐπὶ δάσκιον ἤγαγεν ὕλην
ἀνέρας ἐργοπόνοιο δαήμονας Ἀτρυτώνης.
ἔνθα τανυπρέμνοιο δαϊζόμεναι δρύες Ἴδης
ἤριπον ἀρχεκάκοιο περιφροσύνῃσι Φερέκλου,
ὅς ποτε μαργαίνοντι χαριζόμενος βασιλῆϊ
νῆας Ἀλεξάνδρῳ δρυτόμῳ τεκτήνατο χαλκῷ.
αὐτῆμαρ προβέβουλε καὶ αὐτῆμαρ κάμε νῆας,
νῆας ἃς οὐκ ἐνόησε καὶ οὐκ ἤσκησεν Ἀθήνη.

Ἄρτι μὲν Ἰδαίων ὀρέων ἠλλάξατο πόντον,
καὶ λεχέων ἐπίκουρον ἐφεσπομένην Ἀφροδίτην
πολλάκις ἀκταίοισιν ἱλασκόμενος θυέεσσιν,
ἔπλεεν Ἑλλήςποντον ἐπ᾽ εὐρέα νῶτα τιθήνης.
τῷ δὲ πολυτλήτων σημήϊα φαίνετο μόχθων.
κυανέη μὲν ὕπερθεν ἀναθρώςκουσα θάλασσα
οὐρανὸν ὀρφναίων ἑλίκων ἐζώσατο δεσμῷ·
ἡ δ᾽ ἄρα μιχθαλόεντος ἀπ᾽ ἤερος ὄμβρον ἱεῖσα . . . :
ἐκλύσθη δέ τε πόντος ἐρεσσομένων ἐρετάων.
τόφρα δὲ Δαρδάνιον καὶ Τρώϊον οὖδας ἀμείψας
Ἰσμαρίδος μεθέηκε παραπλώων στόμα λίμνης·
αἶψα δὲ Θρηϊκίοιο μετὰ ῥία Παγγαίοιο
Φυλλίδος ἀντέλλοντα φιλήνορος ἔδρακε τύμβον,
καὶ δρόμον ἐννεάκυκλον ἀλήμονος εἶδε κελεύθου,
ἔνθα διαστείχουσα κινύρεο, Φυλλίς, ἀκοίτην
δεχνυμένη παλίνορσον ἀπήμονα Δημοφόωντα,
ὁππότε νοστήσειεν Ἀθηναίης ἀπὸ δήμων.
τῷ δὲ βαθυκλήροιο διὰ χθονὸς Αἱμονιήων
ἐξαπίνης ἀνέτελλεν Ἀχαιίδος ἄστεα γαίης,
Φθίη βωτιάνειρα καὶ εὐρυάγυια Μυκήνη.
ἔνθεν ἀνερχομένοιο παρ᾽ εἰαμενὰς Ἐρυμάνθου
Σπάρτην καλλιγύναικα, φίλην πόλιν Ἀτρείωνος,
κεκλιμένην ἐνόησεν ἐπ᾽ Εὐρώταο ῥεέθροις.
ἄγχι δὲ ναιομένην ὑπὸ δάσκιον οὔρεος ὕλην
γείτονα παπταίνων ἐρατὴν θηεῖτο Θεράπνην.
οὔπω κεῖθεν ἔην δολιχὸς πλόος, οὐδὲ γαλήνης
δηρὸν ἐρεσσομένων ἠκούετο δοῦπος ἐρετμῶν.
καὶ χθονὸς εὐκόλποισιν ἐπ᾽ ἠϊόνεσσι βαλόντες
πείσματα νηὸς ἔδησαν, ὅσοις ἁλὸς ἔργα μέμηλεν.

Αὐτὰρ ὁ χιονέοιο λοεσσάμενος ποταμοῖο
ᾤχετο φειδομένοισιν ἐπ' ἴχνεσιν ἴχνος ἐρείδων,
μὴ πόδες ἱμερόεντες ὑποχραίνοιντο κονίης,
μὴ πλοκάμων κυνέῃσιν ἐπιβρίσαντες ἔθειρας
ὀξύτερον σπεύδοντος ἀναστέλλοιεν ἀῆται.
ἄρτι μὲν αἰπύδμητα φιλοξείνων ναετήρων
δώματα παπταίνων καὶ γείτονας ἐγγύθι νηούς,
ἄστεος ἀγλαΐην διεμέτρεεν, ἔνθα μὲν αὐτῆς
χρύσεον ἐνδαπίης θηεύμενος εἶδος Ἀθήνης,
ἔνθα δὲ Καρνείοιο παραγνάψας Ὑακίνθου,
ὅν ποτε κουρίζοντα σὺν Ἀπόλλωνι νοήσας
δῆμος Ἀμυκλαίων ἠγάσσατο, μὴ Διὶ Λητώ
σκυζομένη, καὶ τοῦτον ἀνήγαγεν. αὐτὰρ Ἀπόλλων
οὐκ ἐδάη Ζεφύρῳ ζηλήμονι παῖδα φυλάσσων.
γαῖα δὲ δακρύσαντι χαριζομένη βασιλῆϊ
ἄνθος ἀνηέξησε παραίφασιν Ἀπόλλωνι,
ἄνθος ἀριζήλοιο φερώνυμον ἡβητῆρος.
Ἤδη δ' ἀγχιδόμοισιν ἐπ' Ἀτρείδαο μελάθροις
ἵστατο, θεσπεσίῃσιν ἀγαλλόμενος χαρίτεσσιν.
οὐ Διὶ τοῖον ἔτικτεν ἐπήρατον υἷα Θυώνη·
ἱλήκοις, Διόνυσε, καὶ εἰ Διός ἐσσι γενέθλης·
καλὸς ἔην καὶ κεῖνος ἐπ' ἀγλαΐῃσι προσώπου.
ἡ δὲ φιλοξείνων θαλάμων κληῗδας ἀνεῖσα
ἐξαπίνης Ἑλένη μετεκίαθε δώματος αὐλήν·
καὶ θαλερῶν προπάροιθεν ὀπιπεύουσα θυράων,
ὡς ἴδεν, ὣς ἐκάλεσσε καὶ ἐς μυχὸν ἤγαγεν οἴκου,
καί μιν ἐφεδρήσσειν νεοπηγέος ὑψόθεν ἕδρης
ἀργυρέης ἐπέτελλε· κόρον δ' οὐκ εἶχεν ὀπωπῆς,
ἄλλοτε δὴ χρύσειον ὀϊσαμένη Κυθερείης

κοῦρον ὀπιπεύειν θαλαμηπόλον· ὀψὲ δ' ἀνέγνω,
ὡς οὐκ ἔστιν Ἔρως· βελέων δ' οὐκ εἶδε φαρέτρην.
πολλάκι δ' ἀγλαΐῃσιν ἐϋγλήνοιο προσώπου
παπταίνειν ἐδόκευε τὸν ἡμερίδων βασιλῆα·
ἀλλ' οὐχ ἡμερίδων θαλερὴν ἐδόκευεν ὀπώρην
πεπταμένην χαρίεντος ἐνὶ ξυνοχῇσι καρήνου.
ὀψὲ δὲ θαμβήσασα τόσην ἀνενείκατο φωνήν·
Ξεῖνε, πόθεν τελέθεις; ἐρατὸν γένος εἰπὲ καὶ ἡμῖν.
ἀγλαΐην μὲν ἔοικας ἀριζήλῳ βασιλῆϊ,
ἀλλὰ τεὴν οὐκ οἶδα παρ' Ἀργείοισι γενέθλην.
πᾶσαν Δευκαλίωνος ἀμύμονος οἶδα γενέθλην.
οὐ Πύλον ἠμαθόεσσαν ἔχεις, Νηλήϊον οὖδας·
Ἀντίλοχον δεδάηκα, τεὴν δ' οὐκ εἶδον ὀπωπήν.
οὐ Φθίην χαρίεσσαν, ἀριστήων τροφὸν ἀνδρῶν·
οἶδα περικλήϊστον ὅλον γένος Αἰακιδάων,
ἀγλαΐην Πηλῆος, ἐϋκλείην Τελαμῶνος,
ἤθεα Πατρόκλοιο καὶ ἠνορέην Ἀχιλῆος.
Τοῖα Πάριν ποθέουσα λιγύθροος ἔννεπε νύμφη.
αὐτὰρ ὁ μειλιχίην ἠμείβετο γῆρυν ἀνοίξας·
Εἴ τινά που Φρυγίης ἐνὶ πείρασι γαῖαν ἀκούεις,
Ἴλιον, ἣν πύργωσε Ποσειδάων καὶ Ἀπόλλων·
εἴ τινά που πολύολβον ἐνὶ Τροίῃ βασιλῆα
ἔκλυες εὐώδινος ἀπὸ Κρονίδαο γενέθλης·
ἔνθεν ἀριστεύων ἔμφυλια πάντα διώκω.
εἰμί, γύναι, Πριάμοιο πολυχρύσου φίλος υἱός·
εἰμὶ δὲ Δαρδανίδης· ὁ δὲ Δάρδανος ἐκ Διὸς ἦεν.
ᾧ καὶ ἀπ' Οὐλύμποιο θεοὶ ξυνήονες ἀνδρῶν
πολλάκι θητεύουσι, καὶ ἀθάνατοί περ ἐόντες.
ὧν ὁ μὲν ἡμετέρης δωμήσατο τείχεα πάτρης,

τείχεα μὴ πίπτοντα, Ποσειδάων καὶ Ἀπόλλων . . . .
αὐτὰρ ἐγώ, βασίλεια, δικασπόλος εἰμὶ θεάων.
καὶ γὰρ ἀκηχεμένῃσιν ἐπουρανίῃσι δικάζων
Κύπριδος ἀγλαΐην καὶ ἐπήρατον ᾔνεσα μορφήν,
ἡ δὲ περικλῄϊστον, ἐμῶν ἀντάξιον ἔργων,
νύμφην ἱμερόεσσαν ἐμοὶ κατένευσεν ὀπάσσαι,
ἣν Ἑλένην ἐνέπουσι, κασιγνήτην Ἀφροδίτης.
ἧς ἕνεκεν τέτληκα καὶ οἴδματα τόσσα περῆσαι.
δεῦρο γάμον κεράσωμεν, ἐπεὶ Κυθέρεια κελεύει·
μή με καταισχύνειας, ἐμὴν καὶ Κύπριν ἐλέγξῃς.
οὐκ ἐρέω· τί δὲ τόσσον ἐπισταμένην σε διδάξω;
οἶσθα γὰρ ὡς Μενέλαος ἀνάλκιδός ἐστι γενέθλης.
οὐ τοῖαι γεγάασιν ἐν Ἀργείοισι γυναῖκες·
καὶ γὰρ ἀκιδνοτέροισιν ἀεξόμεναι μελέεσσιν
ἀνδρῶν εἶδος ἔχουσι, νόθοι δ' ἐγένοντο γυναῖκες.
Ἔννεπεν· ἡ δ' ἐρόεσσαν ἐπὶ χθονὶ πῆξεν ὀπωπὴν
δηρὸν ἀμηχανέουσα, καὶ οὐκ ἠμείβετο νύμφη.
ὀψὲ δὲ θαμβήσασα τόσην ἀνενείκατο φωνήν·
Ἀτρεκέως, ὦ ξεῖνε, τεῆς ποτὲ πυθμένα πάτρης
τὸ πρὶν ἐδωμήσαντο Ποσειδάων καὶ Ἀπόλλων;
ἤθελον ἀθανάτων δαιδάλματα κεῖνα νοῆσαι
καὶ νομὸν οἰονόμοιο λιγύπνοον Ἀπόλλωνος,
ἔνθα θεοδμήτοισι παρὰ προμολῇσι πυλάων
πολλάκις εἰλιπόδεσσιν ἐφέσπετο βουσὶν Ἀπόλλων.
ἔρχεο νῦν Σπάρτηθεν ἐπὶ Τροίην με κεμίζων.
ἕψομαι, ὡς Κυθέρεια γάμων βασίλεια κελεύει.
οὐ τρομέω Μενέλαον, ὅτ' ἂν Τροίῃ με νοήσῃ.
Τοίην συνθεσίην καλλίσφυρος ἔννεπε νύμφη.
νὺξ δὲ πόνων ἄμπαυμα μετ' ἠελίοιο κελεύθους

ὕπνον ἐλαφρίζουσα μετήορον, ὤπασεν ἠῶ
ἀρχομένην· δυιὰς δὲ πύλας ὤϊξεν ὀνείρων,
τὴν μὲν ἀληθείης, κεράων ἀπελάμπετο κόσμῳ,
ἔνθεν ἀναθρώσκουσι θεῶν νημερτέες ὀμφαί·
τὴν δὲ δολοφροσύνης, κενεῶν θρέπτειραν ὀνείρων.
αὐτὰρ ὁ ποντοπόρων Ἑλένην ἐπὶ σέλματα νηῶν
ἐκ θαλάμων ἐκόμισσε φιλοξείνων Μενελάου,
κυδιόων δ' ὑπέροπλον ὑποσχεσίῃ Κυθερείης,
φόρτον ἄγων ἔσπευδεν ἐς Ἴλιον ἰωχμοῖο.
Ἑρμιόνη δ' ἀνέμοισιν ἀποῤῥίψασα καλύπτρην
ἱσταμένης πολύδακρυς ἀνέστενεν ἠριγενείης,
πολλάκι δ' ἀμφιπόλους θαλάμων ἔκτοσθε λαβοῦσα,
ὀξύτατον βοόωσα, τόσην ἀνενείκατο φωνήν·
Παῖδες, πῇ με λιποῦσα πολύστονον ᾤχετο μήτηρ,
ἣ χθιζὸν σὺν ἐμοὶ θαλάμων κληῖδας ἑλοῦσα
ἔδραθεν ὑπνώουσα καὶ ἐς μίαν ἤλυθεν εὐνήν;
Ἔννεπε δακρυχέουσα, συνωδύροντο δὲ παῖδες.
ἀγρόμεναι δ' ἑκάτερθεν ἐπὶ προθύροισιν ἐρύκειν
Ἑρμιόνην στενάχουσαν ἐπειρήσαντο γυναῖκες·
Τέκνον ὀδυρομένη, γόον εὔνασον. ᾤχετο μήτηρ
νοστήσει παλίνορσος· ἔτι κλαίουσα νοήσεις.
οὐχ ὁράᾳς; γοεραὶ μὲν ὑπημύουσι παρειαί,
πυκνὰ δὲ μυρομένης θαλεραὶ μινύθουσιν ὀπωπαί.
ἢ τάχα νυμφάων ἐς ὁμήγυριν ἀγρομενάων
ἤλυθεν, ἰθείης δὲ παραπλάζουσα κελεύθου
ἵσταται ἀσχαλόωσα, καὶ ἐς λειμῶνα μολοῦσα
ὡράων δροσόεντος ὑπὲρ πεδίοιο θαάσσει·
ἢ χρόα πατρῴοιο λοεσσαμένη ποταμοῖο
ᾤχετο, καὶ δήθυνεν ὑπ' Εὐρώταο ῥεέθροις.

Τοῖα δὲ δακρύσασα πολύστονος ἔννεπε κούρη·
οἶδεν ὄρος, ποταμῶν ἐδάη ῥόον, οἶδε κελεύθους
ἐς ῥόδον, ἐς λειμῶνα· τί μοι φθέγγεσθε, γυναῖκες;
ἀστέρες ὑπνώουσι, καὶ ἐν σκοπέλοισιν ἰαύει·
ἀστέρες ἀντέλλουσι, καὶ οὐ παλίνορσος ἱκάνει.
μῆτερ ἐμή, τίνα χῶρον ἔχεις; τίνα δ' οὔρεα ναίεις;
πλαζομένην θῆρές σε κατέκτανον; ἀλλὰ καὶ αὐτοὶ
θῆρες ἀριζήλοιο Διὸς τρομέουσι γενέθλην.
ἤριπες ἐξ ὀχέων χθαμαλῆς ἐπὶ νῶτα κονίης,
σὸν δέμας οἰοπόλοισιν ἐνὶ δρυμοῖσι λιποῦσα;
ἀλλὰ πολυπρέμνων ξυλόχων ὑπὸ δάσκιον ὕλην
δένδρεα παπτήνασα καὶ αὐτῶν ἄχρι πετήλων
σὸν δέμας οὐκ ἐνόησα· καὶ οὐ νεμεσίζομαι ὕλην.
μήδ' ἱερῶν γονόεντος ἐπ' Εὐρώταο ῥεέθρων
νηχομένην ἐκάλυψεν ὑποβρυχίην σε γαλήνη;
ἀλλὰ καὶ ἐν ποταμοῖσι καὶ ἐν πελάγεσσι θαλάσσης
Νηϊάδες ζώουσι, καὶ οὐ κτείνουσι γυναῖκας.
Ὣς ἡ μὲν στενάχεσκεν· ἀνακλίνασα δὲ δειρὴν
ὕπνωσ', ἐπεὶ θανάτοιο συνέμπορος. εἰ γὰρ ἐτύχθη
ἄμφω, ἀναγκαίη ξυνήϊα πάντα λαχόντα,
ἔργα παλαιοτέροιο κασιγνήτοιο διώκειν.
ἔνθεν ἀκηχεμένοισι βαρυνόμεναι βλεφάροισι
πολλάκις ὑπνώουσιν, ὅτε κλαίουσι, γυναῖκες·
ἡ μὲν ἀλητεύουσα δολοφροσύνῃσιν ὀνείρων
μητέρα παπταίνειν ὠΐσατο· τοῖα δὲ κούρη
ἴαχε θαμβήσασα, καὶ ἀχνυμένη περ ἐοῦσα·
Χθιζὸν ὀδυρομένην με δόμων ἔκτοσθε φυγοῦσα
κάλλιπες ὑπνώουσαν ὑπὲρ λεχέων γενετῆρος.
ποῖον ὄρος προλέλοιπα; τίνας μεθέηκα κολώνας;

οὕτω καλλικόμοιο μεθ᾽ ἁρμονίην Ἀφροδίτης.
Τοῖα δὲ φωνήσασα προσέννεπε Τυνδαρεώνη·
τέκνον ἀκηχεμένη, μὴ μέμφεο τόσσα παθούσῃ·
ὁ χθιζός με μολὼν ἀπατήλιος ἥρπασεν ἀνήρ.
Ἔννεπεν. ἡ δ᾽ ἀνόρουσε, καὶ οὐχ ὁρόωσα τιθήνην
ὀξυτέρῃ πολὺ μᾶλλον ἀνεβρυχήσατο φωνῇ·
Ἠερίης ὄρνιθες εὔπτερα τέκνα γενέθλης,
ἕσπετε νοστήσαντες ἐπὶ Κρήτην Μενελάῳ·
χθιζὸν ἐπὶ Σπάρτην τις ἀνὴρ ἀθεμίστιος ἐλθὼν
ἀγλαΐην σύμπασαν ἐμῶν ἀλάπαξε μελάθρων.
Ὣς ἡ μὲν πολύδακρυς ἐς ἠέρα φωνήσασα,
μητέρα μαστεύουσα, μάτην ἐπλάζετο κούρη . . . . .
καὶ Κικόνων πτολίεθρα καὶ Αἰολίδος πόρον Ἕλλ
Δαρδανίης λιμένεσσιν ὁ νυμφίος ἤγαγε νύμφην.
πυκνὰ δ᾽ ἔτιλλε κόμην, χρυσέην δ᾽ ἔῤῥηξε καλύπτρην
Κασσάνδρη, νεόφοιτον ἐπ᾽ ἀκροπόληος ἰδοῦσα.
Τροίη δ᾽ ὑψιδόμων πυλέων κληῖδας ἀνεῖσα
δέξατο νοστήσαντα τὸν ἀρχέκακον πολιήτην.